[1] αὐτὸς δὲ LTTrWHR. [2] πάντας LTTrWHR. [3] —ἀνακείμενον TTr[L]WHR. [4] Ταλειθά WH. [5] κούμ TWH, κοῦμ Tr (*non marg.*). [6] ἔγειρε LTTrWH. [7] εὐθὺς TTrWH. [8] +εὐθὺς T[Tr]WHR. [9] γνοῖ LTTrWH. [10] ἔρχεται TTr (*non marg.*) WHR. [11] διδάσκειν ἐν τῇ συναγωγῇ TTrWH. [12] +οἱ T[Tr *marg.*]WH.R *marg.* [13] ἀκούσαντες Tr *marg.* [14] ταῦτα, WH. [15] τούτῳ TTr (*non marg.*) WHR. [16] —ὅτι LTTrWHR. [17] +αἱ [Tr *marg.*] WHR. [18] γινόμεναι Tr (*non marg.*) WHR. [19] +τῆς TTr[Tr *marg.*]WH. [20] καὶ ἀδελφὸς LTTrWHR. [21] Ἰωσῆτος LTTrWH. [22] καὶ ἔλεγεν L (*non marg.*) TTrWHR. [23] αὐτοῦ LTrWH, ἑαυτοῦ T. [24] συγγενεῦσιν TTrWH. [25] +αὐτοῦ TTr[L]WHR. [26] αὐτοῦ LTTrWH. [27] ἐδύνατο TTrWH. [28] ποιῆσαι οὐδεμίαν δύναμιν LTTrWHR. [29] ἐθαύμασεν TWH (*non marg.*).

8 πνευμάτων τῶν ἀκαθάρτων. [a]καὶ παρήγγειλεν αὐτοῖς, [a] ver. 8–11, Matt. 10. 9–15. Luc. 9. 3–5. Cf. Luc. 10. 4–11.
ἵνα μηδὲν αἴρωσιν εἰς ὁδόν, εἰ μὴ ῥάβδον μόνον· μὴ
9 **πήραν, μὴ ἄρτον**[1], μὴ εἰς τὴν ζώνην χαλκόν· **ἀλλ'**[2]
[b]ὑποδεδεμένους σανδάλια· καὶ "μὴ **ἐνδύσησθε**[3] δύο
νδ 10 χιτῶνας." Καὶ **ἔλεγεν**[4] αὐτοῖς, "Ὅπου **ἐὰν**[5] εἰσέλ- [b] Act. 12. 8
β θητε εἰς οἰκίαν, ἐκεῖ μένετε ἕως ἂν ἐξέλθητε ἐκεῖθεν.
νε 11 καὶ ὅσοι ἂν μὴ **δέξωνται**[6] ὑμᾶς, μηδὲ ἀκούσωσιν ὑμῶν,
β ἐκπορευόμενοι ἐκεῖθεν, ἐκτινάξατε τὸν χοῦν τὸν ὑπο-
κάτω τῶν ποδῶν ὑμῶν, [c]εἰς μαρτύριον αὐτοῖς. **ἀμὴν** [c] Vid. Matt. 8. 4.
λέγω ὑμῖν, ἀνεκτότερον ἔσται Σοδόμοις ἢ Γομόρροις ἐν
νς 12 **ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ.**"[7] Καὶ ἐξελθόντες
η 13 **ἐκήρυσσον**[8] ἵνα **μετανοήσωσι**[9]· καὶ δαιμόνια πολλὰ
ἐξέβαλλον[10], καὶ [d]ἤλειφον ἐλαίῳ πολλοὺς ἀρρώστους [d] Jac. 5. 14.
καὶ ἐθεράπευον.
ΙΕ'. 14 [e]Καὶ ἤκουσεν ὁ βασιλεὺς Ἡρώδης[11], (φανερὸν γὰρ [e] ver. 14–29, Matt. 14. 1–12. ver. 14–16, Luc. 9. 7–9.
νζ ἐγένετο τὸ ὄνομα αὐτοῦ,) καὶ **ἔλεγεν**[12], "Ὅτι **Ἰωάννης**[25] ὁ
β βαπτίζων **ἐκ νεκρῶν ἠγέρθη**[13], καὶ διὰ τοῦτο ἐνεργοῦ-
15 σιν αἱ δυνάμεις ἐν αὐτῷ." [f]Ἄλλοι[14] ἔλεγον, "Ὅτι [f] cap. 8. 28. Vid. Matt. 16. 14.
Ἠλίας[15] ἐστίν·" ἄλλοι δὲ ἔλεγον, "Ὅτι προφήτης
νη 16 **ἐστίν**[16], **ἢ**[17] ὡς εἷς τῶν προφητῶν." Ἀκούσας δὲ ὁ
ι Ἡρώδης[11] **εἶπεν**[18], "Ὅτι[19] ὃν ἐγὼ ἀπεκεφάλισα **Ἰωάν-**
νθ 17 **νην**[20], οὗτός **ἐστιν· αὐτὸς**[21] ἠγέρθη **ἐκ νεκρῶν**[22]." Αὐτὸς
β γὰρ ὁ Ἡρώδης[11] ἀποστείλας ἐκράτησε τὸν **Ἰωάννην**[20],
καὶ ἔδησεν αὐτὸν ἐν **τῇ**[23] φυλακῇ, διὰ Ἡρωδιάδα[24] τὴν
γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, ὅτι αὐτὴν
18 ἐγάμησεν. ἔλεγε γὰρ ὁ **Ἰωάννης**[25] τῷ Ἡρώδῃ[26], "Ὅτι
οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου."
19 Ἡ δὲ Ἡρωδιὰς[27] [g]ἐνεῖχεν αὐτῷ, καὶ **ἤθελεν**[28] αὐτὸν [g] Gen. 49. 23 (LXX). Luc. 11. 53.
20 ἀποκτεῖναι· καὶ οὐκ ἠδύνατο. [h]ὁ γὰρ Ἡρώδης[11] ἐφο- [h] Cf. Matt. 21. 26.

[1] ἄρτον μὴ πήραν TTrWHR. [2] ἀλλὰ LTTrWH. [3] ἐνδύσασθαι BEL *marg.* Tr *marg.* WH (*non marg.*). [4] λέγει L *marg.* [5] ἂν LTr. [6] ὃς ἂν τόπος μὴ δέξηται TTr (*non marg.*) WHR, *at* ἐὰν *pro* ἂν *tantum* L. [7] ἀμὴν λέγω κ.τ.λ. *ad fin. vers. deest in* TTrWHR, *uncinis includit* L. [8] ἐκήρυξαν TTrWHR. [9] μετανοῶσιν LTTr (*non marg.*) WH. [10] ἐξέβαλον Tr *marg.* [11] Ἡρῴδης WH. [12] ἔλεγον L (*non marg.*) Tr *marg.* WH (*non marg.*) R *marg.* [13] ἐγήγερται ἐκ νεκρῶν LTTrWHR. [14] +δὲ LTTrWHR. [15] Ἠλίας SE, Ἡλείας T, Ἠλείας WH. [16] —ἐστίν TTr[L]WHR. [17] —ἢ LTTrWHR. [18] ἔλεγεν TTrWHR. [19] —Ὅτι LTTrWHR. [20] Ἰωάνην WH. [21] —ἐστιν· αὐτὸς TTr[L] WHR. [22] —ἐκ νεκρῶν T[Tr]WHR. [23] —τῇ LTTrWHR. [24] Ἡρῳδιάδα WH. [25] Ἰωάνης WH. [26] Ἡρῴδῃ WH. [27] Ἡρῳδιὰς WH. [28] ἐζήτει LTr *marg.*

[a] cap. 12. 37. Cf. cap. 4. 16.
[b] 1 Reg. 3. 15. Esther 1. 3; 2. 18.
[c] Rev. 6. 15.
[d] Rev. 18. 23.
[e] Act. 25. 23. Rev. 19. 18.
[f] Luc. 19. 47. Act. 13. 50; 17. 4; 25. 2; 28. 7, 17.
[g] Luc. 3. 1.
[h] Esther 5. 3, 6; 7. 2.

βεῖτο τὸν **Ἰωάννην**[1], εἰδὼς αὐτὸν ἄνδρα δίκαιον καὶ
ἅγιον, καὶ συνετήρει αὐτόν· καὶ ἀκούσας αὐτοῦ,
πολλὰ **ἐποίει**[2], καὶ [a]ἡδέως αὐτοῦ ἤκουε. καὶ γενομένης 21 ξ̅ ς
ἡμέρας εὐκαίρου, **ὅτε**[3] Ἡρώδης[4] τοῖς γενεσίοις αὐτοῦ
[b]δεῖπνον **ἐποίει**[5] τοῖς [cd]μεγιστᾶσιν αὐτοῦ καὶ τοῖς [ce]χιλι-
άρχοις καὶ [f]τοῖς πρώτοις τῆς [g]Γαλιλαίας, καὶ εἰσελθού- 22
σης τῆς θυγατρὸς **αὐτῆς**[6] τῆς*Ἡρωδιάδος[7], καὶ ὀρχη-
σαμένης, **καὶ ἀρεσάσης**[8] τῷ Ἡρώδῃ[9] καὶ τοῖς συνανα-
κειμένοις, **εἶπεν ὁ βασιλεὺς**[10] τῷ κορασίῳ, "Αἴτησόν
με ὃ ἐὰν θέλῃς, καὶ δώσω σοί·" καὶ ὤμοσεν αὐτῇ, 23
"Ὅτι ὃ[11] ἐάν με†αἰτήσῃς, δώσω σοί, [h]ἕως ἡμίσους τῆς
βασιλείας μου." **Ἡ δὲ**[12] ἐξελθοῦσα εἶπε τῇ μητρὶ 24
αὐτῆς, "Τί **αἰτήσομαι**[13];" Ἡ δὲ εἶπε, "Τὴν κεφαλὴν
Ἰωάννου[14] τοῦ **Βαπτιστοῦ**[15]." Καὶ εἰσελθοῦσα **εὐθέως**[16] 25
μετὰ σπουδῆς πρὸς τὸν βασιλέα, ᾐτήσατο, λέγουσα,
"Θέλω ἵνα μοι **δῷς ἐξ αὐτῆς**[17] ἐπὶ πίνακι τὴν κεφαλὴν
Ἰωάννου[14] τοῦ Βαπτιστοῦ." Καὶ περίλυπος γενό- 26
μενος ὁ βασιλεύς, διὰ τοὺς ὅρκους καὶ τοὺς **συνανα-
κειμένους**[18] οὐκ ἠθέλησεν **αὐτὴν ἀθετῆσαι**[19]. καὶ **εὐθέως**[20] 27
ἀποστείλας ὁ βασιλεὺς **σπεκουλάτωρα**[21] ἐπέταξεν **ἐν-
εχθῆναι**[22] τὴν κεφαλὴν αὐτοῦ[23]. **ὁ δὲ**[24] ἀπελθὼν ἀπεκε- 28
φάλισεν αὐτὸν ἐν τῇ φυλακῇ, καὶ ἤνεγκε τὴν κεφα-
λὴν αὐτοῦ ἐπὶ πίνακι, καὶ ἔδωκεν αὐτὴν τῷ κορασίῳ·
καὶ τὸ κοράσιον ἔδωκεν αὐτὴν τῇ μητρὶ αὐτῆς. Καὶ 29
ἀκούσαντες οἱ μαθηταὶ αὐτοῦ **ἦλθον**[25], καὶ ἦραν τὸ
πτῶμα αὐτοῦ, καὶ ἔθηκαν **αὐτὸ**[26] ἐν **τῷ**[27] μνημείῳ.

[i] Luc. 9. 10.
[k] Matt. 10. 2. Luc. 6. 13; 17. 5; 22. 14; 24. 10.

[i]Καὶ συνάγονται [k]οἱ ἀπόστολοι πρὸς τὸν Ἰησοῦν, 30 ξ̅α̅ η
καὶ ἀπήγγειλαν αὐτῷ πάντα, **καὶ**[28] ὅσα ἐποίησαν καὶ
ὅσα[29] ἐδίδαξαν. καὶ **εἶπεν**[30] αὐτοῖς, "Δεῦτε ὑμεῖς αὐτοὶ 31 ξ̅β̅ ι
κατ' ἰδίαν εἰς ἔρημον τόπον, καὶ **ἀναπαύεσθε**[31] ὀλίγον."

[1] Ἰωάνην WH. [2] ἠπόρει TTr *marg.* WH.R (*non marg.*). [3] ὅ τε L. [4] Ἡρῴδης WH. [5] ἐποίησεν LTTr (*non marg.*) WHR. [6] [αὐτῆς] Tr *marg.*, αὐτοῦ WH.R *marg.* [7] Ἡρῳδιάδος WH. [8] ἤρεσεν L (*non marg.*) TTr (*non marg.*) WHR. [9] Ἡρῴδῃ WH. [10] εἶπεν δὲ ὁ βασιλεὺς L, ὁ δὲ βασιλεὺς εἶπεν TTrWHR. [11] —ὃ WH (*non marg.*). [12] καὶ TTr (*non marg.*) WHR. [13] αἰτήσωμαι LTTrWHR. [14] Ἰωάνου WH. [15] βαπτίζοντος TTrWHR. [16] εὐθὺς LTTrWH. [17] ἐξαυτῆς δῷς μοι LTTrWHR. [18] ἀνακειμένους TTrWHR. [19] ἀθετῆσαι αὐτήν TTr (*non marg.*) WH. [20] εὐθὺς TTrWH. [21] σπεκουλάτορα LTTrWH. [22] ἐνέγκαι TTr (*non marg.*) WHR. [23] +[ἐπὶ πίνακι] L. [24] καὶ L (*non marg.*) TTrWHR. [25] ἦλθαν TTrWH. [26] αὐτὸν T. [27] —τῷ BELTTrWHR. [28] —καὶ LTTrWHR. [29] —ὅσα T. [30] λέγει TTrWHR. [31] ἀναπαύσασθε TTrWHR. * —τῆς WHR *marg.*
† —με TWH *marg.*

Ἦσαν γὰρ οἱ ἐρχόμενοι καὶ οἱ ὑπάγοντες πολλοί,
32 καὶ [a] οὐδὲ φαγεῖν ηὐκαίρουν[1]. [b] καὶ ἀπῆλθον εἰς ἔρημον
33 τόπον τῷ πλοίῳ[2] κατ' ἰδίαν. Καὶ εἶδον[3] αὐτοὺς ὑπά-
γοντας [c] οἱ ὄχλοι[4], καὶ ἐπέγνωσαν[5] αὐτὸν[6] πολλοί·
καὶ πεζῇ ἀπὸ πασῶν τῶν πόλεων συνέδραμον ἐκεῖ,
καὶ προῆλθον αὐτούς, καὶ συνῆλθον πρὸς αὐτόν[7].
Ις'. 34 καὶ ἐξελθὼν εἶδεν ὁ Ἰησοῦς[8] πολὺν ὄχλον, καὶ
ξγ [d] ἐσπλαγχνίσθη ἐπ' αὐτοῖς[9], ὅτι ἦσαν ὡς πρόβατα μὴ
ς ἔχοντα ποιμένα· καὶ ἤρξατο διδάσκειν αὐτοὺς πολλά.
ξδ 35 Καὶ ἤδη ὥρας πολλῆς γενομένης[10], προσελθόντες αὐ-
α τῷ[11] οἱ μαθηταὶ αὐτοῦ[12] λέγουσιν[13], "Ὅτι ἔρημός ἐστιν
36 ὁ τόπος, καὶ ἤδη ὥρα πολλή· ἀπόλυσον αὐτούς, ἵνα
ἀπελθόντες εἰς τοὺς κύκλῳ[14] ἀγροὺς καὶ κώμας, ἀγο-
ράσωσιν ἑαυτοῖς ἄρτους[15]· τί γὰρ[16] φάγωσιν οὐκ
37 ἔχουσιν[17]." Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς, "Δότε
αὐτοῖς ὑμεῖς φαγεῖν." Καὶ [e] λέγουσιν αὐτῷ, [f] "Ἀπελ-
θόντες ἀγοράσωμεν διακοσίων [g] δηναρίων[18] ἄρτους, καὶ
38 δῶμεν[19] αὐτοῖς φαγεῖν;" Ὁ δὲ λέγει αὐτοῖς, "Πό-
σους ἄρτους ἔχετε[20]; ὑπάγετε καὶ[21] ἴδετε." Καὶ
39 γνόντες λέγουσι[22], "Πέντε, καὶ δύο ἰχθύας." Καὶ
ἐπέταξεν αὐτοῖς ἀνακλῖναι[23] πάντας συμπόσια συμ-
40 πόσια ἐπὶ τῷ χλωρῷ χόρτῳ. καὶ ἀνέπεσον[24] πρασιαὶ
41 πρασιαί, ἀνὰ[25] ἑκατὸν καὶ ἀνὰ[25] πεντήκοντα. καὶ λα-
βὼν τοὺς πέντε ἄρτους καὶ τοὺς δύο ἰχθύας, [h] ἀνα-
βλέψας εἰς τὸν οὐρανόν, εὐλόγησε· καὶ κατέκλασε
τοὺς ἄρτους, καὶ ἐδίδου τοῖς μαθηταῖς αὐτοῦ[26] ἵνα
παραθῶσιν[27] αὐτοῖς· καὶ τοὺς δύο ἰχθύας ἐμέρισε
42, 43 πᾶσι· καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν· καὶ
ἦραν κλασμάτων[28] δώδεκα [i] κοφίνους[29] πλήρεις[30], καὶ

[a] cap. 8. 20.
[b] ver. 32—44, Matt. 14. 13—21. Luc. 9. 10—17. Joan. 6. 5—13. Cf. cap. 8. 1—9.
[c] ver. 45. cap. 3. 9.
[d] Matt. 9. 36.
[e] Cf. Joan. 6. 7.
[f] Cf. Num. 11. 13, 21, 22. 2 Reg. 4. 43.
[g] Vid. Matt. 18. 28.
[h] Vid. Matt. 14. 19.
[i] Vid. Matt. 14. 20.

[1] εὐκαίρουν LTTrWH. [2] ἐν τῷ πλοίῳ εἰς ἔρημον τόπον LWHR, at [τῷ πλοίῳ] Tr marg. [3] εἶδαν WH. [4] —οἱ ὄχλοι LTTrWHR. [5] ἔγνωσαν LTrWH (non marg.). [6] —αὐτὸν LTrWHR, αὐτοὺς T. [7] —καὶ συνῆλθον πρὸς αὐτόν LTTrWHR (καὶ συνῆλθον αὐτοῦ WH marg. post ἐκεῖ). [8] —ὁ Ἰησοῦς TTrWHR, at [ὁ Ἰησοῦς] εἶδεν L. [9] αὐτούς LTTrWHR. [10] γινομένης TWH marg. [11] —αὐτῷ T. [12] [αὐτοῦ] L. [13] ἔλεγον TTrWHR. [14] ἔγγιστα WH marg. [15] —ἄρτους TTr[L]WHR. [16] —γὰρ TTr[L]WHR. [17] —οὐκ ἔχουσιν TTr[L]WHR. [18] δηναρίων διακοσίων LTTrWH. [19] δώσομεν LTrWHR, δώσωμεν TTr marg. [20] ἔχετε ἄρτους Tr marg. WH. [21] —καὶ TTr[L]WHR. [22] +ν [αὐτῷ] LTr marg. [23] ἀνακλιθῆναι LWH (non marg.) R. [24] ἀνέπεσαν TTrWH. [25] κατὰ LTTrWH. [26] —αὐτοῦ TTrWHR. [27] παρατιθῶσιν TTr marg. WH. [28] κλάσματα Tr marg. WHR. [29] κοφίνων TTr marg. WHR. [30] πληρώματα TTrWHR.

ἀπὸ τῶν ἰχθύων. καὶ ἦσαν οἱ φαγόντες τοὺς ἄρτους 44
ὡσεὶ[1] πεντακισχίλιοι ἄνδρες. [a]Καὶ **εὐθέως**[2] ἠνάγ- 45 ξε ϛ
κασε τοὺς μαθητὰς αὐτοῦ ἐμβῆναι εἰς [b]τὸ πλοῖον, καὶ
προάγειν εἰς τὸ πέραν [c]πρὸς Βηθσαϊδάν[3], ἕως αὐτὸς
ἀπολύσῃ[4] τὸν ὄχλον. καὶ [d]ἀποταξάμενος αὐτοῖς, 46 ξϛ β
ἀπῆλθεν εἰς τὸ ὄρος προσεύξασθαι. Καὶ ὀψίας γε- 47 ΙΖ′. ξζ δ
νομένης, ἦν[5] τὸ πλοῖον ἐν μέσῳ τῆς θαλάσσης, καὶ
αὐτὸς μόνος ἐπὶ τῆς γῆς. Καὶ **εἶδεν**[6] αὐτοὺς βασα- 48
νιζομένους ἐν τῷ ἐλαύνειν· ἦν γὰρ ὁ ἄνεμος ἐναντίος
αὐτοῖς· **καὶ**[7] περὶ τετάρτην φυλακὴν τῆς νυκτὸς ἔρ-
χεται πρὸς αὐτούς, περιπατῶν ἐπὶ τῆς θαλάσσης·
[e]καὶ ἤθελε παρελθεῖν αὐτούς. οἱ δὲ ἰδόντες αὐτὸν 49
περιπατοῦντα ἐπὶ τῆς θαλάσσης[8], ἔδοξαν **φάντασμα**
εἶναι[9], καὶ ἀνέκραξαν· πάντες γὰρ αὐτὸν **εἶδον**[10], καὶ 50
ἐταράχθησαν. **καὶ εὐθέως**[11] ἐλάλησε μετ' αὐτῶν, καὶ
λέγει αὐτοῖς, [f]"Θαρσεῖτε· ἐγώ εἰμι, μὴ φοβεῖσθε."
Καὶ ἀνέβη πρὸς αὐτοὺς εἰς [b]τὸ πλοῖον, καὶ ἐκόπασεν 51 ξη ϛ
ὁ ἄνεμος· καὶ λίαν **ἐκ περισσοῦ**[12] ἐν ἑαυτοῖς ἐξίσταν-
το, **καὶ ἐθαύμαζον**[13]. [g]οὐ γὰρ συνῆκαν ἐπὶ τοῖς ἄρτοις· 52
ἦν γὰρ[14] **ἡ καρδία αὐτῶν**[15] [h]πεπωρωμένη.

[i]ΚΑΙ διαπεράσαντες **ἦλθον ἐπὶ τὴν γῆν**[16] **Γενησα-** 53 ξθ β
ρέτ[17], καὶ προσωρμίσθησαν. καὶ ἐξελθόντων αὐτῶν 54
ἐκ τοῦ πλοίου, **εὐθέως**[18] ἐπιγνόντες αὐτόν[19], **περιδρα-** 55
μόντες[20] ὅλην τὴν **περίχωρον**[21] ἐκείνην, [22]ἤρξαντο ἐπὶ
τοῖς **κραββάτοις**[23] τοὺς κακῶς ἔχοντας περιφέρειν, ὅπου
ἤκουον ὅτι **ἐκεῖ**[24] ἐστι. καὶ ὅπου **ἂν**[25] εἰσεπορεύετο εἰς 56
κώμας ἢ[26] πόλεις ἢ[26] ἀγρούς, ἐν ταῖς **ἀγοραῖς**[27] **ἐτίθουν**[28]
τοὺς ἀσθενοῦντας, καὶ παρεκάλουν αὐτόν, ἵνα κἂν
τοῦ κρασπέδου τοῦ ἱματίου [k]αὐτοῦ ἅψωνται· καὶ ὅσοι
ἂν **ἥπτοντο**[29] αὐτοῦ, [l]ἐσώζοντο.

[a] ver. 45—51, Matt. 14. 22—32. Joan. 6. 15—21.
[b] ver. 32, 51.
[c] cap. 8. 22. Cf. Luc. 9. 10. Joan. 6. 17.
[d] Luc. 9. 61; 14. 33. Act. 18. 18, 21. 2 Cor. 2. 13.
[e] Luc. 24. 28.
[f] Vid. Matt. 9. 2.
[g] Cf. cap. 8. 17, 21.
[h] cap. 8. 17. Joan. 12. 40. Rom. 11. 7. 2 Cor. 3. 13. Vid. cap. 3. 5.
[i] ver. 53—56, Matt. 14. 34—36. Cf. Joan. 6. 24, 25.
[k] Vid. cap. 3. 10.
[l] Vid. cap. 5. 34.

1 —ὡσεὶ LTTrWHR. 2 εὐθὺς TTrWH. 3 Βηθσαιδάν WH. 4 ἀπολύει LTTrWHR. 5 +πάλαι WH *marg.* 6 ἰδὼν LTTrWHR. 7 —καὶ LTTrWHR, [καὶ] Tr *marg.* 8 ἐπὶ τῆς θαλάσσης περιπατοῦντα TWHR. 9 ὅτι φάντασμά ἐστιν TWHR. 10 εἶδαν TTrWH. 11 καὶ εὐθὺς LTr (*at* ὁ δὲ εὐθὺς L *marg.* TTr *marg.* WHR). 12 —ἐκ περισσοῦ [Tr]WHR. 13 —καὶ ἐθαύμαζον TTr[LTr *marg.*]WHR. 14 ἀλλ' ἦν TTr (*non marg.*) WHR. 15 αὐτῶν ἡ καρδία LTTrWH. 16 ἐπὶ τὴν γῆν ἦλθον εἰς TWHR (R *text.*, ἐπὶ R *marg.* γῆν,). 17 Γεννησαρέτ LTTrWHR. 18 εὐθὺς TTrWH. 19 +[οἱ ἄνδρες τοῦ τόπου ἐκείνου] L. 20 περιέδραμον TTrWHR. 21 χώραν L *marg.* TTrWHR. 22 +καὶ TTrWHR. 23 κραβάττοις LTTrWH. 24 —ἐκεῖ LT[Tr]WHR. 25 ἐὰν T. 26 +εἰς TTr[L]WHR. 27 πλατείαις WH *marg.* 28 ἐτίθεσαν TTrWH. 29 ἥψαντο L (*non marg.*) TTr (ἥπτοντο Tr. *marg.*) WHR.

ΙΗ'. 7 [a]ΚΑΙ συνάγονται πρὸς αὐτὸν οἱ Φαρισαῖοι, καί
ο τινες τῶν γραμματέων, ἐλθόντες ἀπὸ Ἱεροσολύμων[1]·
ι 2 καὶ ἰδόντες τινὰς τῶν μαθητῶν αὐτοῦ[2] [b]κοιναῖς χερσί,
τοῦτ' ἔστιν[*] ἀνίπτοις, **ἐσθίοντας**[3, 4] ἄρτους **ἐμέμψαντο**[5, 6]
3 (οἱ γὰρ Φαρισαῖοι καὶ πάντες οἱ Ἰουδαῖοι, ἐὰν μὴ
πυγμῇ[7] νίψωνται τὰς χεῖρας, οὐκ ἐσθίουσι, κρατοῦν-
4 τες τὴν παράδοσιν τῶν πρεσβυτέρων· καὶ **ἀπὸ**[8] ἀγο-
ρᾶς, ἐὰν μὴ **βαπτίσωνται**[9], οὐκ ἐσθίουσι· καὶ ἄλλα
πολλά ἐστιν ἃ παρέλαβον κρατεῖν, [c]βαπτισμοὺς
οα 5 [d]ποτηρίων καὶ ξεστῶν καὶ χαλκίων **καὶ κλινῶν**[10]·) **ἔπει-**
ς **τα**[11] ἐπερωτῶσιν αὐτὸν οἱ Φαρισαῖοι καὶ οἱ γραμμα-
τεῖς, "**Διατί**[12] **οἱ μαθηταί σου οὐ περιπατοῦσι**[13] κατὰ
τὴν παράδοσιν τῶν πρεσβυτέρων, ἀλλὰ [b]**ἀνίπτοις**[14]
6 χερσὶν ἐσθίουσι τὸν ἄρτον;" Ὁ δὲ **ἀποκριθεὶς**[15] εἶπεν
αὐτοῖς, "**Ὅτι**[16] καλῶς **προεφήτευσεν**[17] **Ἡσαΐας**[18] περὶ
ὑμῶν τῶν ὑποκριτῶν, ὡς γέγραπται[19], [e]'**Οὗτος ὁ λαὸς**[20]
τοῖς χείλεσί με **τιμᾷ**[21], ἡ δὲ καρδία αὐτῶν πόρρω ἀπέχει
7 ἀπ' ἐμοῦ. μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκα-
8 λίας [f]ἐντάλματα ἀνθρώπων.' Ἀφέντες **γὰρ**[22] τὴν ἐντο-
λὴν τοῦ Θεοῦ, κρατεῖτε τὴν παράδοσιν τῶν ἀνθρώπων,
βαπτισμοὺς ξεστῶν καὶ ποτηρίων, καὶ ἄλλα παρόμοια
9 **τοιαῦτα πολλὰ ποιεῖτε**[23]." Καὶ ἔλεγεν αὐτοῖς, "Κα-
λῶς ἀθετεῖτε τὴν ἐντολὴν τοῦ Θεοῦ, ἵνα τὴν παρά-
10 δοσιν ὑμῶν **τηρήσητε**[24]. **Μωσῆς**[25] γὰρ εἶπε, [g]'Τίμα
τὸν πατέρα σου καὶ τὴν μητέρα σου·' καί, [h]'ὁ κακο-
11 λογῶν πατέρα ἢ μητέρα θανάτῳ τελευτάτω·' ὑμεῖς
δὲ λέγετε, Ἐὰν εἴπῃ ἄνθρωπος τῷ πατρὶ ἢ τῇ μητρί,
[i]Κορβᾶν[26], (ὅ ἐστι, δῶρον,) ὃ ἐὰν ἐξ ἐμοῦ ὠφεληθῇς[27]·
12 **καὶ**[28] οὐκέτι ἀφίετε αὐτὸν οὐδὲν ποιῆσαι τῷ πατρὶ
13 **αὐτοῦ**[29] ἢ τῇ μητρὶ **αὐτοῦ**[29], ἀκυροῦντες τὸν λόγον τοῦ
Θεοῦ τῇ παραδόσει ὑμῶν[30] ᾗ παρεδώκατε· καὶ παρόμοια

[a] ver. 1—23, Matt. 15. 1—20.
[b] ver. 5. Act. 10. 14, 28; 11. 8. Rom. 14. 14. Heb. 10. 29. Rev. 21. 27 (var. lect.).
[c] Heb. 9. 10. Cf. Joan. 2. 6.
[d] Matt. 23. 25, 26. Luc. 11. 39.
[e] Esa. 29. 13.
[f] Cf. Tit. 1. 14.
[g] Ex. 20. 12, &c.
[h] Ex. 21. 17.
[i] Lev. 1. 2, &c. (Heb.). Cf. Matt. 27. 6.

[1] Ἱεροσολύμων WH. [2] +ὅτι TTrWHR. [3] ἐσθίουσιν TTr WHR. [4] +τοὺς LTTrWHR. [5] —ἐμέμψαντο LTTrWHR. [6] .—WH, . R. [7] πυκνὰ T. [8] ἀπ' LTrWH. [9] ῥαντίσωνται WH (*non marg.*) R *marg.* [10] —καὶ κλινῶν TWH (*non marg.*⁜)R (*non marg.*). [11] καὶ LTTrWHR. [12] Διὰ τί LTrWH. [13] οὐ περιπατοῦσιν οἱ μαθηταί σου TTr (*non marg.*) WH. [14] κοιναῖς L (*non marg.*) TTrWHR. [15] —ἀποκριθεὶς TTrWHR. [16] —Ὅτι T[LTr]WH. [17] ἐπροφήτευσεν LTTrWH. [18] Ἠσαΐας L, Ἠσαίας WH. [19] +ὅτι T[Tr *marg.*]WH. [20] Ὁ λαὸς οὗτος LWH *marg.* [21] ἀγαπᾷ WH *marg.*⁜ [22] —γάρ LTTrWHR. [23] βαπτισμοὺς *ad fin. vers. omittunt* TWHR, *uncinis includit* Tr. [24] στήσητε WH *marg.*⁜ [25] Μωυσῆς LT(-ϋ-)TrWH. [26] Κορβάν WH. [27] , WHR. [28] —καὶ LTTRWHR. [29] —αὐτοῦ LTTrWH. [30] +τῇ μωρᾷ WH *marg.*⁜ [*] τουτέστιν L.

τοιαῦτα πολλὰ ποιεῖτε.” Καὶ προσκαλεσάμενος 14
πάντα[1] τὸν ὄχλον, ἔλεγεν αὐτοῖς, “**Ἀκούετέ**[2] μου
πάντες, καὶ **συνίετε**[3]. οὐδέν ἐστιν* ἔξωθεν τοῦ ἀνθρώ- 15
που εἰσπορευόμενον εἰς αὐτόν, ὃ δύναται **αὐτὸν κοι-
νῶσαι**[4]· ἀλλὰ τὰ **ἐκπορευόμενα ἀπ’ αὐτοῦ**[5], **ἐκεῖνά**[6] ἐστι
τὰ κοινοῦντα τὸν ἄνθρωπον. [a] **εἴ τις ἔχει ὦτα ἀκούειν,** 16
ἀκουέτω.”[7] Καὶ ὅτε εἰσῆλθεν εἰς[8] [b] οἶκον ἀπὸ τοῦ ὄχλου, 17 οβ ς
ἐπηρώτων αὐτὸν [c] οἱ μαθηταὶ αὐτοῦ **περὶ τῆς παραβο-
λῆς**[9]. καὶ λέγει αὐτοῖς, “Οὕτω καὶ ὑμεῖς ἀσύνετοί 18
ἐστε; οὐ νοεῖτε ὅτι πᾶν τὸ ἔξωθεν εἰσπορευόμενον
εἰς τὸν ἄνθρωπον οὐ δύναται αὐτὸν κοινῶσαι; ὅτι 19
οὐκ εἰσπορεύεται αὐτοῦ εἰς τὴν καρδίαν, ἀλλ’ εἰς τὴν
κοιλίαν· καὶ εἰς τὸν **ἀφεδρῶνα**[10] ἐκπορεύεται[11], [d] **καθαρί-
ζον**[12] πάντα τὰ βρώματα.” Ἔλεγε δέ, “Ὅτι τὸ ἐκ 20
τοῦ ἀνθρώπου ἐκπορευόμενον, ἐκεῖνο κοινοῖ τὸν ἄν-
θρωπον. ἔσωθεν γὰρ ἐκ τῆς καρδίας τῶν ἀνθρώπων 21
οἱ διαλογισμοὶ οἱ κακοὶ ἐκπορεύονται, **μοιχεῖαι, πορ-
νεῖαι, φόνοι, κλοπαί**[13], [e] πλεονεξίαι, [ef] πονηρίαι, δόλος, 22
[g] ἀσέλγεια, [h] ὀφθαλμὸς πονηρός, βλασφημία, ὑπερηφα-
νία, [i] ἀφροσύνη. πάντα ταῦτα τὰ πονηρὰ ἔσωθεν 23
ἐκπορεύεται, καὶ κοινοῖ τὸν ἄνθρωπον.”

[k] **Καὶ ἐκεῖθεν**[14] ἀναστὰς ἀπῆλθεν εἰς τὰ **μεθόρια**[15] [l] Τύ- 24
ρου **καὶ Σιδῶνος**[16]. καὶ εἰσελθὼν εἰς **τὴν**[17] οἰκίαν,
οὐδένα **ἤθελε**[18] γνῶναι, καὶ οὐκ **ἠδυνήθη**[19] λαθεῖν. **ἀκού- 25 ΙΘ'.
σασα γὰρ**[20] γυνὴ περὶ αὐτοῦ, ἧς εἶχε τὸ θυγάτριον
αὐτῆς πνεῦμα ἀκάθαρτον, **ἐλθοῦσα**[21] προσέπεσε πρὸς
τοὺς πόδας αὐτοῦ· **ἦν δὲ ἡ γυνὴ**[22] [m] Ἑλληνίς, [n] **Συροφοί- 26
νισσα**[23] τῷ γένει· καὶ ἠρώτα αὐτὸν ἵνα τὸ δαιμόνιον ογ ς
ἐκβάλλῃ[24] ἐκ τῆς θυγατρὸς αὐτῆς. **ὁ δὲ Ἰησοῦς εἶπεν**[25] 27
αὐτῇ, “Ἄφες πρῶτον χορτασθῆναι τὰ τέκνα· οὐ γὰρ

[a] Vid. Matt. 11. 15. [b] Vid. cap. 3. 20. [c] Cf. Matt. 15. 15. [d] Cf. Luc. 11. 41. Act. 10. 15; 11. 9. [e] Rom. 1. 29. [f] Act. 3. 26. [g] 2 Cor. 12. 21. Gal. 5. 19. Eph. 4. 19. 2 Pet. 2. 7, 18. Jud. 4. Cf. Rom. 13. 13. 1 Pet. 4. 3. [h] Vid. Matt. 6. 23. [i] 2 Cor. 11. 1, 17, 21. [k] ver. 24—30, Matt. 15. 21—28. [l] ver. 31. Vid. Matt. 11. 21. [m] Cf. Rom. 1. 16. [n] Cf. Matt. 15. 22.

[1] πάλιν LTTrWHR. [2] ἀκούσατέ LTTrWH. [3] σύνετε LTTrWH. [4] κοινῶσαι αὐτόν TWH. [5] ἐκ τοῦ ἀνθρώπου ἐκπορευόμενα LTTrWHR. [6] —ἐκεῖνα T[Tr]WHR. [7] *v.* 16 *omittunt* TWH.R (*non marg.*), *uncinis includit* Tr. [8] +τὸν T. [9] τὴν παραβολήν LTTrWHR. [10] ὀχετὸν WH *marg.* [11] ;— WH, ; R. [12] καθαρίζων LTTrWHR. [13] πορνεῖαι, κλοπαί, φόνοι, μοιχεῖαι TTr (*non marg.*) WHR. [14] Ἐκεῖθεν δὲ TTr *marg.* WHR. [15] ὅρια LTTrWH. [16] —καὶ Σιδῶνος T[Tr *marg.* WH]R *marg.* [17] —τὴν LTTrWHR. [18] ἠθέλησεν T. [19] ἠδυνάσθη TWH. [20] ἀλλ’ (ἀλλὰ T) εὐθὺς ἀκούσασα TTrWHR. [21] εἰσελθοῦσα T. [22] ἡ δὲ γυνὴ ἦν LTTrWH. [23] Συροφοινίκισσα LTWH *text.*, Σύρα Φοινίκισσα TrWH *marg.* [24] ἐκβάλῃ LTTrWH. [25] καὶ ἔλεγεν LTTrWHR. * οὐδὲν ἔστιν WH.

καλόν ἐστι[1] λαβεῖν τὸν ἄρτον τῶν τέκνων, καὶ βαλεῖν
28 τοῖς κυναρίοις[2]." Ἡ δὲ ἀπεκρίθη καὶ λέγει αὐτῷ,
"Ναί, κύριε[3]· καὶ γὰρ[4] τὰ κυνάρια ὑποκάτω τῆς τρα-
29 πέζης ἐσθίει[5] ἀπὸ τῶν ψιχίων τῶν παιδίων." Καὶ
εἶπεν αὐτῇ, "Διὰ τοῦτον τὸν λόγον, ὕπαγε· ἐξελή-
30 λυθε τὸ δαιμόνιον ἐκ τῆς θυγατρός σου[6]." Καὶ ἀπελ-
θοῦσα εἰς τὸν οἶκον αὐτῆς, εὗρε τὸ δαιμόνιον ἐξεληλυ-
θός, καὶ τὴν θυγατέρα βεβλημένην ἐπὶ τῆς κλίνης[7].
Κ'. 31 [a]ΚΑΙ πάλιν ἐξελθὼν ἐκ τῶν ὁρίων [b]Τύρου καὶ Σιδῶ-
οδ νος, ἦλθε πρὸς[8] [c]τὴν θάλασσαν τῆς Γαλιλαίας, ἀνὰ
ι 32 μέσον τῶν ὁρίων [d]Δεκαπόλεως. καὶ φέρουσιν αὐτῷ
[e]κωφὸν[9] [e]μογιλάλον[10], καὶ παρακαλοῦσιν αὐτὸν ἵνα
33 [f]ἐπιθῇ αὐτῷ τὴν χεῖρα. καὶ [g]ἀπολαβόμενος αὐτὸν
ἀπὸ τοῦ ὄχλου κατ' ἰδίαν, ἔβαλε τοὺς δακτύλους
αὐτοῦ[11] εἰς τὰ ὦτα αὐτοῦ, καὶ [g]πτύσας [h]ἥψατο τῆς
34 γλώσσης αὐτοῦ, καὶ [i]ἀναβλέψας εἰς τὸν οὐρανόν,
[k]ἐστέναξε, καὶ λέγει αὐτῷ, [l]"Ἐφφαθά," ὅ ἐστι, "Δια-
35 νοίχθητι." Καὶ εὐθέως[12] διηνοίχθησαν[13] αὐτοῦ αἱ
ἀκοαί· καὶ[14] ἐλύθη ὁ δεσμὸς τῆς γλώσσης αὐτοῦ, καὶ
οε 36 ἐλάλει ὀρθῶς. καὶ [m]διεστείλατο αὐτοῖς ἵνα [n]μηδενὶ
η εἴπωσιν[15]· ὅσον δὲ αὐτὸς[16] αὐτοῖς διεστέλλετο, [o][17]μᾶλ-
37 λον περισσότερον ἐκήρυσσον· καὶ [p]ὑπερπερισσῶς ἐξε-
πλήσσοντο, λέγοντες, "Καλῶς πάντα πεποίηκε· [18]καὶ
τοὺς κωφοὺς ποιεῖ ἀκούειν, καὶ τοὺς[19] ἀλάλους λαλεῖν."
ΚΑ'. 8 [q]ΕΝ ἐκείναις ταῖς ἡμέραις, παμπόλλου[20] ὄχλου ὄν-
οϛ τος, καὶ μὴ ἐχόντων τί φάγωσι, προσκαλεσάμενος ὁ
ϛ 2 Ἰησοῦς[21] τοὺς μαθητὰς αὐτοῦ[22] λέγει αὐτοῖς, "Σπλαγ-
χνίζομαι ἐπὶ τὸν ὄχλον· ὅτι ἤδη ἡμέρας[23] τρεῖς[24] προσ-
3 μένουσί μοι[25], καὶ οὐκ ἔχουσι τί φάγωσι· καὶ ἐὰν ἀπο-
λύσω αὐτοὺς νήστεις[26] εἰς οἶκον αὐτῶν, ἐκλυθήσονται

[a] ver. 31, 32, 37, cf. Matt. 15. 29—31.
[b] ver. 24.
[c] Matt. 4. 18.
[d] Matt. 4. 25. cap. 5. 20.
[e] Esa. 35. 5, 6. Cf. Matt. 9. 32. Luc. 11. 14.
[f] Vid. cap. 5. 23.
[g] cap. 8. 23.
[h] Cf. Matt. 20. 34.
[i] Vid. Matt. 14. 19.
[k] cap. 8. 12.
[l] Cf. cap. 5. 41.
[m] Vid. cap. 5. 43.
[n] Vid. Matt. 8. 4.
[o] Cf. Matt. 9. 31. cap. 1. 45.
[p] cap. 10. 26.
[q] ver. 1—9, Matt. 15. 32—38. Cf. cap. 6. 34—44.

[1] ἐστιν καλὸν LTTrWH. [2] τοῖς κυναρίοις βαλεῖν TTr (*non marg.*) WH. [3] Κύριε, ἀλλὰ WH *marg.** [4] —γὰρ TTr[L]WHR. [5] ἐσθίουσιν LTTrWH. [6] ἐκ τῆς θυγατρός σου τὸ δαιμόνιον TTr *marg.* WH. [7] τὸ παιδίον βεβλημένον ἐπὶ τὴν κλίνην καὶ τὸ δαιμόνιον ἐξεληλυθός L (*non marg.*) TTrWHR. [8] ἦλθεν διὰ Σιδῶνος εἰς LTTrWHR. [9] +καὶ LTTrWHR. [10] μογγιλάλον Tr (*non marg.*). [11] —αὐτοῦ T. [12] —εὐθέως TTr[LTr *marg.*]WHR. [13] ἠνοίγησαν LTTrWH. [14] +εὐθὺς T. [15] λέγωσιν TTr (*non marg.*) WH. [16] —αὐτὸς LTTrWH. [17] +αὐτοὶ LTTrWH. [18] +ὡς (*post* πεποίηκεν,) WH *marg.* [19] —τοὺς TTrWHR. [20] πάλιν πολλοῦ LTTrWHR. [21] —ὁ Ἰησοῦς LTTrWHR. [22] —αὐτοῦ TTrWH. [23] ἡμέραι LTTrWHR. [24] ἡμέραις τρισὶν WH *marg.* [25] —μοι L[Tr]WH *marg.* [26] νήστις T.

ἐν τῇ ὁδῷ· **τινὲς γάρ**[1] αὐτῶν[2] μακρόθεν **ἥκασι**[3].” Καὶ 4
ἀπεκρίθησαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, “[4] Πόθεν τού-
τους δυνήσεταί τις ὧδε χορτάσαι ἄρτων ἐπ᾽ ἐρημίας;”
Καὶ **ἐπηρώτα**[5] αὐτούς, “Πόσους ἔχετε ἄρτους;” Οἱ 5
δὲ **εἶπον**[6], “Ἑπτά.” Καὶ **παρήγγειλε**[7] τῷ ὄχλῳ ἀνα- 6
πεσεῖν ἐπὶ τῆς γῆς· καὶ λαβὼν τοὺς ἑπτὰ ἄρτους,
[8] εὐχαριστήσας ἔκλασε καὶ ἐδίδου τοῖς μαθηταῖς
αὐτοῦ, ἵνα **παραθῶσι**[9]· καὶ παρέθηκαν τῷ ὄχλῳ. καὶ 7
[a] Vid. Matt. 14. 19. **εἶχον**[10] ἰχθύδια ὀλίγα· καὶ [a] [11] εὐλογήσας [12] **εἶπε παρα-**
θεῖναι καὶ αὐτά[13]. **ἔφαγον δέ**[14], καὶ ἐχορτάσθησαν· 8
[b] ver. 20. Vid. Matt. 16. 10. [b] καὶ ἦραν περισσεύματα κλασμάτων, ἑπτὰ **σπυρίδας**[15].
ἦσαν δὲ **οἱ φαγόντες**[16] ὡς τετρακισχίλιοι· καὶ ἀπέ- 9
λυσεν αὐτούς.

[c] Matt. 15. 39. [c] Καὶ **εὐθέως**[17] ἐμβὰς[18] εἰς [d] τὸ πλοῖον μετὰ τῶν μα- 10
[d] cap. 3. 9. θητῶν αὐτοῦ, ἦλθεν εἰς τὰ μέρη Δαλμανουθά. [e] καὶ 11 οζ δ
[e] ver. 11—21, Matt. 16. 1—12. ἐξῆλθον οἱ Φαρισαῖοι, καὶ ἤρξαντο [19] **συζητεῖν** αὐτῷ,
[f] 1 Cor. 1. 22. Cf. Joan. 6. 30. Vid. Matt. 12. 38. [f] ζητοῦντες παρ᾽ αὐτοῦ σημεῖον ἀπὸ τοῦ οὐρανοῦ, πει-
ράζοντες αὐτόν. καὶ [g] ἀναστενάξας [h] τῷ πνεύματι **αὐτοῦ**[20] 12 οη ϛ
λέγει, “Τί ἡ γενεὰ αὕτη **σημεῖον ἐπιζητεῖ**[21]; ἀμὴν
[g] cap. 7. 34. λέγω **ὑμῖν**[22], εἰ δοθήσεται τῇ γενεᾷ ταύτῃ σημεῖον.”
[h] Joan. 11. 33. Καὶ ἀφεὶς αὐτούς, **ἐμβὰς πάλιν**[23] **εἰς τὸ πλοῖον**[24], ἀπῆλ- 13
θεν εἰς τὸ πέραν.

Καὶ ἐπελάθοντο λαβεῖν ἄρτους, καὶ εἰ μὴ ἕνα 14
[i] Vid. cap. 5. 43. ἄρτον οὐκ εἶχον μεθ᾽ ἑαυτῶν ἐν τῷ πλοίῳ. καὶ [i] διε- 15 ΚΒʹ.
στέλλετο αὐτοῖς, λέγων, “Ὁρᾶτε, [25] βλέπετε ἀπὸ οθ β
[k] Vid. Matt. 16. 6. [k] τῆς ζύμης τῶν Φαρισαίων καὶ τῆς ζύμης [l] Ἡρώδου[26].”
[l] Vid. Matt. 22. 16. Καὶ διελογίζοντο πρὸς ἀλλήλους, **λέγοντες**[27], “Ὅτι 16 π ϛ
ἄρτους οὐκ **ἔχομεν**[28].” Καὶ γνοὺς **ὁ Ἰησοῦς**[29] λέγει 17
αὐτοῖς, “Τί διαλογίζεσθε, ὅτι ἄρτους οὐκ ἔχετε;

[1] *καί τινες* LTTr (*non marg.*) WHR. [2] +*ἀπὸ* TTrWHR. [3] *ἥκουσι* BE, *εἰσίν* Tr *marg.* WH. [4] +*ὅτι* TTrWH. [5] *ἠρώτα* TTrWH. [6] *εἶπαν* TTrWH. [7] *παραγγέλλει* LTTrWHR. [8] +[*καὶ*] LTr *marg.* [9] *παρατιθῶσιν* TTrWH. [10] *εἶχαν* LTTrWH. [11] +*ταῦτα* L. [12] +*αὐτὰ* TTrWHR. [13] *παρατεθῆναι καὶ αὐτά* L, *παρέθηκεν* (—*εἶπε*) T, *at καὶ ταῦτα παρατιθέναι* TrWHR. [14] *καὶ ἔφαγον* LTTrWHR. [15] *σφυρίδας* LWH. [16] —*οἱ φαγόντες* T[Tr]WHR. [17] *εὐθὺς* LTTrWH. [18] +*αὐτὸς* [L]WH *marg.* [19] *συν-* LTTrWH. [20] [*αὐτοῦ*] Tr *marg.* [21] *ζητεῖ σημεῖον* LTTrWHR. [22] —*ὑμῖν* [Tr *marg.*]WH (*non marg.*). [23] *πάλιν ἐμβὰς* LTTrWHR. [24] —*εἰς τὸ πλοῖον* TWHR, —*τὸ tantum* L, [*εἰς πλοῖον*] Tr. [25] +[*καὶ*] L. [26] *Ἡρῴδου* WH. [27] —*λέγοντες* LTTrWHR *marg.* [28] *ἔχουσιν* LTr (*non marg.*) WHR *marg.* [29] —*ὁ Ἰησοῦς* T[Tr]WH.

οὔπω νοεῖτε, οὐδὲ συνίετε; ἔτι[1] [a]πεπωρωμένην ἔχετε
18 τὴν καρδίαν ὑμῶν; ὀφθαλμοὺς ἔχοντες οὐ βλέπετε;[2]
καὶ ὦτα ἔχοντες οὐκ ἀκούετε; καὶ οὐ μνημονεύετε;[2]
19 [b]ὅτε τοὺς πέντε ἄρτους ἔκλασα εἰς τοὺς πεντακισχι-
λίους,[3] πόσους [c]κοφίνους πλήρεις κλασμάτων[4] ἤρατε;"
20 Λέγουσιν αὐτῷ, "Δώδεκα." [d]"Ὅτε δὲ[5] τοὺς ἑπτὰ[6]
εἰς τοὺς τετρακισχιλίους, [e]πόσων σπυρίδων[7] πληρώ-
ματα κλασμάτων ἤρατε;" Οἱ δὲ εἶπον[8], "Ἑπτά."
21 Καὶ ἔλεγεν αὐτοῖς, [a]"Πῶς[9] οὐ[10] συνίετε;"
ΚΓ'.22 ΚΑΙ ἔρχεται[11] εἰς [f]Βηθσαϊδάν[12]· καὶ φέρουσιν αὐτῷ
πα τυφλόν, καὶ παρακαλοῦσιν αὐτὸν [g]ἵνα αὐτοῦ ἅψηται.
ι 23 καὶ [h]ἐπιλαβόμενος τῆς χειρὸς τοῦ τυφλοῦ, ἐξήγαγεν[13]
αὐτὸν ἔξω τῆς κώμης· καὶ [h i]πτύσας εἰς τὰ ὄμματα
αὐτοῦ, [k]ἐπιθεὶς τὰς χεῖρας αὐτῷ[14], ἐπηρώτα αὐτὸν εἴ τι
24 βλέπει[15]. καὶ ἀναβλέψας ἔλεγε[16], "Βλέπω τοὺς ἀν-
25 θρώπους, ὅτι ὡς δένδρα ὁρῶ περιπατοῦντας." Εἶτα
πάλιν ἐπέθηκε[17] [h]τὰς χεῖρας ἐπὶ τοὺς ὀφθαλμοὺς αὐ-
τοῦ, καὶ ἐποίησεν αὐτὸν ἀναβλέψαι[18]· καὶ ἀποκατ-
26 εστάθη[19], καὶ ἐνέβλεψε[20] τηλαυγῶς[21] ἅπαντας[22]. καὶ ἀπέ-
στειλεν αὐτὸν εἰς τὸν[23] οἶκον αὐτοῦ, λέγων, "Μηδὲ[24]
[l]εἰς τὴν κώμην εἰσέλθῃς, [m]μηδὲ εἴπῃς τινὶ ἐν τῇ
κώμῃ[25]."
ΚΔ'.27 [n]Καὶ ἐξῆλθεν ὁ Ἰησοῦς καὶ οἱ μαθηταὶ αὐτοῦ εἰς
πβ τὰς κώμας Καισαρείας[26] τῆς Φιλίππου· καὶ ἐν τῇ ὁδῷ
α ἐπηρώτα τοὺς μαθητὰς αὐτοῦ, λέγων αὐτοῖς[27], "Τίνα
28 με λέγουσιν οἱ ἄνθρωποι εἶναι;" Οἱ δὲ ἀπεκρίθη-
σαν[28, 29], "[30]Ἰωάννην[31] τὸν Βαπτιστήν· [o]καὶ ἄλλοι
29 Ἠλίαν[32]· ἄλλοι δὲ ἕνα[33] τῶν προφητῶν." Καὶ αὐτὸς
λέγει αὐτοῖς[34], "Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι;"

[a] Vid. cap. 6. 52.
[b] cap. 6. 41, 44.
[c] Vid. Matt. 14. 20.
[d] ver. 6, 9.
[e] ver. 8.
[f] cap. 6. 45.
[g] Vid. cap. 3. 10.
[h] cap. 7. 33.
[i] Joan. 9. 6.
[k] Vid. cap. 5. 23.
[l] ver. 23.
[m] Vid. Matt. 8. 4.
[n] ver. 27—29, Matt. 16. 13—16. Luc. 9. 18—20.
[o] cap. 6. 15.

[1] —ἔτι L (*ita vult* T) TrWHR. [2] — ; WH. [3] +καὶ T. [4] κλασμάτων πλήρεις LTTrWH. [5] Καὶ ὅτε L *marg.*, Ὅτε καὶ T, Ὅτε [δὲ] Tr., ὅτε WH (ὅτε καὶ WH *marg.*). [6] +[ἄρτους] L. [7] σφυρίδων WH. [8] καὶ λέγουσιν T, καὶ λέγουσιν αὐτῷ Tr *marg.* WHR. [9] —Πῶς TWHR. [10] οὔπω L (*non marg.*) TTrWHR. [11] ἔρχονται LTTrWHR. [12] Βηθσαιδάν WH *text.*, Βηθανίαν WH *marg.*, Βηθσαϊδά R. [13] ἐξήνεγκεν TTr (*non marg.*) WHR. [14] αὐτοῦ Tr *marg.* [15] βλέπεις Tr *marg.*, βλέπεις; WH *text.* (*non marg.*) R. [16] εἶπεν L *marg.* [17] ἔθηκεν Tr (*non marg.*) WH. [18] διέβλεψεν TTrWHR. [19] ἀπεκατεστάθη L, ἀπεκατέστη TTrWH. [20] ἐνέβλεπεν LTTr *text.* WHR. [21] δηλαυγῶς TWH *marg.* [22] ἅπαντα LTTrWHR. [23] —τὸν LTTrWHR. [24] Μὴ T. [25] —μηδὲ εἴπῃς *ad fin. vers.* T[Tr. *marg.*]WHR (WH *marg.* habet Μηδενὶ εἴπῃς εἰς τὴν κώμην *pro* Μηδὲ εἰς...κώμῃ). [26] Καισαρίας T *secundis curis* WH. [27] [αὐτοῖς] Tr. [28] εἶπαν TTr *marg.* WH, εἶπον R. [29] +αὐτῷ λέγοντες LTTrWHR. [30] +ὅτι TWH. [31] Ἰωάνην WH. [32] Ἡλείαν T, Ἠλείαν WH. [33] ὅτι εἷς LTTrWHR. [34] ἐπηρώτα αὐτούς L (*non marg.*) TTrWHR.

[1]Ἀποκριθεὶς δὲ[2] ὁ Πέτρος λέγει αὐτῷ, "Σὺ εἶ ὁ
Χριστός." [a]Καὶ ἐπετίμησεν αὐτοῖς, ἵνα μηδενὶ λέ- 30 πγ
γωσι[3] περὶ αὐτοῦ. β
[b]ΚΑΙ ἤρξατο διδάσκειν αὐτούς, [c]ὅτι δεῖ τὸν υἱὸν 31
τοῦ ἀνθρώπου πολλὰ παθεῖν, καὶ ἀποδοκιμασθῆναι
ἀπὸ[4] τῶν πρεσβυτέρων καὶ[5] ἀρχιερέων καὶ[5] γραμ-
ματέων, καὶ ἀποκτανθῆναι, καὶ μετὰ τρεῖς ἡμέρας
ἀναστῆναι· καὶ [d]παρρησίᾳ τὸν λόγον ἐλάλει. Καὶ 32 πδ
προσλαβόμενος αὐτὸν ὁ Πέτρος[6] ἤρξατο ἐπιτιμᾷν ϛ
αὐτῷ. ὁ δὲ ἐπιστραφείς, καὶ ἰδὼν τοὺς μαθητὰς αὐτοῦ, 33
[a]ἐπετίμησε τῷ[7] Πέτρῳ, λέγων[8], "Ὕπαγε ὀπίσω μου,
Σατανᾶ· ὅτι οὐ φρονεῖς τὰ τοῦ Θεοῦ, ἀλλὰ τὰ τῶν
ἀνθρώπων."
Καὶ προσκαλεσάμενος τὸν ὄχλον σὺν τοῖς μαθη- 34 πε
ταῖς αὐτοῦ, εἶπεν αὐτοῖς, "Ὅστις[9] θέλει ὀπίσω μου β
ἐλθεῖν[10], ἀπαρνησάσθω ἑαυτόν, καὶ [e]ἀράτω τὸν σταυ-
ρὸν αὐτοῦ, καὶ ἀκολουθείτω μοι. ὃς γὰρ ἂν[11] θέλῃ 35
[f]τὴν ψυχὴν αὐτοῦ[12] σῶσαι, ἀπολέσει αὐτήν. [f]ὃς δ' ἂν
ἀπολέσῃ[13] τὴν ψυχὴν αὐτοῦ[14] ἕνεκεν ἐμοῦ καὶ[15] τοῦ
εὐαγγελίου, οὗτος[16] σώσει αὐτήν. τί γὰρ ὠφελήσει[17] 36
[18]ἄνθρωπον, ἐὰν κερδήσῃ[19] τὸν κόσμον ὅλον, καὶ ζη-
μιωθῇ[20] τὴν ψυχὴν αὐτοῦ; [g]ἢ τί δώσει[21] ἄνθρωπος ἀν- 37
τάλλαγμα τῆς ψυχῆς αὐτοῦ; [h]ὃς γὰρ ἂν[22] ἐπαισχυν- 38 πϛ
θῇ με καὶ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ β
[i]μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου
ἐπαισχυνθήσεται αὐτόν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ
πατρὸς αὐτοῦ μετὰ τῶν ἀγγέλων [k]τῶν ἁγίων." Καὶ 9 πζ
ἔλεγεν αὐτοῖς, "Ἀμὴν λέγω ὑμῖν, ὅτι εἰσί τινες τῶν β
ὧδε[23] ἑστηκότων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου,
ἕως ἂν ἴδωσι τὴν βασιλείαν τοῦ Θεοῦ ἐληλυθυῖαν [l]ἐν
δυνάμει."

[a] ver. 33. cap. 9. 25. Vid. Matt. 12. 16.
[b] ver. 31—9. 1, Matt. 16. 21—28. Luc. 9. 22—27.
[c] Matt. 17. 22; 20. 18. cap. 9. 21, 31; 10. 33. Luc. 9. 22; 18. 32; 24. 7.
[d] Joan. 10. 24; 11. 14; 16. 25, 29; 18. 20.
[e] Vid. Matt. 10. 38.
[f] Vid. Matt. 10. 39.
[g] Cf. Ps. 49. 7.
[h] Rom. 1. 16. 2 Tim. 1. 8, 12, 16. Heb. 11. 16. 1 Joan. 2. 28. Vid. Matt. 10. 33.
[i] Matt. 12. 39.
[k] Matt. 25. 31 (var. lect.). Luc. 9. 26. Act. 10. 22. Rev. 14. 10.
[l] Cf. Matt. 24. 30; 26. 64.

[1] +καὶ L. [2] —δὲ LTTrWHR. [3] εἴπωσιν L. [4] ὑπὸ LTTrWHR. [5] +τῶν LTTrWHR. [6] ὁ Πέτρος αὐτὸν LTTrWH. [7] —τῷ LTTrWH. [8] καὶ λέγει TTr (*non marg.*) WHR. [9] εἴ τις LTrWHR. [10] ἀκολουθεῖν TTr (*non marg.*). [11] ἐὰν TTrWH. [12] ἑαυτοῦ ψυχὴν WH (*non marg.*). [13] ἀπολέσει TTrWH. [14] ἑαυτοῦ ψυχὴν T (*errore*) Tr. [15] [ἐμοῦ καὶ] WH. [16] —οὗτος LTTrWHR. [17] ὠφελεῖ L *marg.* TWH (*non marg.*) R. [18] +τὸν LTrWH *marg.* [19] κερδῆσαι TWHR. [20] ζημιωθῆναι TWHR. [21] τί γὰρ δοῖ TTrWHR. [22] ἐὰν LTTrWH. [23] ὧδε τῶν TTrWHR.

ΚΕʹ. 2 [a]Καὶ μεθ'[1] ἡμέρας ἓξ παραλαμβάνει ὁ Ἰησοῦς τὸν
Πέτρον καὶ τὸν Ἰάκωβον καὶ τὸν[2] Ἰωάννην[3], καὶ ἀνα-
φέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν μόνους· καὶ
3 μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ τὰ ἱμάτια αὐτοῦ
ἐγένετο[4] στίλβοντα, [b]λευκὰ λίαν ὡς χιών[5], οἷα γνα-
4 φεὺς ἐπὶ τῆς γῆς οὐ δύναται[6] λευκᾶναι. καὶ ὤφθη
αὐτοῖς Ἡλίας[7] σὺν Μωσεῖ[8], καὶ ἦσαν [9]συλλαλοῦντες
5 τῷ Ἰησοῦ. καὶ ἀποκριθεὶς ὁ Πέτρος λέγει τῷ Ἰησοῦ,
"Ῥαββί[10], καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· καὶ ποιή-
σωμεν σκηνὰς τρεῖς[11], σοὶ μίαν, καὶ Μωσεῖ[12] μίαν,
6 καὶ Ἡλίᾳ[13] μίαν." [c]Οὐ γὰρ ᾔδει τί λαλήσῃ[14]· ἦσαν
7 γὰρ ἔκφοβοι[15]. καὶ ἐγένετο νεφέλη ἐπισκιάζουσα αὐ-
τοῖς· καὶ ἦλθε[16] φωνὴ ἐκ τῆς νεφέλης, λέγουσα[17],
[d]"Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός· αὐτοῦ ἀκού-
8 ετε[18]." Καὶ ἐξάπινα περιβλεψάμενοι, οὐκέτι οὐδένα
εἶδον, ἀλλὰ[19] τὸν Ἰησοῦν μόνον μεθ' ἑαυτῶν[20].
9 [e]Καταβαινόντων δὲ[21] αὐτῶν ἀπὸ[22] τοῦ ὄρους, [f]διε-
στείλατο αὐτοῖς ἵνα μηδενὶ διηγήσωνται ἃ εἶδον[23], εἰ
πη/ι 10 μὴ ὅταν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ. καὶ
τὸν λόγον ἐκράτησαν πρὸς ἑαυτούς, [24]συζητοῦντες τί
πθ/ϛ 11 ἐστι τό, ἐκ νεκρῶν ἀναστῆναι. Καὶ ἐπηρώτων[25] αὐτόν,
λέγοντες, "Ὅτι[26] λέγουσιν[27] οἱ γραμματεῖς, [g]ὅτι Ἡλίαν[28]
12 δεῖ ἐλθεῖν πρῶτον;" Ὁ δὲ ἀποκριθείς, εἶπεν[29] αὐτοῖς,
[h]"Ἡλίας[7] μὲν[30] ἐλθὼν πρῶτον, ἀποκαθιστᾷ[31] πάντα·
καὶ [i]πῶς γέγραπται ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου,[32] [k]ἵνα
13 πολλὰ πάθῃ καὶ [l]ἐξουδενωθῇ[33,34]. ἀλλὰ λέγω ὑμῖν, ὅτι
καὶ [g]Ἡλίας[7] ἐλήλυθε, καὶ ἐποίησαν αὐτῷ ὅσα ἠθέλη-
σαν[35], καθὼς γέγραπται ἐπ' αὐτόν."

[a] ver. 2—8, Matt. 17. 1—8. Luc. 9. 28—36.
[b] Vid. Matt. 28. 3.
[c] Cf. cap. 14. 40.
[d] Matt. 3. 17; 17. 5. cap. 1. 11. Luc. 3. 22; 9. 35. 2 Pet. 1. 17. Cf. Esa. 42. 1.
[e] ver. 9—13, Matt. 17. 9—13.
[f] Vid. cap. 5. 43.
[g] Vid. Matt. 11. 14.
[h] Mal. 4. 5.
[i] Vid. Matt. 26. 24.
[k] cap. 8. 31. Vid. Matt. 16. 21.
[l] Luc. 23. 11. Act. 4. 11.

[1] μετὰ LTTrWH. [2] —τὸν LTrWH (non marg.). [3] Ἰωάνην WH. [4] ἐγένοντο LTr. [5] —ὡς χιών TTrWHR. [6] +οὕτως TTrWHR. [7] Ἡλείας T, Ἠλείας WH. [8] Μωυσεῖ LT(-ϋ-)WH, Μωυσῇ Tr. [9] συν- TWH. [10] Ῥαββεί TWH. [11] τρεῖς σκηνάς LTTrWH. [12] Μωυσεῖ LT(-ϋ-)WH, Μωυσῇ Tr. [13] Ἡλείᾳ T, Ἠλείᾳ WH. [14] ἀποκριθῇ TTrWHR. [15] ἔκφοβοι γὰρ ἐγένοντο LTTrWHR. [16] ἐγένετο TTr marg. WHR. [17] —λέγουσα TTr WHR. [18] ἀκούετε αὐτοῦ L (non marg.) TTrWH. [19] εἰ μὴ LWH (non marg.) R. [20] μεθ' (μετὰ L marg.) ἑαυτῶν εἰ μὴ τὸν Ἰησοῦν μόνον L marg. WH text. (non marg.). [21] καὶ καταβαινόντων LTTr (non marg.) WHR. [22] ἐκ LTr marg. WH (non marg.). [23] ἃ εἶδον διηγήσωνται L (non marg.) TTr (non marg.) WH. [24] συν- LTTrWH. [25] ἐπηρώτησαν L marg. [26] Ὅ τι L. [27] +οἱ Φαρισαῖοι καὶ T[L]. [28] Ἡλείαν T, Ἠλείαν WH. [29] ἔφη TTr (non marg.) WHR. [30] —μὲν T[Tr]. [31] ἀποκαθιστάνει LTTr, ἀποκατιστάνει WH. [32] ; LT. [33] ἐξουδενηθῇ LTrWH, ἐξουθενωθῇ T. [34] ; WHR. [35] ἤθελον TTrWH.

[a] ver. 14—28, Matt. 17. 14—19. Luc. 9. 37—42.
[b] cap. 14. 33; 16. 5, 6.

[a]Καὶ **ἐλθὼν**[1] πρὸς τοὺς μαθητάς, **εἶδεν**[2] ὄχλον πολὺν 14 ξ
περὶ αὐτούς, καὶ γραμματεῖς [3]**συζητοῦντας αὐτοῖς**[4]. ι
καὶ **εὐθέως**[5] [f]πᾶς ὁ ὄχλος **ἰδὼν**[6] αὐτόν, [b]**ἐξεθαμβήθη**[7], 15
καὶ προστρέχοντες ἠσπάζοντο αὐτόν. καὶ ἐπηρώ- 16
τησε **τοὺς γραμματεῖς**[8], "Τί [3]**συζητεῖτε** πρὸς **αὐ-**
τούς[9];" Καὶ **ἀποκριθεὶς**[10] εἷς ἐκ τοῦ ὄχλου, **εἶπε**[11], 17 Κς'.
"Διδάσκαλε, ἤνεγκα τὸν υἱόν μου πρός σε, ἔχοντα ξα
πνεῦμα ἄλαλον. καὶ ὅπου **ἂν**[12] αὐτὸν καταλάβῃ, 18 β

[c] Matt. 7. 6.

[c]ῥήσσει **αὐτόν**[13]· καὶ ἀφρίζει, καὶ τρίζει τοὺς ὀδόντας
αὐτοῦ[14], καὶ ξηραίνεται· καὶ **εἶπον**[15] τοῖς μαθηταῖς
σου ἵνα αὐτὸ ἐκβάλωσι, καὶ οὐκ ἴσχυσαν." Ὁ δὲ 19
ἀποκριθεὶς **αὐτῷ**[16], λέγει, "Ὦ γενεὰ ἄπιστος, ἕως
πότε πρὸς ὑμᾶς ἔσομαι; ἕως πότε ἀνέξομαι ὑμῶν;
φέρετε αὐτὸν πρός με." Καὶ ἤνεγκαν αὐτὸν πρὸς 20

[d] Vid. ver. 26.

αὐτόν· καὶ ἰδὼν αὐτόν, **εὐθέως τὸ πνεῦμα**[17] [d]**ἐσπάραξεν**[18]
αὐτόν· καὶ πεσὼν ἐπὶ τῆς γῆς, ἐκυλίετο ἀφρίζων.
Καὶ ἐπηρώτησε τὸν πατέρα αὐτοῦ, "Πόσος χρόνος 21
ἐστίν, **ὡς**[19] τοῦτο γέγονεν αὐτῷ;" Ὁ δὲ εἶπε, "[20]Παι-
διόθεν. καὶ πολλάκις **αὐτὸν καὶ εἰς πῦρ**[21] ἔβαλε καὶ 22
εἰς ὕδατα, ἵνα ἀπολέσῃ αὐτόν· **ἀλλ'**[22] εἴ τι **δύνασαι**[23],
βοήθησον ἡμῖν, σπλαγχνισθεὶς ἐφ' ἡμᾶς." Ὁ δὲ 23

[e] Luc. 17. 5, 6. Vid. cap. 6. 5.

Ἰησοῦς εἶπεν αὐτῷ, [e]"Τό[24], εἰ **δύνασαι**[23] **πιστεῦσαι**[25],
πάντα δυνατὰ τῷ πιστεύοντι." **Καὶ**[26] **εὐθέως**[27] κράξας 24
ὁ πατὴρ τοῦ παιδίου, **μετὰ δακρύων**[28] ἔλεγε, "Πισ-
τεύω, **Κύριε**[29], βοήθει μου τῇ ἀπιστίᾳ." Ἰδὼν δὲ ὁ Ἰη- 25

[f] ver. 15.

σοῦς [f]ὅτι ἐπισυντρέχει[30] ὄχλος, ἐπετίμησε τῷ πνεύματι
τῷ ἀκαθάρτῳ, λέγων αὐτῷ, "Τὸ **πνεῦμα τὸ ἄλαλον**
καὶ κωφόν[31], ἐγώ σοι **ἐπιτάσσω**[32], ἔξελθε **ἐξ**[33] αὐτοῦ,

[1] ἐλθόντες TTr (*non marg.*) WHR. [2] εἶδον TTr (*non marg.*) R, εἶδαν WH. [3] συν- LTTrWH. [4] πρὸς αὐτοὺς TTrWHR. [5] εὐθὺς TTrWH. [6] ἰδόντες LTTrWH. [7] ἐξεθαμβήθησαν LTTrWH. [8] αὐτούς L (*non marg.*) TTrWHR. [9] αὐτούς BE. [10] ἀπεκρίθη αὐτῷ LTTrWHR. [11] —εἶπε LTTrWHR. [12] ἐὰν LTTrWH. [13] —αὐτόν T. [14] —αὐτοῦ TTr[L]WHR. [15] εἶπα TTr (*non marg.*) WH. [16] αὐτοῖς LTTrWHR. [17] τὸ πνεῦμα εὐθὺς LTTrWHR. [18] συνεσπάραξεν LTTr *marg.* WHR. [19] ἐξ οὗ Tr *marg.* [20] +ἐκ LTTrWHR. [21] καὶ εἰς πῦρ αὐτὸν TTr *marg.* WHR. [22] ἀλλὰ T. [23] δύνῃ LTTrWH. [24] τὸ WH *marg.* [25] —πιστεῦσαι (δύνῃ; T) TTrWHR, [πιστεῦσαι] Tr *marg.* [26] —Καὶ T[LTr]WHR. [27] εὐθὺς TTrWH. [28] —μετὰ δακρύων LTTrWH (*non marg.*) R (*non marg.*). [29] —Κύριε LTTrWHR. [30] +ὁ T. [31] ἄλαλον καὶ κωφὸν πνεῦμα LTTrWH. [32] ἐπιτάσσω σοι TTr (*non marg.*) WH. [33] ἀπ' L.

26 καὶ μηκέτι εἰσέλθῃς εἰς αὐτόν." Καὶ **κράξαν**[1], καὶ
πολλὰ [a] **σπαράξαν**[2] **αὐτόν**[3], ἐξῆλθε· καὶ ἐγένετο ὡσεὶ | [a] ver. 20. cap. 1. 26.
27 νεκρός, ὥστε [4]πολλοὺς λέγειν ὅτι ἀπέθανεν. ὁ δὲ
Ἰησοῦς κρατήσας **αὐτὸν τῆς χειρὸς**[5], ἤγειρεν αὐτόν·
καὶ ἀνέστη.

λβ/ι 28 Καὶ **εἰσελθόντα αὐτὸν**[6] εἰς [b] οἶκον, οἱ μαθηταὶ αὐτοῦ | [b] Vid. cap. 3. 20. Cf. Matt. 17. 19.
ἐπηρώτων αὐτὸν κατ' ἰδίαν[7], "**Ὅτι**[8] ἡμεῖς οὐκ ἠδυνή-
29 θημεν ἐκβαλεῖν αὐτό;" Καὶ εἶπεν αὐτοῖς, [c] "Τοῦτο | [c] Matt. 17. 21 (var. lect.).
τὸ γένος ἐν οὐδενὶ δύναται ἐξελθεῖν, εἰ μὴ ἐν προσ-
ευχῇ **καὶ νηστείᾳ**[9]."

λγ 30 [d] **ΚΑΙ ἐκεῖθεν**[10] ἐξελθόντες **παρεπορεύοντο**[11] διὰ τῆς | [d] ver. 30—32, Matt. 17. 22, 23. Luc. 9. 43—45.
β 31 Γαλιλαίας· καὶ οὐκ ἤθελεν ἵνα τις **γνῷ**[12]. ἐδίδασκε
γὰρ τοὺς μαθητὰς αὐτοῦ, καὶ ἔλεγεν **αὐτοῖς**[13], "Ὅτι [e] ὁ | [e] Vid. cap. 8. 31.
υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς χεῖρας ἀνθρώπων,
καὶ ἀποκτενοῦσιν αὐτόν· καὶ ἀποκτανθείς, **τῇ τρίτῃ** | [f] Luc. 2. 50; 9. 45; 18. 34. Joan. 12. 16.
32 **ἡμέρᾳ**[14] ἀναστήσεται." [f] Οἱ δὲ ἠγνόουν τὸ ῥῆμα, καὶ
ἐφοβοῦντο αὐτὸν ἐπερωτῆσαι.

ΚΖ'. 33 [g] Καὶ **ἦλθεν**[15] εἰς **Καπερναούμ**[16]· καὶ ἐν τῇ οἰκίᾳ γε- | [g] Matt. 17. 24.
λδ νόμενος, ἐπηρώτα αὐτούς, [h] "Τί ἐν τῇ ὁδῷ **πρὸς ἑαυτοὺς**[17] | [h] ver. 33—37, Matt. 18. 1—5. Luc. 9. 46—48.
ι 34 διελογίζεσθε;" Οἱ δὲ ἐσιώπων· [i] πρὸς ἀλλήλους γὰρ
λε/β 35 διελέχθησαν **ἐν τῇ ὁδῷ**[18], τίς μείζων. καὶ καθίσας | [i] Luc. 22. 24. Cf. ver. 50.
ἐφώνησε τοὺς δώδεκα, καὶ λέγει αὐτοῖς, [k] "Εἴ τις θέλει
πρῶτος εἶναι, ἔσται πάντων ἔσχατος, καὶ πάντων | [k] Matt. 20. 26, 27; 23. 11. cap. 10. 43. Luc. 22. 26.
36 διάκονος." Καὶ λαβὼν παιδίον, ἔστησεν αὐτὸ ἐν
μέσῳ αὐτῶν· καὶ [l] ἐναγκαλισάμενος αὐτό, εἶπεν αὐτοῖς· | [l] cap. 10. 16.
λϛ/α 37 "Ὃς **ἐὰν**[19] [m] **ἓν**[20] **τῶν τοιούτων παιδίων**[21] δέξηται ἐπὶ τῷ | [m] ver. 42. Vid. Matt. 10. 42.
ὀνόματί μου, ἐμὲ δέχεται· καὶ ὃς **ἐὰν**[19] ἐμὲ **δέξηται**[22],
οὐκ ἐμὲ δέχεται, ἀλλὰ τὸν ἀποστείλαντά με."

λζ/η 38 [n] **Ἀπεκρίθη δὲ**[23] αὐτῷ **ὁ**[24] **Ἰωάννης**[25], **λέγων**[26], "Διδάσ- | [n] ver. 38—40, Luc. 9. 49, 50.
καλε, **εἴδομέν**[27] **τινα**[28] τῷ ὀνόματί σου [o] ἐκβάλλοντα | [o] Vid. Matt. 7. 22.

[1] κράξας LTTrWHR. [2] σπαράξας LTTrWHR. [3] —αὐτόν TTr[L]WHR. [4] +τοὺς LTTrWHR. [5] τῆς χειρὸς αὐτοῦ LTTrWHR. [6] εἰσελθόντος αὐτοῦ LTTrWHR. [7] κατ' ἰδίαν ἐπηρώτων αὐτὸν LTTrWHR. [8] Ὅ τι L. [9] —καὶ νηστείᾳ T[Tr marg.]WH (non marg.†)R (non marg.). [10] Κἀκεῖθεν LTTrWH. [11] ἐπορεύοντο L (non marg.) Tr (non marg.) WH (non marg.). [12] γνοῖ LTTrWH. [13] [αὐτοῖς] Tr marg. WH. [14] μετὰ τρεῖς ἡμέρας LTTrWHR. [15] ἦλθον LTTrWHR. [16] Καφαρναούμ LTTrWH. [17] —πρὸς ἑαυτοὺς LTTrWHR. [18] [ἐν τῇ ὁδῷ] LTr marg. [19] ἂν LTTrWH. [20] [ἓν] WH. [21] τῶν παιδίων τούτων T. [22] δέχηται L marg. TTr (non marg.) WHR. [23] ἀπεκρίθη [δὲ] L, at ἔφη TTrWHR. [24] —ὁ L. [25] Ἰωάνης WH. [26] —λέγων TWHR. [27] εἴδαμεν WH. [28] +ἐν ELTTrWHR.

[a] Cf. Num. 11. 28. [b] Cf. Luc. 11. 23. Vid. Matt. 12. 30. [c] Vid. Matt. 10. 42. [d] 1 Pet. 4. 14. [e] ver. 43, 47. Vid. Matt. 17. 27. [f] Matt. 18. 6. Luc. 17. 2. [g] ver. 37. Vid. Matt. 10. 42. [h] Matt. 5. 30. [i] Vid. Matt. 15. 30. [k] Matt. 3. 12. [l] ver. 46 (var. lect.), 48. Esa. 66. 24. [m] Matt. 18. 8. [n] Matt. 5. 29; 18. 9. [o] Vid. Matt. 5. 22. [p] Cf. Matt. 25. 46. [q] Lev. 2. 13. Ezek. 43. 24. [r] Vid. Matt. 5. 13. Cf. Col. 4. 6. [s] Rom. 12. 18. 2 Cor. 13. 11. 1 Thess. 5. 13. Cf. ver. 34. Heb. 12. 14.

δαιμόνια, **ὃς οὐκ ἀκολουθεῖ ἡμῖν**[1]· καὶ **ἐκωλύσαμεν**[2]
αὐτόν, **ὅτι οὐκ ἀκολουθεῖ ἡμῖν**[3]." Ὁ δὲ Ἰησοῦς εἶπε, 39
[a]"Μὴ κωλύετε αὐτόν· οὐδεὶς γάρ ἐστιν ὃς ποιήσει
δύναμιν ἐπὶ τῷ ὀνόματί μου, καὶ δυνήσεται ταχὺ
κακολογῆσαί με. [b]ὃς γὰρ οὐκ ἔστι καθ' **ὑμῶν**[4], ὑπὲρ 40
ὑμῶν[4] ἐστιν. [c]ὃς γὰρ ἂν ποτίσῃ ὑμᾶς ποτήριον ὕδα- 41 λη/ς
τος [d]ἐν **τῷ**[5] ὀνόματί **μου**[6], ὅτι Χριστοῦ ἐστέ, ἀμὴν
λέγω ὑμῖν, [7]οὐ μὴ **ἀπολέσῃ**[8] τὸν μισθὸν αὐτοῦ.
Καὶ [f]ὃς ἂν [e]σκανδαλίσῃ [g]ἕνα τῶν μικρῶν [9]τῶν πισ- 42 λθ/β
τευόντων **εἰς ἐμέ**[10], καλόν ἐστιν αὐτῷ μᾶλλον, εἰ περί-
κειται **λίθος μυλικὸς**[11] περὶ τὸν τράχηλον αὐτοῦ, καὶ
βέβληται εἰς τὴν θάλασσαν. [hm]Καὶ ἐὰν [e]**σκανδαλίζῃ**[12] 43 ρ/ς
σε ἡ χείρ σου, ἀπόκοψον αὐτήν· καλόν **σοι ἐστὶ**[13]
[i]κυλλὸν **εἰς τὴν ζωὴν εἰσελθεῖν**[14], ἢ τὰς δύο χεῖρας
ἔχοντα ἀπελθεῖν εἰς τὴν γέενναν, εἰς [k]τὸ πῦρ τὸ ἄσβε-
στον, [l]**ὅπου ὁ σκώληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ** 44 ρα/ι
σβέννυται.[15] καὶ [m]ἐὰν ὁ πούς σου σκανδαλίζῃ σε, 45
ἀπόκοψον αὐτόν· καλόν [16]**ἐστί σοι**[17] εἰσελθεῖν εἰς
τὴν ζωὴν χωλόν, ἢ τοὺς δύο πόδας ἔχοντα βληθῆναι
εἰς τὴν **γέενναν**[18], **εἰς τὸ πῦρ τὸ ἄσβεστον**[19], [l]**ὅπου ὁ σκώ-** 46
ληξ αὐτῶν οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται.[15] [n]καὶ 47
ἐὰν ὁ ὀφθαλμός σου [e]σκανδαλίζῃ σε, ἔκβαλε αὐτόν·
καλόν σοι ἐστὶ[20] μονόφθαλμον εἰσελθεῖν εἰς τὴν βα-
σιλείαν τοῦ Θεοῦ, ἢ δύο ὀφθαλμοὺς ἔχοντα βληθῆναι
[o]**εἰς τὴν**[21] γέενναν **τοῦ πυρός**[22], [l]ὅπου ὁ σκώληξ αὐτῶν 48
[p]οὐ τελευτᾷ, καὶ τὸ πῦρ οὐ σβέννυται. [q]Πᾶς γὰρ πυρὶ 49
ἁλισθήσεται, **καὶ πᾶσα θυσία ἁλὶ ἁλισθήσεται**[23]. [r]κα- 50 ρβ/β
λὸν τὸ **ἅλας**[24]· ἐὰν δὲ τὸ **ἅλας**[24] ἄναλον γένηται, ἐν
τίνι αὐτὸ ἀρτύσετε; ἔχετε ἐν ἑαυτοῖς **ἅλας**[25], καὶ
[s]εἰρηνεύετε ἐν ἀλλήλοις."

[1] –ὃς οὐκ ἀκολουθεῖ ἡμῖν Tr *marg.* [Tr *text.*] WHR (*at* WH *marg.* ⁺ *habet, legens* μεθ' ἡμῶν). [2] ἐκωλύομεν TTr (*non marg.*) WHR. [3] –ὅτι οὐκ ἀκολουθεῖ ἡμῖν WH *marg.*, *at* ἠκολούθει TWHR. [4] ἡμῶν ETTrWHR. [5] –τῷ LTTrWHR. [6] –μου LTrWHR. [7] +ὅτι TTr[L]WHR. [8] ἀπολέσει LTr (*non marg.*). [9] +τούτων LTTr[Tr *marg.*]WHR. [10] –εἰς ἐμέ TWH.R *marg.*, *at* τῶν πίστιν ἐχόντων [εἰς ἐμέ] Tr *marg.* [11] μύλος ὀνικὸς LTTrWHR. [12] σκανδαλίσῃ L *marg.* TWH (*non marg.*) R. [13] ἐστίν σε LTTrWHR. [14] εἰσελθεῖν εἰς τὴν ζωὴν LTTrWH. [15] *vv.* 44, 46 *omittunt* TWHR, *uncinis includit* Tr. [16] +[γὰρ] L. [17] ἐστίν σε LTTrWHR. [18] γέεναν S. [19] –εἰς τὸ πῦρ τὸ ἄσβεστον TTr [L]WHR. [20] σε ἐστὶν T, σέ ἐστιν Tr (*non marg.*) WH(R). [21] –τὴν [Tr *marg.*]WH (*non marg.*). [22] –τοῦ πυρός LTTrWHR, *at* [τὴν] γέενναν [τοῦ πυρός] Tr *marg.* [23] –καὶ πᾶσα θυσία ἁλὶ ἁλισθήσεται TTr *marg.* [Tr]WH *text.* R (*text. non marg.*): πᾶσα γὰρ θυσία ἁλὶ ἁλισθήσεται WH *marg.* [24] ἅλα T. [25] ἅλα LTTrWH.

ργ 10 **ΚΑΚΕΙΘΕΝ**[1] ἀναστὰς [a] ἔρχεται εἰς τὰ ὅρια τῆς
ϛ Ἰουδαίας, **διὰ τοῦ**[2] πέραν τοῦ Ἰορδάνου· καὶ [3] **συμπο-**
ρεύονται πάλιν ὄχλοι πρὸς αὐτόν· καὶ [b] ὡς εἰώθει, πά-
ΚΗ′. 2 λιν ἐδίδασκεν αὐτούς. Καὶ **προσελθόντες οἱ**[4] **Φαρι-**
σαῖοι[5] **ἐπηρώτησαν**[6] αὐτόν, εἰ ἔξεστιν ἀνδρὶ γυναῖκα
3 ἀπολῦσαι, πειράζοντες αὐτόν. ὁ δὲ ἀποκριθεὶς εἶπεν
4 αὐτοῖς, "Τί ὑμῖν ἐνετείλατο **Μωσῆς**[7];" Οἱ δὲ **εἶπον**[8],
[c] "**Μωσῆς ἐπέτρεψε**[9] βιβλίον ἀποστασίου γράψαι, καὶ
5 ἀπολῦσαι." **Καὶ ἀποκριθεὶς ὁ**[10] Ἰησοῦς εἶπεν αὐτοῖς,
"Πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἔγραψεν ὑμῖν τὴν
6 ἐντολὴν ταύτην· [d] ἀπὸ δὲ ἀρχῆς κτίσεως, [e] ἄρσεν καὶ
7 θῆλυ ἐποίησεν **αὐτοὺς**[11] **ὁ Θεός**[12]. [f] 'ἕνεκεν τούτου κατα-
λείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα[13].
καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ[14],
8 καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.' ὥστε οὐκέτι εἰσὶ
9 δύο, ἀλλὰ μία σάρξ. ὃ οὖν ὁ Θεὸς συνέζευξεν, ἄν-
ρδ 10 θρωπος μὴ χωριζέτω." Καὶ **ἐν τῇ οἰκίᾳ**[15] πάλιν οἱ
ι μαθηταὶ **αὐτοῦ**[16] περὶ τοῦ **αὐτοῦ**[17] **ἐπηρώτησαν**[18] αὐτόν.
ρε 11 καὶ λέγει αὐτοῖς, [g] "Ὃς **ἐὰν**[19] ἀπολύσῃ τὴν γυναῖκα
β 12 αὐτοῦ καὶ γαμήσῃ ἄλλην, μοιχᾶται ἐπ' αὐτήν· [g] καὶ
ἐὰν **γυνὴ ἀπολύσῃ**[20] τὸν ἄνδρα αὐτῆς **καὶ**[20] **γαμηθῇ**
ἄλλῳ[21], μοιχᾶται."

ρϛ 13 [h] Καὶ προσέφερον αὐτῷ παιδία, ἵνα **ἅψηται αὐτῶν**[22].
β 14 οἱ δὲ μαθηταὶ **ἐπετίμων*** **τοῖς προσφέρουσιν**[23]. **ἰδὼν**
δὲ ὁ Ἰησοῦς ἠγανάκτησε, καὶ εἶπεν αὐτοῖς, "Ἄφετε
τὰ παιδία ἔρχεσθαι πρός με, **καὶ**[24] μὴ κωλύετε αὐτά·
15 τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ· [i] ἀμὴν
λέγω ὑμῖν, ὃς **ἐὰν**[25] μὴ δέξηται τὴν βασιλείαν τοῦ
16 Θεοῦ ὡς παιδίον, οὐ μὴ εἰσέλθῃ εἰς αὐτήν." Καὶ
[k] ἐναγκαλισάμενος αὐτά, **τιθεὶς τὰς χεῖρας ἐπ' αὐτά,**
ηὐλόγει αὐτά[26].

[a] ver. 1—12, Matt. 19. 1—9.
[b] cap. 1. 21; 2. 13; 4. 2; 6. 2, 6, 34; 12. 35; 14. 49.
[c] Deut. 24. 1. Jer. 3. 1. Matt. 5. 31.
[d] cap. 13. 19. Rom. 1. 20. 2 Pet. 3. 4.
[e] Gen. 1. 27; 5. 2.
[f] Gen. 2. 24.
[g] Vid. Matt. 5. 32. Cf. Luc. 16. 18.
[h] ver. 13—16, Matt. 19. 13—15. Luc. 18. 15—17.
[i] Vid. Matt. 18. 3.
[k] cap. 9. 36.

[1] Καὶ ἐκεῖθεν LTTrWH. [2] καὶ LTTrWHR. [3] συν- TWH. [4] —οἱ LTrWHR. [5] [προσελθόντες Φαρισαῖοι] WH. [6] ἐπηρώτων LTTrWHR. [7] Μωυσῆς LT(-ϋ-)TrWH. [8] εἶπαν LTTrWH. [9] ἐπέτρεψεν Μωυσῆς LT(-ϋ-)TrWH. [10] ὁ δὲ TTr (*non marg.*) WHR. [11] [αὐτούς] WH. [12] —ὁ Θεός TTr (*non marg.*) [L] WHR. [13] +αὐτοῦ T. [14] τῇ γυναικὶ L, *at* —καὶ προσκ. *ad fin. vers.* T[Tr *marg.*]WHR *marg.* [15] εἰς τὴν οἰκίαν LTTrWHR. [16] —αὐτοῦ TTr[L]WHR. [17] τούτου LTTrWHR. [18] ἐπηρώτων TTr *marg.* WHR. [19] ἂν LTTrWH. [20] αὐτὴ ἀπολύσασα (—καὶ *sequens*) TTrWHR. [21] γαμήσῃ ἄλλον LTTrWHR. [22] αὐτῶν ἅψηται WH. [23] αὐτοῖς L *marg.* Tr *marg.* WHR. [24] —καὶ TTrWHR. [25] ἂν LTTrWH. [26] εὐλόγει L, *at* κατηυλόγει (κατευλόγει TTr (*corr.*) WH) τιθεὶς τὰς χεῖρας ἐπ' αὐτά TTrWHR.
* ἐπετίμησαν Tr *marg.* WH.

[a] ver. 17—30, Matt. 19. 16—29. Luc. 18. 18—30. [b] Vid. cap. 1. 40. [c] Ex. 20. 13—16. Cf. Rom. 13. 9. [d] Ex. 20. 12. [e] ver. 27. Matt. 19. 26. Joan. 1. 43. [f] Matt. 16. 3. [g] ver. 32. [h] Job 31. 24. Ps. 49. 6; 52. 7. Prov. 11. 28. 1 Tim. 6. 17. [i] Cf. Matt. 19. 23, 24. [k] cap. 7. 37.

[a]Καὶ ἐκπορευομένου αὐτοῦ εἰς ὁδόν, προσδραμὼν 17 ΚΘ'.
εἷς καὶ [b]γονυπετήσας αὐτὸν ἐπηρώτα αὐτόν, "Διδάσ- ρζ β
καλε ἀγαθέ, τί ποιήσω ἵνα ζωὴν αἰώνιον κληρονο-
μήσω;" Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, "Τί με λέγεις 18
ἀγαθόν; οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς, ὁ Θεός. τὰς ἐντο- 19
λὰς οἶδας, [c]**Μὴ μοιχεύσῃς· μὴ φονεύσῃς**[1]· μὴ κλέψῃς·
μὴ ψευδομαρτυρήσῃς· μὴ ἀποστερήσῃς· [d]τίμα τὸν
πατέρα σου καὶ τὴν μητέρα[2]." Ὁ δὲ **ἀποκριθεὶς**[3] 20
εἶπεν[4] αὐτῷ, "Διδάσκαλε, **ταῦτα πάντα**[5] **ἐφυλαξάμην**[6]
ἐκ νεότητός μου." Ὁ δὲ Ἰησοῦς [e]ἐμβλέψας αὐτῷ 21 ρη β
ἠγάπησεν αὐτόν, καὶ εἶπεν αὐτῷ, "[e]Ἕν **σοι**[7] ὑστερεῖ·
ὕπαγε, ὅσα ἔχεις πώλησον, καὶ δὸς **τοῖς**[8] πτωχοῖς,
καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ· καὶ δεῦρο, ἀκολούθει
μοι, **ἄρας τὸν σταυρόν**[9]." Ὁ δὲ [f]στυγνάσας ἐπὶ τῷ 22 ρθ β
λόγῳ ἀπῆλθε λυπούμενος· ἦν γὰρ ἔχων κτήματα
πολλά. Καὶ περιβλεψάμενος ὁ Ἰησοῦς λέγει τοῖς 23
μαθηταῖς αὐτοῦ, "Πῶς δυσκόλως οἱ τὰ χρήματα
ἔχοντες εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελεύσονται."
Οἱ δὲ μαθηταὶ [g]ἐθαμβοῦντο ἐπὶ τοῖς λόγοις αὐτοῦ. 24
Ὁ δὲ Ἰησοῦς πάλιν ἀποκριθεὶς λέγει αὐτοῖς, "**Τέκ-
να**[10], πῶς δύσκολόν ἐστι **τοὺς** [h]**πεποιθότας** [i]**ἐπὶ τοῖς
χρήμασιν**[11] εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν.
εὐκοπώτερόν ἐστι κάμηλον διὰ **τῆς**[12] τρυμαλιᾶς **τῆς**[12] 25
ῥαφίδος **εἰσελθεῖν**[13], ἢ πλούσιον εἰς τὴν βασιλείαν
τοῦ Θεοῦ εἰσελθεῖν." Οἱ δὲ [k]περισσῶς ἐξεπλήσ- 26
σοντο, λέγοντες πρὸς **ἑαυτούς**[14], "Καὶ τίς δύναται
σωθῆναι;" [e]Ἐμβλέψας **δὲ**[15] αὐτοῖς ὁ Ἰησοῦς λέγει, 27
"Παρὰ ἀνθρώποις[16] ἀδύνατον, ἀλλ' οὐ παρὰ **τῷ**[17] Θεῷ·
πάντα γὰρ δυνατά **ἐστι**[18] παρὰ τῷ[19] Θεῷ." **Καὶ**[20] 28
ἤρξατο **ὁ Πέτρος λέγειν**[21] αὐτῷ, "Ἰδού, ἡμεῖς ἀφή-
καμεν πάντα, καὶ **ἠκολουθήσαμέν**[22] σοι." **Ἀποκριθεὶς** 29 ρι β

[1] Μὴ φονεύσῃς, μὴ μοιχεύσῃς L (*non marg.*) Tr *marg.* WHR (Μὴ μοιχεύσῃς, Μὴ πορνεύσῃς WH *marg.*‡). [2] +σου LT. [3] −ἀποκριθεὶς T[Tr *marg.*]WHR. [4] ἔφη TTr (*non marg.*) WHR. [5] *πάντα ταῦτα* L (*non marg.*). [6] ἐφύλαξα L. [7] σε TTr *marg.* WHR. [8] −τοῖς LTr[WH]R. [9] −ἄρας τὸν σταυρόν TTr[L]WHR. [10] τεκνία L. [11] −τοῖς LTrTr *marg.* R, *at* −τοὺς πεποιθότας ἐπὶ τοῖς χρήμασιν T[Tr *marg.*]WH.R *marg.* [12] −τῆς LTrWH (*non marg.*) R. [13] διελθεῖν BEL (*non marg.*) TTr (*non marg.*) WHR. [14] αὐτόν Tr *marg.* WHR (*non marg.*). [15] −δὲ TTrWHR. [16] +[τοῦτο] L. [17] −τῷ TTrWH. [18] −ἐστι TTr[Tr *marg.*]WH. [19] [τῷ] WH, *at* WH *marg.*‡ *habet* ἀδύνατόν ἐστιν παρὰ δὲ τῷ θεῷ δυνατόν. [20] −Καὶ LTTrWHR. [21] λέγειν ὁ Πέτρος TTr *marg.* WH. [22] ἠκολουθήκαμέν LTTrWHR.

δὲ ὁ Ἰησοῦς εἶπεν[1], [a]"Ἀμὴν λέγω ὑμῖν, οὐδείς ἐστιν, [a] Cf. Matt. 19. 28, 29.
ὃς ἀφῆκεν οἰκίαν, ἢ ἀδελφούς, ἢ ἀδελφάς, ἢ πατέρα,
ἢ μητέρα[2], ἢ γυναῖκα[3], ἢ τέκνα, ἢ ἀγρούς, ἕνεκεν
30 ἐμοῦ καὶ[4] τοῦ εὐαγγελίου, [b]ἐὰν μὴ λάβῃ ἑκατοντα- [b] Cf. Matt. 6. 33.
πλασίονα νῦν [c]ἐν τῷ καιρῷ τούτῳ, οἰκίας καὶ ἀδελ- [c] Luc. 18. 30.
φοὺς καὶ ἀδελφὰς καὶ μητέρας[5] καὶ τέκνα καὶ ἀγρούς,
[d]μετὰ διωγμῶν, καὶ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν [d] 2 Cor. 12. 10.
ρια 31 αἰώνιον[6]. [e]πολλοὶ δὲ ἔσονται πρῶτοι ἔσχατοι, καὶ οἱ[7] 2 Thess. 1. 4.
β ἔσχατοι πρῶτοι." 2 Tim 3. 11. Cf.
ριβ 32 [f]ἮΣΑΝ δὲ ἐν τῇ ὁδῷ ἀναβαίνοντες εἰς Ἱεροσό- Act. 14. 22.
β λυμα[8]· καὶ [g]ἦν προάγων αὐτοὺς ὁ Ἰησοῦς, καὶ [h]ἐθαμ- [e] Vid. Matt. 19. 30.
βοῦντο, καὶ[9] ἀκολουθοῦντες ἐφοβοῦντο. καὶ παρα- [f] ver. 32—34,
λαβὼν πάλιν τοὺς δώδεκα, ἤρξατο αὐτοῖς λέγειν τὰ Matt. 20. 17—19.
33 μέλλοντα αὐτῷ συμβαίνειν· "Ὅτι, ἰδού, ἀναβαί- Luc. 18. 31—33.
νομεν εἰς Ἱεροσόλυμα[8], καὶ [i]ὁ υἱὸς τοῦ ἀνθρώπου [g] Cf. Luc. 9. 51.
παραδοθήσεται τοῖς ἀρχιερεῦσι καὶ τοῖς[10] γραμμα- [h] ver. 24.
τεῦσι, καὶ κατακρινοῦσιν αὐτὸν θανάτῳ, καὶ παρα- [i] Vid. cap. 8. 31.
34 δώσουσιν αὐτὸν τοῖς ἔθνεσι, καὶ ἐμπαίξουσιν αὐτῷ,
καὶ μαστιγώσουσιν αὐτόν, καὶ [k]ἐμπτύσουσιν αὐτῷ[11], καὶ [k] cap. 14. 65; 15. 19.
ἀποκτενοῦσιν αὐτόν[12]· καὶ τῇ τρίτῃ ἡμέρᾳ[13] ἀναστή- Luc. 18. 32.
σεται." Vid. Matt. 26. 67.
Λʹ. 35 [l]Καὶ προσπορεύονται αὐτῷ Ἰάκωβος καὶ Ἰωάννης[14] [l] ver. 35—45,
ρıγ οἱ[15] υἱοὶ Ζεβεδαίου, λέγοντες[16], "Διδάσκαλε, θέλομεν Matt. 20. 20—28.
ϛ 36 ἵνα ὃ ἐὰν αἰτήσωμεν[17], ποιήσῃς ἡμῖν." Ὁ δὲ εἶπεν
37 αὐτοῖς, "Τί θέλετε ποιῆσαί με[18] ὑμῖν;" Οἱ δὲ εἶπον[19]
αὐτῷ, "Δὸς ἡμῖν, ἵνα εἷς ἐκ δεξιῶν σου[20] καὶ εἷς ἐξ
38 εὐωνύμων[21] σου[22] καθίσωμεν ἐν τῇ δόξῃ σου." Ὁ δὲ
Ἰησοῦς εἶπεν αὐτοῖς, "Οὐκ οἴδατε τί αἰτεῖσθε. δύ-
νασθε πιεῖν τὸ ποτήριον ὃ ἐγὼ πίνω, καὶ[23] [m]τὸ βάπ- [m] Luc. 12. 50.
39 τισμα ὃ ἐγὼ βαπτίζομαι, βαπτισθῆναι;" Οἱ δὲ

[1] —δὲ *tantum* LTr, *at* ἔφη ὁ Ἰησοῦς TTr *marg.* WHR, *seu* καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν Tr *marg.* [2] ἢ μητέρα ἢ πατέρα L (*non marg.*) TTrWHR. [3] —ἢ γυναῖκα LTTrWHR. [4] +ἕνεκεν TTr[LWH]R. [5] μητέρα LTrWH *marg.* [6] WH *marg.* ⁜ *habet in ver.* 30 ὃς δὲ ἀφῆκεν οἰκίαν καὶ ἀδελφὰς καὶ αδελφοὺς καὶ μητέρα καὶ τέκνα καὶ ἀγροὺς μετὰ διωγμοῦ ἐν τῷ αἰῶνι τῷ ἐρχομένῳ ζωὴν αἰώνιον λήμψεται. [7] —οἱ L[WH]. [8] Ἱεροσόλυμα WH. [9] οἱ δὲ TTrWHR. [10] —τοῖς L. [11] καὶ ἐμπτύσουσιν αὐτῷ καὶ μαστιγώσουσιν αὐτὸν LTTrWHR. [12] —αὐτόν T[LTr]WHR. [13] μετὰ τρεῖς ἡμέρας LTTrWHR. [14] Ἰωάνης WH. [15] +[δύο] WH. [16] +αὐτῷ TTr[L]WHR. [17] +σε LTTrWHR. [18] ποιήσω LTrWH *text.*, με ποιήσω TWH *marg.* [19] εἶπαν LTTrWH. [20] σου ἐκ δεξιῶν TTrWH. [21] ἀριστερῶν TrWH (σου ἐξ ἀριστερῶν T). [22] —σου Tr[L]WHR. [23] ἢ LTTrWHR.

εἶπον[1] αὐτῷ, "Δυνάμεθα." Ὁ δὲ Ἰησοῦς εἶπεν
αὐτοῖς, "Τὸ μὲν[2] ποτήριον ὃ ἐγὼ πίνω, πίεσθε· καὶ
τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε·
τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ[3] ἐξ εὐωνύμων μου[4], 40
οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται." Καὶ 41 ριδ
ἀκούσαντες οἱ δέκα ἤρξαντο ἀγανακτεῖν περὶ Ἰακώ- β
βου καὶ Ἰωάννου[5]. [a]ὁ δὲ Ἰησοῦς προσκαλεσάμενος αὐ- 42
τοὺς[6] λέγει αὐτοῖς, "Οἴδατε ὅτι [b]οἱ δοκοῦντες ἄρχειν
τῶν ἐθνῶν [c]κατακυριεύουσιν αὐτῶν· καὶ οἱ μεγάλοι
αὐτῶν κατεξουσιάζουσιν αὐτῶν. οὐχ οὕτω δὲ ἔσται[7] 43
ἐν ὑμῖν· ἀλλ' [d]ὃς ἐὰν[8] θέλῃ γενέσθαι μέγας[9] ἐν ὑμῖν,
ἔσται[10] διάκονος ὑμῶν[11]· καὶ ὃς ἂν[12] θέλῃ ὑμῶν[13] γε- 44
νέσθαι[14] πρῶτος, ἔσται πάντων δοῦλος· καὶ γὰρ ὁ 45 ριε
υἱὸς τοῦ ἀνθρώπου οὐκ ἦλθε διακονηθῆναι, ἀλλὰ δ
διακονῆσαι, καὶ δοῦναι τὴν ψυχὴν αὐτοῦ λύτρον ἀντὶ
πολλῶν."

[a] ver. 42—45, cf. Luc. 22. 25—27.
[b] Gal. 2. 2, 6, 9. Cf. Matt. 3. 9. 1 Cor. 11. 16; 14. 37.
[c] Matt. 20. 25. Act. 19. 16. 1 Pet. 5. 3.
[d] Vid. cap. 9. 35.

[e]Καὶ ἔρχονται[15] εἰς Ἱεριχώ[16]. [f]καὶ ἐκπορευομένου 46 ΛΑ'.
αὐτοῦ ἀπὸ Ἱεριχὼ[16], καὶ τῶν μαθητῶν αὐτοῦ, καὶ ρις
ὄχλου ἱκανοῦ, [17]υἱὸς Τιμαίου Βαρτίμαιος ὁ[18] τυφλὸς[19] β
ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν[19]. καὶ ἀκούσας 47
ὅτι Ἰησοῦς ὁ Ναζωραῖός[20] ἐστιν[21], ἤρξατο κράζειν καὶ
λέγειν, "Ὁ υἱὸς[22] Δαβὶδ[23], Ἰησοῦ, ἐλέησόν με." Καὶ 48
ἐπετίμων αὐτῷ πολλοί, ἵνα σιωπήσῃ· ὁ δὲ πολλῷ
μᾶλλον ἔκραζεν, "Υἱὲ Δαβὶδ[23], ἐλέησόν με." Καὶ 49
στὰς ὁ Ἰησοῦς εἶπεν αὐτὸν φωνηθῆναι[24]· καὶ φωνοῦσι
τὸν τυφλόν, λέγοντες αὐτῷ, [g]"Θάρσει· ἔγειραι[25], φω-
νεῖ σε." Ὁ δὲ ἀποβαλὼν τὸ ἱμάτιον αὐτοῦ ἀνα- 50
στὰς[26] ἦλθε πρὸς τὸν Ἰησοῦν· καὶ ἀποκριθεὶς λέγει 51
αὐτῷ ὁ Ἰησοῦς[27], "Τί θέλεις ποιήσω σοί[28];" Ὁ δὲ

[e] ver. 46—52, Matt. 20. 29—34. Luc. 18. 35—43.
[f] Cf. Luc. 18. 35; 19. 1.
[g] Vid. Matt. 9. 2.

[1] εἶπαν LTTrWH. [2] —μὲν TTrWHR. [3] ἢ LTTrWHR. [4] —μου LTTrWHR. [5] Ἰωάνου WH. [6] καὶ προσκαλεσάμενος αὐτοὺς ὁ Ἰησοῦς LTTrWHR. [7] ἐστιν LTTrWHR. [8] ἂν LTTrWH. [9] μέγας γενέσθαι L *marg.* TTrWH. [10] ἔστω WH *marg.* [11] ὑμῶν διάκονος LTTrWH. [12] ἐὰν Tr. [13] ἐν ὑμῖν LTr *marg.* WHR. [14] εἶναι LTr (*non marg.*) WHR. [15] ἔρχεται L (*non marg.*) Tr *marg.* [16] Ἱερειχώ T, Ἰερειχώ WH. [17] +ὁ LTTrWHR. [18] —ὁ LTTrWHR. [19] +προσαίτης (—προσαιτῶν) TTrWHR. [20] ὁ Ναζαρηνός LTTrWHR. [21] ἐστὶν ὁ Ναζαρηνὸς WH *marg.* [22] υἱὲ LTTrWH. [23] Δαυείδ LTTrWH. [24] φωνήσατε αὐτόν TTrWHR. [25] ἔγειρε LTTrWH. [26] ἀναπηδήσας LTTrWHR. [27] αὐτῷ ὁ Ἰησοῦς εἶπεν TTrWHR. [28] σοι θέλεις ποιήσω TWH.

52 τυφλὸς εἶπεν αὐτῷ, [a]“Ῥαββονί[1], ἵνα ἀναβλέψω.” Ὁ
δὲ[2] Ἰησοῦς εἶπεν αὐτῷ, “Ὕπαγε· ἡ [b]πίστις σου σέ-
σωκέ σε.” Καὶ εὐθέως[3] ἀνέβλεψε, καὶ ἠκολούθει τῷ
Ἰησοῦ[4] ἐν τῇ ὁδῷ.
ΛΒ΄. 11 [c]ΚΑΙ ὅτε ἐγγίζουσιν εἰς Ἱερουσαλήμ[5], εἰς Βηθφαγὴ
ριζ καὶ [d]Βηθανίαν[6] πρὸς τὸ ὄρος τῶν[7] ἐλαιῶν, ἀποστέλλει[8]
β 2 δύο τῶν μαθητῶν αὐτοῦ, καὶ λέγει αὐτοῖς, “Ὑπά-
γετε εἰς τὴν κώμην τὴν κατέναντι ὑμῶν· καὶ εὐθέως[9]
εἰσπορευόμενοι εἰς αὐτὴν εὑρήσετε πῶλον δεδεμένον,
[e]ἐφ᾽ ὃν οὐδεὶς[10] ἀνθρώπων κεκάθικε[11]· λύσαντες αὐτὸν[12]
3 ἀγάγετε[13]. καὶ ἐάν τις ὑμῖν εἴπῃ, Τί ποιεῖτε τοῦτο[14];
εἴπατε, Ὅτι[15] ὁ κύριος αὐτοῦ χρείαν ἔχει· καὶ εὐθέως[16]
ριη 4 αὐτὸν ἀποστελεῖ[17,18] ὧδε.” Ἀπῆλθον δέ[19], καὶ εὗρον
β τὸν[20] πῶλον δεδεμένον πρὸς τὴν[21] θύραν ἔξω ἐπὶ τοῦ
5 ἀμφόδου, καὶ λύουσιν αὐτόν. καί τινες τῶν ἐκεῖ
ἑστηκότων ἔλεγον αὐτοῖς, “Τί ποιεῖτε λύοντες τὸν
6 πῶλον;” Οἱ δὲ εἶπον[22] αὐτοῖς καθὼς ἐνετείλατο[23] ὁ
7 Ἰησοῦς· καὶ ἀφῆκαν αὐτούς. [f]καὶ ἤγαγον[24] τὸν πῶλον
πρὸς τὸν Ἰησοῦν, καὶ ἐπέβαλον[25] αὐτῷ τὰ ἱμάτια
8 αὐτῶν[26], καὶ ἐκάθισεν ἐπ᾽ αὐτῷ[27]. πολλοὶ δὲ[28] [g]τὰ ἱμάτια
αὐτῶν ἔστρωσαν εἰς τὴν ὁδόν[29]· ἄλλοι δὲ στοιβάδας[30]
ἔκοπτον[31] ἐκ τῶν δένδρων[32], καὶ ἐστρώννυον εἰς τὴν
ριθ α 9 ὁδόν[33]. καὶ οἱ προάγοντες καὶ οἱ ἀκολουθοῦντες ἔκρα-
ζον, λέγοντες[34], [h]“Ὡσαννά[35]· [i]εὐλογημένος ὁ ἐρχόμενος
10 ἐν ὀνόματι Κυρίου. εὐλογημένη ἡ ἐρχομένη βασι-
λεία ἐν ὀνόματι Κυρίου[36] τοῦ πατρὸς ἡμῶν Δαβίδ[37].
ρκ ς 11 Ὡσαννὰ[35] ἐν τοῖς ὑψίστοις.” [k]Καὶ εἰσῆλθεν εἰς Ἱε-

[a] Joan. 20. 16 (var. lect.).
[b] Vid. Matt. 8. 10. & cap. 5. 34.
[c] ver. 1—10, Matt. 21. 1—9. Luc. 19. 29—38.
[d] Vid. ver. 11.
[e] Cf. Luc. 23. 53.
[f] ver. 7—10, Joan. 12. 12—15.
[g] 2 Reg. 9. 13.
[h] Ps. 118. 25, 26.
[i] Matt. 23. 39.
[k] Matt. 21. 10, 12.

[1] Ῥαββουνί LTTrWH *text*. (Κύριε ῥαββεί WH *marg.*). [2] Καὶ ὁ Tr *marg.* WH. [3] εὐθὺς TTrWH. [4] αὐτῷ LTTrWHR. [5] Ἱεροσόλυμα LTTr, Ἰεροσόλυμα WH. [6] καὶ εἰς Βηθανίαν LTWH *marg.*, [εἰς Βηθφαγὴ] καὶ Βηθαν. Tr *marg.* [7] τὸ WH *marg.* [8] ἀπέστειλεν L. [9] εὐθὺς TTrWH. [10] +οὔπω LTrWHR, *at* ἀνθρώπων οὔπω T. [11] ἐκάθισεν Tr *marg.* WHR. [12] λύσατε αὐτὸν καὶ LTTrWHR. [13] φέρετε TTrWHR. [14] λύετε τὸν πῶλον L *marg.* [15] −Ὅτι LTTr[Tr *marg.*]WHR. [16] εὐθὺς LTTrWH. [17] ἀποστέλλει LTTrWHR. [18] +πάλιν TTr[Tr *marg.*]WHR, *at* WH *marg. habet* ἀποστέλλει πάλιν αὐτὸν. [19] Καὶ ἀπῆλθον LTTrWHR. [20] −τὸν LTrWHR. [21] −τὴν TrWH. [22] εἶπαν TWH. [23] εἶπεν L (*non marg.*) TTrWHR. [24] φέρουσιν TTrWHR. [25] ἐπιβάλλουσιν L (*non marg.*) TTrWHR. [26] ἑαυτῶν WH *marg.* [27] αὐτόν LTTrWHR. [28] Καὶ πολλοὶ TTrWH. [29] ἐν τῇ ὁδῷ L *marg.* [30] στιβάδας LTTrWHR. [31] κόψαντες TTr (*non marg.*) WHR. [32] ἀγρῶν TTrWHR. [33] −καὶ ἐστρώννυον εἰς τὴν ὁδόν TTrWHR. [34] −λέγοντες TTr[L]WHR. [35] ὡσαννὰ LT. [36] −ἐν ὀνόματι Κυρίου LTTrWHR. [37] Δαυείδ LTTrWH.

ροσόλυμα[1] ὁ Ἰησοῦς, καὶ[2] εἰς τὸ ἱερόν· καὶ περιβλε-
ψάμενος πάντα, ὀψίας[3] ἤδη οὔσης τῆς ὥρας[4], ἐξῆλθεν
εἰς [a] Βηθανίαν μετὰ τῶν δώδεκα.
[b] Καὶ τῇ ἐπαύριον ἐξελθόντων αὐτῶν ἀπὸ Βηθα- 12 ΔΓ'.
νίας, ἐπείνασε· καὶ ἰδὼν συκῆν[5] μακρόθεν, ἔχουσαν 13
φύλλα, [c] ἦλθεν εἰ ἄρα εὑρήσει τι[6] ἐν αὐτῇ· καὶ ἐλθὼν
ἐπ' αὐτήν, οὐδὲν εὗρεν εἰ μὴ φύλλα[7]· οὐ γὰρ ἦν
καιρὸς[8] σύκων. καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς[9] εἶπεν αὐτῇ, 14
"Μηκέτι ἐκ σοῦ εἰς τὸν αἰῶνα[10] μηδεὶς[11] καρπὸν φά-
γοι." Καὶ ἤκουον οἱ μαθηταὶ αὐτοῦ. [d] Καὶ ἔρχονται 15 ρκα/α
εἰς Ἱεροσόλυμα[1]· καὶ εἰσελθὼν ὁ Ἰησοῦς[12] εἰς τὸ
ἱερὸν ἤρξατο ἐκβάλλειν τοὺς πωλοῦντας καὶ[13] ἀγο-
ράζοντας ἐν τῷ ἱερῷ· καὶ τὰς τραπέζας τῶν κολλυ-
βιστῶν, καὶ τὰς καθέδρας τῶν πωλούντων τὰς περι-
στερὰς κατέστρεψε· καὶ οὐκ ἤφιεν ἵνα τις διενέγκῃ 16
σκεῦος διὰ τοῦ ἱεροῦ. καὶ ἐδίδασκε, λέγων[14] αὐτοῖς[15], 17
"Οὐ γέγραπται, 'Ὅτι[16] [e] ὁ οἶκός μου οἶκος προσευχῆς
κληθήσεται πᾶσι τοῖς ἔθνεσιν'; ὑμεῖς δὲ ἐποιήσατε
αὐτὸν[17] [f] σπήλαιον λῃστῶν." Καὶ ἤκουσαν οἱ γραμ- 18 ρκβ/α
ματεῖς καὶ οἱ ἀρχιερεῖς[18], καὶ [g] ἐζήτουν πῶς αὐτὸν ἀπο-
λέσουσιν[19]· ἐφοβοῦντο γὰρ αὐτόν[20], ὅτι πᾶς[21] ὁ ὄχλος
[h] ἐξεπλήσσετο[22] ἐπὶ τῇ διδαχῇ αὐτοῦ.
Καὶ ὅτε[23] ὀψὲ ἐγένετο, [i] ἐξεπορεύετο[24] ἔξω τῆς πό- 19 ρκγ/ι
λεως. Καὶ πρωῒ παραπορευόμενοι[25], εἶδον τὴν συκῆν 20
ἐξηραμμένην ἐκ ῥιζῶν. καὶ ἀναμνησθεὶς ὁ Πέτρος 21
λέγει αὐτῷ, "Ῥαββί[26], ἴδε, [k] ἡ συκῆ ἣν κατηράσω
ἐξήρανται." Καὶ ἀποκριθεὶς[27] Ἰησοῦς λέγει αὐτοῖς, 22 ρκδ/ϛ
"Ἔχετε [l] πίστιν Θεοῦ. ἀμὴν γὰρ[28] λέγω ὑμῖν, ὅτι 23
[m] ὃς ἂν εἴπῃ τῷ ὄρει τούτῳ, Ἄρθητι, καὶ βλήθητι εἰς

[a] ver. 1, 12. Vid. Matt. 21. 17.
[b] ver. 12—14, 20—24, Matt. 21. 18—22.
[c] Cf. Luc. 13. 6.
[d] ver. 15—18, Matt. 21. 12—16. Luc. 19. 45—47. Cf. Joan. 2. 14—16.
[e] Esa. 56. 7. Cf. 1 Reg. 8. 29.
[f] Jer. 7. 11.
[g] cap. 12. 12. Joan. 7. 19. Vid. Matt. 21. 46.
[h] Vid. Matt. 7. 28.
[i] Matt. 21. 17. Cf. ver. 11.
[k] ver. 14.
[l] Eph. 3. 12. Phil. 3. 9.
[m] Vid. Matt. 17. 20.

[1] Ἱεροσόλυμα WH. [2] —ὁ Ἰησοῦς, καὶ LTTrWHR. [3] ὀψὲ TTr marg. WH (*non marg.*). [4] [τῆς ὥρας] WH *marg.* [5] + ἀπὸ LTTr WHR. [6] τι εὑρήσει LTTrWH. [7] + [μόνα] L. [8] + ὁ (*ante* καιρὸς) LTr *marg.*, *at* ὁ γὰρ καιρὸς οὐκ ἦν TTrWHR. [9] —ὁ Ἰησοῦς LTTrWHR. [10] εἰς τὸν αἰῶνα ἐκ σοῦ LTTrWH. [11] οὐδεὶς E. [12] —ὁ Ἰησοῦς LTTrWHR. [13] + τοὺς LTTrWHR. [14] καὶ ἔλεγεν TTr (*non marg.*) WHR. [15] —αὐτοῖς [L]WH (*non marg.*). [16] —Ὅτι L. [17] αὐτὸν ἐποιήσατε L *marg.*, *at* πεποιήκατε αὐτὸν TTrWHR. [18] ἀρχιερεῖς καὶ οἱ γραμματεῖς LTTrWHR. [19] ἀπολέσωσιν LTTrWH. [20] [αὐτόν] L. [21] πᾶς γὰρ TTr (*non marg.*) WHR. [22] ἐξεπλήσσοντο T. [23] ὅταν TTr (*non marg.*) WHR. [24] ἐξεπορεύοντο LTrWH (*non marg.*) R *marg.* [25] παραπορευόμενοι πρωῒ LTTrWHR. [26] Ῥαββεί TWH. [27] + ὁ LTTrWH. [28] —γὰρ LT[Tr]WHR.

τὴν θάλασσαν, καὶ [a] μὴ διακριθῇ ἐν τῇ καρδίᾳ αὐτοῦ,
ἀλλὰ πιστεύσῃ[1] ὅτι ἃ[2] λέγει[3] γίνεται· ἔσται αὐτῷ ὃ
ρκε 24 ἐὰν εἴπῃ[4]. διὰ τοῦτο λέγω ὑμῖν, [b] Πάντα ὅσα ἂν[5]
δ προσευχόμενοι[6] αἰτεῖσθε, πιστεύετε ὅτι λαμβάνετε[7],
ΛΔ'. 25 καὶ ἔσται ὑμῖν. Καὶ ὅταν [c] στήκητε[8] προσευχόμενοι,
ρκϛ [d] ἀφίετε [e] εἴ τι ἔχετε κατά τινος· ἵνα καὶ ὁ πατὴρ ὑμῶν
ϛ ὁ ἐν τοῖς οὐρανοῖς ἀφῇ ὑμῖν τὰ παραπτώματα ὑμῶν.
26 [f] εἰ δὲ ὑμεῖς οὐκ ἀφίετε, οὐδὲ ὁ πατὴρ ὑμῶν ὁ ἐν τοῖς
οὐρανοῖς ἀφήσει τὰ παραπτώματα ὑμῶν[9]."
ΛΕ'. 27 ΚΑΙ ἔρχονται πάλιν εἰς Ἱεροσόλυμα[10]· [g] καὶ ἐν τῷ
ρκζ ἱερῷ περιπατοῦντος αὐτοῦ, ἔρχονται πρὸς αὐτὸν οἱ
β ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι,
28 καὶ λέγουσιν[11] αὐτῷ, [h] "Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς;
καὶ[12] τίς σοι τὴν ἐξουσίαν ταύτην ἔδωκεν[13], ἵνα ταῦτα
29 ποιῇς;" Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς[14] εἶπεν αὐτοῖς,
"Ἐπερωτήσω ὑμᾶς κἀγὼ[15] ἕνα λόγον, καὶ ἀποκρί-
θητέ μοι, καὶ ἐρῶ ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ.
30 Τὸ βάπτισμα[16] Ἰωάννου[17] ἐξ οὐρανοῦ ἦν, ἢ ἐξ ἀνθρώ-
31 πων; ἀποκρίθητέ μοι." Καὶ ἐλογίζοντο[18] πρὸς ἑαυ-
τούς, λέγοντες, "Ἐὰν εἴπωμεν, Ἐξ οὐρανοῦ, ἐρεῖ,
32 Διατί[19] οὖν[20] οὐκ ἐπιστεύσατε αὐτῷ; ἀλλ' ἐὰν[21] εἴπω-
μεν, Ἐξ ἀνθρώπων,[22]" ἐφοβοῦντο τὸν λαόν[23]· ἅπαντες[24]
γὰρ εἶχον[25] τὸν Ἰωάννην[26], ὅτι ὄντως[27] προφήτης ἦν.
33 καὶ ἀποκριθέντες λέγουσι τῷ Ἰησοῦ[28], "Οὐκ οἴδαμεν."
Καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς[29] λέγει αὐτοῖς, "Οὐδὲ ἐγὼ
λέγω ὑμῖν ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ."
ΛϚ'. 12 [i] ΚΑΙ ἤρξατο αὐτοῖς ἐν παραβολαῖς λέγειν[30], "Ἀμ-
ρκη πελῶνα ἐφύτευσεν ἄνθρωπος[31], καὶ περιέθηκε φραγμόν,
β καὶ ὤρυξεν [k] ὑπολήνιον, καὶ ᾠκοδόμησε πύργον, καὶ

[a] Jac. 1. 6. [b] Vid. Matt. 7. 7. [c] Matt. 6. 5. Luc. 18. 11. [d] Vid. Matt. 6. 14. Cf. Ecclus. 28. 2. [e] Col. 3. 13. [f] Matt. 6. 15; 18. 35. [g] ver. 27—33, Matt. 21. 23—27. Luc. 20. 1—8. [h] Cf. Ex. 2. 14. Act. 4. 7. [i] ver. 1—12, Matt. 21. 33—46. Luc. 20. 9—19. Cf. Jer. 2. 21. [k] Joel 3. 13.

[1] πιστεύῃ TTr *marg.* WHR. [2] ὃ TTrWHR. [3] λαλεῖ LTTr (*non marg.*) WHR. [4] —ὃ ἐὰν εἴπῃ TTrWHR. [5] —ἂν LTTrWH. [6] προσεύχεσθε καὶ L (*non marg.*) TTrWHR. [7] ἐλάβετε LTTrWHR. [8] στήκετε LTTrWH. [9] *omittunt v.* 26 TTrWHR. (*non marg.*), *at* —τοῖς *tantum* L. [10] Ἰεροσόλυμα WH. [11] ἔλεγον TTrWHR. [12] ἢ TTr *marg.* WHR. [13] ἔδωκεν τὴν ἐξουσίαν ταύτην LTr (*non marg.*) WH. [14] —ἀποκριθεὶς TTrWHR. [15] κἀγὼ ὑμᾶς L, —κἀγὼ TTrWHR, ὑμᾶς [κἀγὼ] Tr *marg.* [16] + τὸ LTTrWHR. [17] Ἰωάνου WH. [18] διελογίζοντο LTTrWHR. [19] Διὰ τί LTrWH. [20] —οὖν LTr[WH]. [21] ἀλλὰ LTTrWHR. [22] ; (*pro* ,) LTWH (*at* ; —WH, —R *text.*) R *marg.* [23] τὸν ὄχλον Tr *marg.* WH. [24] πάντες L. [25] ᾔδεισαν WH *marg.* [26] Ἰωάνην WH. [27] ὄντως ὅτι TTrWHR. [28] τῷ Ἰησοῦ λέγουσιν L *marg.* TTr (*non marg.*) WHR. [29] [ἀποκριθεὶς] ὁ Ἰησοῦς L, *at* —ἀποκριθεὶς TTrWHR, ὁ Ἰησοῦς [ἀποκριθεὶς] Tr *marg.* [30] λαλεῖν. LTTrWHR. [31] ἄνθρωπος ἐφύτευσεν TTr *marg.* WH.

ἐξέδοτο[1] αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησε. καὶ ἀπέ- 2
στειλε πρὸς τοὺς γεωργοὺς τῷ καιρῷ δοῦλον, ἵνα
παρὰ τῶν γεωργῶν λάβῃ ἀπὸ τοῦ καρποῦ[2] τοῦ ἀμπε-
λῶνος· οἱ δὲ[3] λαβόντες αὐτὸν ἔδειραν, καὶ ἀπέστειλαν 3
κενόν. καὶ πάλιν ἀπέστειλε πρὸς αὐτοὺς ἄλλον δοῦ- 4
λον· κἀκεῖνον λιθοβολήσαντες[4] ἐκεφαλαίωσαν[5], καὶ
ἀπέστειλαν ἠτιμωμένον[6]. καὶ πάλιν[7] ἄλλον ἀπέστειλε· 5
κἀκεῖνον ἀπέκτειναν· καὶ πολλοὺς ἄλλους, τοὺς[8] μὲν
δέροντες, τοὺς[8] δὲ ἀποκτείνοντες[9]. ἔτι οὖν[10] ἕνα υἱὸν 6
[a] Matt. 8. 17; 12. 18; 17. 5. Luc. 20. 13. ἔχων[11] [a] ἀγαπητὸν αὐτοῦ[12], ἀπέστειλε καὶ[13] αὐτὸν πρὸς
αὐτοὺς ἔσχατον[14], λέγων, Ὅτι ἐντραπήσονται τὸν υἱόν
μου. ἐκεῖνοι δὲ οἱ γεωργοὶ εἶπον πρὸς ἑαυτούς[15], Ὅτι 7
οὗτός ἐστιν ὁ κληρονόμος· δεῦτε, ἀποκτείνωμεν αὐτόν,
καὶ ἡμῶν ἔσται ἡ κληρονομία. καὶ λαβόντες αὐτὸν 8
ἀπέκτειναν[16], καὶ ἐξέβαλον[17] ἔξω τοῦ ἀμπελῶνος. τί 9
οὖν[18] ποιήσει ὁ κύριος τοῦ ἀμπελῶνος; ἐλεύσεται καὶ
ἀπολέσει τοὺς γεωργούς, καὶ δώσει τὸν ἀμπελῶνα
[b] Ps. 118. 22, 23. ἄλλοις. Οὐδὲ τὴν γραφὴν ταύτην ἀνέγνωτε; [b] 'Λίθον, 10
ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς
κεφαλὴν γωνίας. παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ 11
[c] Vid. cap. 11. 18. ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.'" Καὶ [c] ἐζήτουν 12 ρκθ
αὐτὸν κρατῆσαι, καὶ ἐφοβήθησαν τὸν ὄχλον· ἔγνω- α
[d] Matt. 22. 22. σαν γὰρ ὅτι πρὸς αὐτοὺς τὴν παραβολὴν εἶπε· [d] καὶ
ἀφέντες αὐτὸν ἀπῆλθον[19].

[e] ver. 13–27, Matt. 22. 15–32. Luc. 20. 20–38. [f] Luc. 11. 54. [e] Καὶ ἀποστέλλουσι πρὸς αὐτόν τινας τῶν Φαρισαίων 13 ΛΖ'.
καὶ τῶν Ἡρωδιανῶν[20], [f] ἵνα αὐτὸν ἀγρεύσωσι λόγῳ. οἱ 14 ρλ
δὲ[21] ἐλθόντες λέγουσιν αὐτῷ, "Διδάσκαλε, οἴδαμεν β
ὅτι ἀληθὴς εἶ, καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ
βλέπεις εἰς πρόσωπον ἀνθρώπων, ἀλλ' ἐπ' ἀληθείας
τὴν ὁδὸν τοῦ Θεοῦ διδάσκεις. [22] ἔξεστι κῆνσον Καί-

[1] ἐξέδετο TWH. [2] τῶν καρπῶν TTrWHR. [3] καὶ L (*non marg.*) TTr (*non marg.*) WHR. [4] —λιθοβολήσαντες LTTrWHR. [5] ἐκεφαλίωσαν TWHR. [6] ἠτίμησαν LTrR, ἠτίμασαν TTr *marg.* WH. [7] —πάλιν LTTrWHR. [8] οὓς LTTrWH. [9] ἀποκτέννοντες LTTr, ἀποκτέννυντες WH. [10] —οὖν TTr[L]WHR. [11] ἔχων υἱὸν LTr *marg.*, εἶχεν, υἱὸν TTrWHR. [12] —αὐτοῦ LTTrWHR. [13] —καὶ TTr[LTr *marg.*]WHR. [14] ἔσχατον πρὸς αὐτούς LTTr (*non marg.*) WHR. [15] εἶπαν L, *at* πρὸς ἑαυτοὺς εἶπαν TTr (*non marg.*) WH. [16] ἀπέκτειναν αὐτὸν TTr (*non marg.*) WHR. [17] +αὐτὸν LTTrWHR. [18] —οὖν T[Tr *marg.*]WH. [19] ἀπῆλθαν WH. [20] Ἡρῳδιανῶν WH. [21] Καὶ L (*non marg.*) TTrWHR. [22] + εἰπὲ οὖν ἡμῖν L.

15 σαρι δοῦναι[1] ἢ οὔ; δῶμεν, ἢ μὴ δῶμεν;" Ὁ δὲ εἰδὼς[2]
αὐτῶν τὴν ὑπόκρισιν εἶπεν αὐτοῖς, "Τί με πειράζετε;
16 φέρετέ μοι [a] δηνάριον, ἵνα ἴδω." Οἱ δὲ ἤνεγκαν. Καὶ
λέγει αὐτοῖς, "Τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή;"
17 Οἱ δὲ[3] εἶπον[4] αὐτῷ, "Καίσαρος." Καὶ ἀποκριθεὶς
ὁ[5] Ἰησοῦς εἶπεν αὐτοῖς[6], "Ἀπόδοτε τὰ Καίσαρος[7]
Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ." Καὶ ἐθαύμασαν[8]
ἐπ' αὐτῷ.
18 Καὶ ἔρχονται Σαδδουκαῖοι πρὸς αὐτόν, [b] οἵτινες λέ-
γουσιν ἀνάστασιν μὴ εἶναι· καὶ ἐπηρώτησαν[9] αὐτόν,
19 λέγοντες, "Διδάσκαλε, [c] Μωσῆς[10] ἔγραψεν ἡμῖν, ὅτι
ἐάν τινος ἀδελφὸς ἀποθάνῃ, καὶ καταλίπῃ γυναῖκα,
καὶ τέκνα μὴ ἀφῇ[11], ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν
γυναῖκα αὐτοῦ[12], καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ
20 αὐτοῦ. ἑπτὰ[13] ἀδελφοὶ ἦσαν· καὶ ὁ πρῶτος ἔλαβε
21 γυναῖκα, καὶ ἀποθνήσκων οὐκ ἀφῆκε σπέρμα· καὶ ὁ
δεύτερος ἔλαβεν αὐτήν, καὶ ἀπέθανε, καὶ οὐδὲ αὐτὸς
22 ἀφῆκε[14] σπέρμα· καὶ ὁ τρίτος ὡσαύτως· καὶ ἔλαβον
αὐτὴν[15] οἱ ἑπτά, καὶ[16] οὐκ ἀφῆκαν σπέρμα. ἐσχάτη[17]
23 πάντων ἀπέθανε καὶ ἡ γυνή[18]. ἐν τῇ οὖν[19] ἀναστάσει,
ὅταν ἀναστῶσι[20], τίνος αὐτῶν ἔσται γυνή; οἱ γὰρ ἑπτὰ
24 ἔσχον αὐτὴν γυναῖκα." Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν
αὐτοῖς[21], "Οὐ διὰ τοῦτο πλανᾶσθε, μὴ εἰδότες[22] τὰς γρα-
25 φάς, μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ; ὅταν γὰρ ἐκ νεκρῶν
ἀναστῶσιν, οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται[23], ἀλλ'
26 εἰσὶν ὡς ἄγγελοι οἱ[24] ἐν τοῖς οὐρανοῖς. περὶ δὲ τῶν
νεκρῶν, ὅτι ἐγείρονται, οὐκ ἀνέγνωτε ἐν τῇ βίβλῳ
Μωσέως[25], [d] ἐπὶ τῆς[26] βάτου, ὡς[27] εἶπεν αὐτῷ ὁ Θεός,

[a] Vid. Matt. 18. 28.
[b] Act. 23. 8.
[c] Deut. 25. 5, 6.
[d] Luc. 20. 37. Cf. Rom. 11. 2.

[1] δοῦναι κῆνσον Καίσαρι LTrWH (ἐπικεφάλαιον WH *marg.* pro κῆνσον). [2] ἰδὼν T. [3] [οἱ δὲ] L. [4] εἶπαν TTrL *text.* WH, *at* λέγουσιν L *marg.* [5] ὁ δὲ LTTrWHR. [6] [αὐτοῖς] Tr *marg.*, — αὐτοῖς WH. [7] Τὰ Καίσαρος ἀπόδοτε TTrWHR. [8] ἐθαύμαζον LTr, ἐξεθαύμαζον TWHR. [9] ἐπηρώτων L (*non marg.*) TTrWHR. [10] Μωυσῆς LT(-ϋ-)TrWH. [11] μὴ ἀφῇ τέκνον TTr *marg.* WHR, *at* τέκνον μὴ ἀφῇ L *marg.* [12] — αὐτοῦ TTrWH. [13] + οὖν E. [14] μὴ καταλιπὼν L *marg.* TTrWHR. [15] — ἔλαβον αὐτὴν TTr[L]WHR. [16] — καὶ TTrWHR. [17] ἔσχατον LTTrWHR. [18] καὶ ἡ γυνὴ ἀπέθανεν LTTrWHR. [19] — οὖν TTrWHR. [20] — ὅταν ἀναστῶσιν Tr[L]WHR. [21] ἔφη αὐτοῖς ὁ Ἰησοῦς TTrWHR. [22] γινώσκοντες Tr *marg.* [23] γαμίζονται LTTrWH. [24] — οἱ LT[Tr]WH (*non marg.*) R, *at* [οἱ] ἄγγελοι Tr *marg.* (*corr.*), οἱ ἀγγ. WH *marg.* [25] Μωυσέως LT(-ϋ-)TrWH. [26] τοῦ LTTrWH (Βάτου R). [27] πῶς TTrWHR.

λέγων, [a]‘Ἐγὼ ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ[1] Θεὸς Ἰσαάκ,
καὶ ὁ[1] Θεὸς Ἰακώβ’; [b]Οὐκ ἔστιν ὁ[2] Θεὸς νεκρῶν, 27
ἀλλὰ Θεὸς[3] ζώντων· ὑμεῖς οὖν[4] πολὺ πλανᾶσθε.”
[c]Καὶ προσελθὼν εἷς τῶν γραμματέων, ἀκούσας αὐ- 28 ΛΘ′.
τῶν [5]συζητούντων, [d]εἰδὼς[6] ὅτι καλῶς αὐτοῖς ἀπεκρίθη[7], ρλα
ἐπηρώτησεν αὐτόν, “Ποία ἐστὶ πρώτη πασῶν ἐντο- ς
λή[8];” Ὁ δὲ Ἰησοῦς ἀπεκρίθη[9] αὐτῷ[10], “Ὅτι πρώτη 29
πασῶν τῶν ἐντολῶν[11], [e]‘Ἄκουε, Ἰσραήλ· Κύριος ὁ
Θεὸς ἡμῶν[12] Κύριος [h]εἷς ἐστί. [f]καὶ ἀγαπήσεις Κύριον 30
τὸν Θεόν σου ἐξ ὅλης τῆς[13] καρδίας σου καὶ ἐξ ὅλης
τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς διανοίας σου[14], καὶ
ἐξ ὅλης τῆς ἰσχύος σου.’ αὕτη πρώτη ἐντολή[15]. καὶ[16] 31
δευτέρα ὁμοία[17] αὕτη[18], [g]‘Ἀγαπήσεις τὸν πλησίον σου
ὡς σεαυτόν.’ Μείζων τούτων ἄλλη ἐντολὴ οὐκ ἔστι.”
Καὶ[19] εἶπεν αὐτῷ ὁ γραμματεύς, “Καλῶς, διδάσκαλε, 32 ρλβ
ἐπ’ ἀληθείας εἶπας[20], ὅτι [h]εἷς ἐστι Θεός[21], [i]καὶ οὐκ ἔστιν ι
ἄλλος πλὴν αὐτοῦ. καὶ τὸ ἀγαπᾷν αὐτὸν ἐξ ὅλης 33
τῆς[22] καρδίας, καὶ ἐξ ὅλης [k]τῆς συνέσεως, καὶ ἐξ ὅλης
τῆς ψυχῆς[23], καὶ ἐξ ὅλης τῆς ἰσχύος, καὶ τὸ ἀγαπᾷν
τὸν πλησίον ὡς ἑαυτόν, [l]πλεῖόν[24] ἐστι πάντων τῶν
[m]ὁλοκαυτωμάτων καὶ τῶν[25] θυσιῶν.” Καὶ ὁ Ἰησοῦς 34
ἰδὼν αὐτόν[26], ὅτι νουνεχῶς ἀπεκρίθη, εἶπεν αὐτῷ,
“Οὐ μακρὰν εἶ[27] ἀπὸ τῆς βασιλείας τοῦ Θεοῦ.” [n]Καὶ ρλγ
οὐδεὶς οὐκέτι ἐτόλμα αὐτὸν ἐπερωτῆσαι. β
[o]Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς ἔλεγε, διδάσκων ἐν τῷ 35 Μ′.
ἱερῷ, “Πῶς λέγουσιν οἱ γραμματεῖς, ὅτι ὁ Χριστὸς ρλδ
υἱός ἐστι[28] Δαβίδ[29]; αὐτὸς γὰρ[30] Δαβὶδ[29] εἶπεν ἐν τῷ 36 β
Πνεύματι τῷ Ἁγίῳ, [p]‘Εἶπεν[31] ὁ[32] Κύριος τῷ κυρίῳ
μου, Κάθου[33] ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς

[a] Ex. 3. 6.
[b] Vid. Matt. 22. 32.
[c] ver. 28—31, Matt. 22. 34—40. Cf. Luc. 10. 25—28.
[d] Cf. Luc. 20. 39.
[e] Deut. 6. 4, 5.
[f] Deut. 10. 12.
[g] Lev. 19. 18. Vid. Matt. 19. 19.
[h] ver. 29 (var. lect.).
[i] Deut. 4. 35.
[k] Luc. 2. 47. Col. 1. 9.
[l] 1 Sam. 15. 22. Hos. 6. 6. Mic. 6. 6—8. Matt. 9. 13; 12. 7.
[m] Ps. 40. 6. Heb. 10. 6, 8.
[n] ver. 34, 38, 39, Matt. 22. 46; 23. 1—7. Luc. 20. 40, 45, 46.
[o] ver. 35—37, Matt. 22. 41—45. Luc. 20. 41—44. Vid. Matt. 26. 55. Vid. etiam cap. 10. 1.
[p] Ps. 110. 1. Vid. Matt. 22. 44.

1 —ὁ LTrWHR. 2 —ὁ LTrWH (*non marg.*) R. 3 —Θεὸς LTTrWHR. 4 —ὑμεῖς οὖν T[Tr]WHR. 5 συν- LTTrWH. 6 ἰδὼν LTTr (*non marg.*). 7 ἀπεκρίθη αὐτοῖς TTr (*non marg.*) WH. 8 πρώτη πάντων ἐντολή L, *at* ἐντολὴ πρώτη πάντων L *marg.* TTrWHR. 9 ἀπεκρίθη ὁ Ἰησοῦς L *marg.* TTrWHR. 10 —αὐτῷ T[Tr]WHR. 11 πάντων [ἐντολή ἐστιν] L, *at* ἐστίν *tantum* TTrWHR, [πάντων ἐντολὴ] ἐστίν Tr *marg.* 12 ἡμῶν, WH *marg.* R. 13 —τῆς WH (*non marg.*). 14 [καὶ ἐξ ὅλης τῆς διανοίας σου] Tr *marg.* 15 —αὕτη πρώτη ἐντολή T[Tr *marg.*]WHR. 16 —καὶ TTr[L]WHR. 17 —ὁμοία T[Tr *marg.*]WHR. 18 αὐτῇ LTr (*non marg.*). 19 —Καὶ WH (*non marg.*). 20 εἶπες TWH. 21 —Θεός LTTrWHR. 22 —τῆς WH (*non marg.*). 23 —καὶ ἐξ ὅλης τῆς ψυχῆς T[LTr *marg.*]WHR. 24 περισσότερόν TTr (*non marg.*) WHR. 25 —τῶν LTrWH. 26 [αὐτὸν] Tr. 27 [εἶ] WH. 28 ἐστιν *post* Δαυείδ TTrWH. 29 Δαυείδ LTTrWH. 30 —γὰρ T[LTr]WHR. 31 λέγει Tr (*non marg.*). 32 —ὁ LTrWH. 33 κάθισον Tr (*non marg.*) WH *marg.*

37 σου **ὑποπόδιον**[1] τῶν ποδῶν σου.' Αὐτὸς **οὖν**[2] **Δαβὶδ**[3]
λέγει αὐτὸν κύριον· καὶ πόθεν **υἱὸς αὐτοῦ ἐστί**[4];" Καὶ
[a]ὁ πολὺς ὄχλος [b]ἤκουεν αὐτοῦ ἡδέως.
ρλε β 38 [c]**Καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ**[5], "Βλέπετε
ἀπὸ τῶν γραμματέων, τῶν θελόντων ἐν στολαῖς περι-
39 πατεῖν, καὶ [d]ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς, καὶ [d]πρωτο-
καθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ πρωτοκλισίας ἐν
ρλϛ η 40 τοῖς δείπνοις·*οἱ **κατεσθίοντες**[6] τὰς οἰκίας τῶν χηρῶν[7],
καὶ προφάσει μακρὰ προσευχόμενοι·†οὗτοι **λήψονται**[8]
περισσότερον κρίμα."
ΜΑ'. 41 [e]Καὶ καθίσας **ὁ Ἰησοῦς**[9] **κατέναντι**[10] τοῦ [f]γαζοφυλα-
κίου ἐθεώρει πῶς ὁ ὄχλος [g]βάλλει [h]χαλκὸν εἰς τὸ
γαζοφυλάκιον. καὶ πολλοὶ πλούσιοι ἔβαλλον πολλά·
42 **καὶ ἐλθοῦσα**[11] μία χήρα πτωχὴ ἔβαλε λεπτὰ δύο, ὅ
43 ἐστι [i]κοδράντης. καὶ προσκαλεσάμενος τοὺς μαθη-
τὰς αὐτοῦ, **λέγει**[12] αὐτοῖς, "Ἀμὴν λέγω ὑμῖν, ὅτι [k]ἡ
χήρα αὕτη ἡ πτωχὴ πλεῖον πάντων **βέβληκε**[13] τῶν
44 **βαλόντων**[14] εἰς τὸ [f]γαζοφυλάκιον. πάντες γὰρ ἐκ τοῦ
περισσεύοντος αὐτοῖς ἔβαλον· αὕτη δὲ ἐκ τῆς [l]ὑστε-
ρήσεως αὐτῆς πάντα ὅσα εἶχεν ἔβαλεν, ὅλον τὸν
[m]βίον αὐτῆς."
ρλζ β 13 [n]ΚΑΙ ἐκπορευομένου αὐτοῦ ἐκ τοῦ ἱεροῦ, λέγει
αὐτῷ εἷς[15] τῶν μαθητῶν αὐτοῦ, "Διδάσκαλε, ἴδε,
2 ποταποὶ λίθοι καὶ ποταπαὶ οἰκοδομαί." Καὶ **ὁ Ἰη-
σοῦς ἀποκριθεὶς**[16] εἶπεν αὐτῷ, [o]"Βλέπεις ταύτας τὰς
μεγάλας οἰκοδομάς; οὐ μὴ ἀφεθῇ[17] λίθος ἐπὶ **λίθῳ**[18],
ΜΒ'. 3 ὃς οὐ μὴ καταλυθῇ[19]." Καὶ καθημένου αὐτοῦ εἰς τὸ
ρλη β ὄρος τῶν ἐλαιῶν κατέναντι τοῦ ἱεροῦ, **ἐπηρώτων**[20]
αὐτὸν κατ' ἰδίαν[21] [p]Πέτρος καὶ Ἰάκωβος καὶ **Ἰωάννης**[22]
4 καὶ Ἀνδρέας, "**Εἰπὲ**[23] ἡμῖν, πότε ταῦτα ἔσται; καὶ

[a] cap. 4. 1 (var. lect.).
[b] cap. 6. 20.
[c] ver. 38—40, Matt. 23. 1, 2, 6, 7. Luc. 20. 45—47.
[d] Luc. 11. 43.
[e] ver. 41—44, Luc. 21. 1—4.
[f] ver. 43. Luc. 21. 1. Joan. 8. 20. Cf. Matt. 27. 6.
[g] Cf. 2 Reg. 12. 9.
[h] Matt. 10. 9.
[i] Matt. 5. 26.
[k] Cf. 2 Cor. 8. 12.
[l] Phil. 4. 11.
[m] Luc. 8. 43; 15. 12, 30.
[n] ver. 1—37, Matt. 24. 1—51. Luc. 21. 5—36.
[o] 1 Reg. 9. 7, 8. Mic. 3. 12. Luc. 19. 44.
[p] Vid. Matt. 17. 1.

[1] ὑποκάτω WH.R *marg.* [2] —οὖν TTr[L]WHR. [3] Δαυεὶδ LTTrWH. [4] αὐτοῦ ἐστὶν υἱός TTrWH, *at* ἐστιν υἱὸς αὐτοῦ *seu* υἱὸς αὐτοῦ ἐστιν Tr *marg.* [5] ἐν τῇ διδαχῇ αὐτοῦ ἔλεγεν TTrWHR. [6] κατέσθοντες TrWH. [7] + καὶ ὀρφανῶν WH *marg.* [8] λήμψονται LTTrWH. [9] —ὁ Ἰησοῦς TTr[L]WHR. [10] ἀπέναντι Tr (*non marg.*) WH *marg.* [11] ἐλθοῦσα δὲ Tr *marg.* [12] εἶπεν LTTrWHR. [13] ἔβαλεν LTrWHR. [14] βαλλόντων LTTrWHR. [15] + ἐκ Tr[Tr *marg.*]. [16] ἀποκριθεὶς ὁ Ἰησοῦς L, —ἀποκριθεὶς TTrWHR. [17] + ὧδε LTrWHR. [18] λίθον TTrWHR. [19] + καὶ διὰ τριῶν ἡμερῶν ἄλλος ἀναστήσεται ἄνευ χειρῶν WH *marg.* [20] ἐπηρώτα TTrWHR. [21] + ὁ T. [22] Ἰωάνης WH. [23] Εἰπὸν LTTrWH. *, *pro* · WH *text.* †, *pro* · LTTrWH *marg.*

ται. ὁ οὐρανὸς καὶ ἡ γῆ **παρελεύσονται**[1]· οἱ δὲ λόγοι 31
μου οὐ **μὴ**[2] **παρέλθωσι**[3].
“Περὶ δὲ τῆς ἡμέρας ἐκείνης **καὶ**[4] τῆς ὥρας, οὐδ- 32 ΜΓ′.
εἰς οἶδεν, οὐδὲ **οἱ ἄγγελοι**[5] **οἱ**[6] ἐν οὐρανῷ, οὐδὲ ὁ υἱός, ρνβ/ς
εἰ μὴ ὁ πατήρ.
“Βλέπετε, [a] ἀγρυπνεῖτε **καὶ προσεύχεσθε**[7], [b] οὐκ οἴ- 33 ρνγ/ς
δατε γὰρ πότε ὁ καιρός **ἐστιν**[8]. ὡς ἄνθρωπος ἀπόδημος 34 ρνδ/β
ἀφεὶς τὴν οἰκίαν αὐτοῦ, καὶ δοὺς τοῖς δούλοις αὐτοῦ
τὴν ἐξουσίαν, **καὶ**[9] ἑκάστῳ τὸ ἔργον αὐτοῦ, καὶ τῷ
θυρωρῷ ἐνετείλατο ἵνα γρηγορῇ. [c] γρηγορεῖτε οὖν· 35 ρνε/β
οὐκ οἴδατε γὰρ πότε ὁ κύριος τῆς οἰκίας ἔρχεται,
[d] [10] ὀψέ, ἢ **μεσονυκτίου**[11], ἢ [e] ἀλεκτοροφωνίας, ἢ πρωΐ· μὴ 36
ἐλθὼν **ἐξαίφνης**[12] εὕρῃ ὑμᾶς καθεύδοντας. **ἃ**[13] δὲ ὑμῖν 37
λέγω, πᾶσι λέγω, [c] Γρηγορεῖτε.”
[f] ἮΝ δὲ τὸ πάσχα καὶ τὰ ἄζυμα μετὰ δύο ἡμέρας· 14 ρνς/α
καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, πῶς ρνζ/ς
αὐτὸν ἐν δόλῳ κρατήσαντες ἀποκτείνωσιν· ἔλεγον **δέ**[14], 2
“Μὴ ἐν τῇ ἑορτῇ, μήποτε **θόρυβος ἔσται**[15] τοῦ λαοῦ.”
[g] Καὶ ὄντος αὐτοῦ ἐν Βηθανίᾳ, ἐν τῇ οἰκίᾳ Σίμωνος 3 ΜΔ′.
τοῦ λεπροῦ, κατακειμένου αὐτοῦ, ἦλθε γυνὴ ἔχουσα ρνη/α
ἀλάβαστρον [h] μύρου νάρδου πιστικῆς πολυτελοῦς· **καὶ**[16]
συντρίψασα **τὸ**[17] ἀλάβαστρον, κατέχεεν αὐτοῦ **κατὰ**[18]
τῆς κεφαλῆς. **ἦσαν δέ τινες ἀγανακτοῦντες πρὸς** 4
ἑαυτούς[19], **καὶ λέγοντες**[20], “Εἰς τί ἡ ἀπώλεια αὕτη τοῦ
μύρου γέγονεν; ἠδύνατο γὰρ τοῦτο[21] πραθῆναι ἐπάνω 5
[i] **τριακοσίων** [k] **δηναρίων**[22], καὶ δοθῆναι τοῖς πτωχοῖς·” καὶ
[l] **ἐνεβριμῶντο**[23] αὐτῇ. Ὁ δὲ Ἰησοῦς εἶπεν, “Ἄφετε 6
αὐτήν· τί αὐτῇ κόπους παρέχετε; καλὸν ἔργον **εἰργά-**
σατο[24] **εἰς ἐμέ**[25]. πάντοτε γὰρ τοὺς πτωχοὺς ἔχετε 7
μεθ᾽ ἑαυτῶν, καὶ ὅταν θέλητε, δύνασθε **αὐτοὺς**[26] εὖ

[a] Luc. 21. 36. Eph. 6. 18. Heb. 13. 17.
[b] Cf. Matt. 25. 14.
[c] ver. 37. Vid. Matt. 24. 42.
[d] Cf. Matt. 14. 25.
[e] cap. 14. 30, 68, 72.
[f] ver. 1, 2, Matt. 26. 2—5. Luc. 22. 1, 2.
[g] ver. 3—9, Matt. 26. 6—13. Cf. Joan. 12. 1—8.
[h] Joan. 12. 3.
[i] Cf. Matt. 26. 9.
[k] Vid. Matt. 18. 28.
[l] Joan. 11. 33, 38.

[1] παρελεύσεται L *marg.* Tr *marg.* [2] —μὴ TrWH (*non marg.*). [3] παρελεύσονται TTrWH. [4] ἢ LTTrWHR. [5] ἄγγελος Tr *marg.* WH *marg.* [6] —οἱ TTrWHR. [7] —καὶ προσεύχεσθε LT[Tr]WHR *marg.* [8] [ἐστιν] WH. [9] —καὶ LTTrWHR. [10] +ἢ TTrWHR. [11] μεσονύκτιον TTrWH. [12] ἐξέφνης WH. [13] ὃ LTTrWHR. [14] γὰρ LTTrWHR. [15] ἔσται θόρυβος TTrWH. [16] —καὶ T[Tr *marg.*]WHR. [17] τὸν LT, τὴν TrWH. [18] —κατὰ LTTrWHR. [19] οἱ δὲ μαθηταὶ αὐτοῦ διεπονοῦντο καὶ ἔλεγον WH *marg.* [20] —καὶ λέγοντες T[Tr]WH (*vid. marg.*) R. [21] +τὸ μύρον LTTrWHR. [22] δηναρίων τριακοσίων LTTrWH (*non marg.*). [23] ἐνεβριμοῦντο T. [24] ἠργάσατο TWH. [25] ἐν ἐμοὶ LTTrWHR. [26] αὐτοῖς LTr *text.* WH, —αὐτοὺς T, αὐτοῖς [πάντοτε] Tr *marg.* WH.

ρνθ 8 ποιῆσαι· ἐμὲ δὲ οὐ πάντοτε ἔχετε. ὃ εἶχεν[1] αὕτη[2],
δ ἐποίησε· προέλαβε μυρίσαι μου τὸ σῶμα[3] εἰς τὸν
9 ἐνταφιασμόν. ἀμὴν[4] λέγω ὑμῖν, ὅπου ἂν[5] κηρυχθῇ
τὸ εὐαγγέλιον τοῦτο[6] εἰς ὅλον τὸν κόσμον, καὶ ὃ
ἐποίησεν αὕτη λαληθήσεται εἰς μνημόσυνον αὐτῆς."
ρξ 10 [a]Καὶ ὁ[7] Ἰούδας ὁ[7] [b]Ἰσκαριώτης[8], [c][9]εἷς τῶν δώδεκα, [a] ver. 10,
β ἀπῆλθε πρὸς τοὺς ἀρχιερεῖς, ἵνα παραδῷ αὐτὸν[10] αὐ- 11. Matt. 26.
11 τοῖς. Οἱ δὲ ἀκούσαντες ἐχάρησαν, καὶ ἐπηγγείλαντο 14—16. Luc. 22.
αὐτῷ ἀργύριον δοῦναι· καὶ ἐζήτει πῶς εὐκαίρως αὐτὸν 3—6. [b] Vid.
παραδῷ[11]. Matt. 26. 14.
ΜΕʹ. 12 [d]ΚΑΙ τῇ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, [e]ὅτε τὸ πάσχα [c] Joan. 6. 71.
[f]ἔθυον, λέγουσιν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, "Ποῦ θέλεις [d] ver. 12—16,
13 ἀπελθόντες ἑτοιμάσωμεν ἵνα φάγῃς τὸ πάσχα;" Καὶ Matt. 26. 17—19.
ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ, καὶ λέγει αὐτοῖς, Luc. 22. 7—13.
"Ὑπάγετε εἰς τὴν πόλιν· καὶ ἀπαντήσει ὑμῖν ἄνθρω- [e] Ex. 12. 17. Deut. 16. 5.
πος κεράμιον ὕδατος βαστάζων· ἀκολουθήσατε αὐτῷ, [f] 1 Cor. 5. 7.
14 καὶ ὅπου ἐὰν[12] εἰσέλθῃ, εἴπατε τῷ οἰκοδεσπότῃ,
Ὅτι ὁ διδάσκαλος λέγει, Ποῦ ἐστι τὸ [g]κατάλυμα[13], [g] Luc. 2. 7; 22. 11.
15 ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω; καὶ
αὐτὸς ὑμῖν δείξει [h]ἀνώγεον[14] μέγα ἐστρωμένον ἕτοιμον[15]· [h] Luc. 22. 12. Cf. Act. 1. 13.
16 [16]ἐκεῖ ἑτοιμάσατε ἡμῖν." Καὶ ἐξῆλθον οἱ μαθηταὶ
αὐτοῦ[17], καὶ ἦλθον εἰς τὴν πόλιν, καὶ εὗρον καθὼς
εἶπεν αὐτοῖς, καὶ ἡτοίμασαν τὸ πάσχα.
17 [i]Καὶ ὀψίας γενομένης ἔρχεται μετὰ τῶν δώδεκα· [i] ver. 17—21,
Μϛʹ. 18 καὶ ἀνακειμένων αὐτῶν καὶ ἐσθιόντων, εἶπεν ὁ Ἰησοῦς[18], Matt. 26. 20—24.
ρξα "Ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με, [k]ὁ Luc. 22. 14, 21.
δ ρξβ 19 ἐσθίων[19] μετ' ἐμοῦ." Οἱ δὲ[20] ἤρξαντο λυπεῖσθαι, καὶ [k] Joan. 13. 18.
α λέγειν αὐτῷ [l]εἷς καθ'[21] εἷς, "Μή τι ἐγώ;" Καὶ ἄλλος, [l] Joan. 8. 9 (var. lect.).
ρξγ 20 "Μή τι ἐγώ;[22]" Ὁ δὲ ἀποκριθεὶς[23] εἶπεν αὐτοῖς, "Εἷς
β ἐκ[24] τῶν δώδεκα, ὁ ἐμβαπτόμενος μετ' ἐμοῦ[25] εἰς τὸ[26]

[1] ἔσχεν LTTrWHR. [2] —αὕτη T[LTr]WHR. [3] τὸ σῶμά μου LTr (*non marg.*) WH. [4] + δὲ TTr[L]WHR. [5] ἐὰν TWH. [6] —τοῦτο TTr[L]WHR. [7] —ὁ LTTrWH. [8] Ἰσκαριώθ TWH. [9] + ὁ TTrWHR. [10] παραδοῖ αὐτὸν L, *at* αὐτὸν παραδοῖ TTrWH. [11] αὐτὸν εὐκαίρως παραδοῖ LTTrWH. [12] ἂν LTr. [13] + μου TTr[LTr *marg.*]WHR. [14] ἀνάγαιον LTTrWH. [15] [ἕτοιμον] L. [16] +καὶ TTrWHR (κἀκεῖ T). [17] —αὐτοῦ T[Tr]WHR. [18] ὁ Ἰησοῦς εἶπεν TTr *marg.* WH. [19] τῶν ἐσθιόντων WH *marg.* [20] —Οἱ δὲ TWHR. [21] κατὰ TTr *marg.* WH. [22] —Καὶ ἄλλος, Μή τι ἐγώ; TTr[Tr *marg.*]WHR. [23] —ἀποκριθεὶς LTTrWHR. [24] —ἐκ TTr (*corr.*) [Tr *marg.*]WH. [25] +τὴν χεῖρα L. [26] + [ἐν] WH.

τρυβλίον.* [1]ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει, καθὼς 21 ρξδ
γέγραπται περὶ αὐτοῦ· οὐαὶ δὲ τῷ[2] ἀνθρώπῳ ἐκείνῳ, ς
δι' οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται· καλὸν ἦν[3]
αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος."

[a] ver. 22—25, Matt. 26. 26—29. Luc. 22. 17, 19, 20, 18. 1 Cor. 11. 23—25.

[a]Καὶ ἐσθιόντων αὐτῶν, λαβὼν ὁ Ἰησοῦς[4] ἄρτον 22 ρξε
εὐλογήσας ἔκλασε, καὶ ἔδωκεν αὐτοῖς, καὶ εἶπε, "Λά- α
βετε, φάγετε[5]. τοῦτό ἐστι τὸ σῶμά μου." Καὶ λαβὼν 23 ρξϛ
τὸ[6] ποτήριον εὐχαριστήσας ἔδωκεν αὐτοῖς· καὶ ἔπιον β
ἐξ αὐτοῦ πάντες· καὶ εἶπεν αὐτοῖς, "Τοῦτό ἐστι τὸ 24
αἷμά μου, τὸ[7] τῆς καινῆς[8] διαθήκης, τὸ περὶ πολλῶν
ἐκχυνόμενον[9]. ἀμὴν λέγω ὑμῖν, ὅτι οὐκέτι οὐ μὴ πίω 25
ἐκ τοῦ γεννήματος[10] τῆς ἀμπέλου, ἕως τῆς ἡμέρας
ἐκείνης, ὅταν αὐτὸ πίνω καινὸν ἐν τῇ βασιλείᾳ τοῦ
Θεοῦ."

[b] ver. 26—31, Matt. 26. 30—35.

[c] Zech. 13. 7. Joan. 16. 32.

[b]Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν. 26 ρξζ
καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς, "Ὅτι πάντες σκανδαλ- 27 ς ρξη
ισθήσεσθε ἐν ἐμοὶ[11] ἐν τῇ νυκτὶ ταύτῃ[12]· ὅτι γέγραπ- δ ρξθ
ται, [c]'Πατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσεται τὰ ς
πρόβατα[13].' Ἀλλὰ μετὰ τὸ ἐγερθῆναί με, προάξω 28
ὑμᾶς εἰς τὴν Γαλιλαίαν." Ὁ δὲ Πέτρος ἔφη αὐτῷ, 29 ρο
"Καὶ εἰ[14] πάντες σκανδαλισθήσονται, ἀλλ' οὐκ ἐγώ." α
Καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, "Ἀμὴν λέγω σοι, ὅτι[15] 30
σήμερον ἐν τῇ νυκτὶ ταύτῃ[16], πρὶν ἢ [d]δὶς [e]ἀλέκτορα
φωνῆσαι, τρὶς ἀπαρνήσῃ με[17]." Ὁ δὲ ἐκ περισσοῦ[18] 31 ροα
ἔλεγε[19] μᾶλλον[20], "Ἐάν με δέῃ[21] συναποθανεῖν σοι, ς
οὐ μή σε ἀπαρνήσομαι[22]." Ὡσαύτως δὲ[23] καὶ πάντες
ἔλεγον.

[d] Cf. Matt. 26. 34, 75. [e] ver. 68, 72. cap. 13. 36.

[f] ver. 32—42, Matt. 26. 36—46. Luc. 22. 40—46.

[f]ΚΑΙ ἔρχονται εἰς χωρίον οὗ τὸ[24] ὄνομα Γεθση- 32 ροβ
μανῆ[25]· καὶ λέγει τοῖς μαθηταῖς αὐτοῦ, "Καθίσατε α ρογ ς

[1] + ὅτι T[Tr]WHR. [2] —τῷ B. [3] —ἦν T[LTr]WH. [4] —ὁ Ἰησοῦς T[LTr]WHR. [5] —φάγετε LTTrWHR. [6] —τὸ LTTrWHR. [7] —τὸ T[L]WHR. [8] —καινῆς TTrWH.R (*non marg.*). [9] ὑπὲρ πολλῶν ἐκχυν(νν L)όμενον LR, ἐκχυννόμενον ὑπὲρ πολλῶν TTrWH. [10] γενήματος TTrWH. [11] —ἐν ἐμοὶ TTrWHR. [12] —ἐν τῇ νυκτὶ ταύτῃ TTr[L]WHR. [13] διασκορπισθήσονται τὰ πρόβατα L, τὰ πρόβατα διασκορπισθήσονται TTrWH. [14] Εἰ καὶ TTrWHR. [15] + σὺ LTTrWH. [16] ταύτῃ τῇ νυκτὶ L (*non marg.*) TTrWHR. [17] με ἀπαρνήσῃ LTTrWH. [18] ἐκπερισσῶς LTTrWHR. [19] ἐλάλει L (*non marg.*) TTrWHR. [20] —μᾶλλον LTTrWHR. [21] δέῃ με LTrWH. [22] ἀπαρνήσωμαι T. [23] [δὲ] WH. [24] ᾧ L. [25] Γεθσημανεῖ LTr, Γεθσημανεί TWH.

* τρύβλιον TWH.

33 ὧδε, ἕως **προσεύξωμαι**[1].” Καὶ παραλαμβάνει τὸν
Πέτρον καὶ **τὸν**[2] Ἰάκωβον καὶ **Ἰωάννην**[3] **μεθ' ἑαυτοῦ**[4].
ροδ 34 Καὶ ἤρξατο [a]ἐκθαμβεῖσθαι καὶ [b]ἀδημονεῖν. καὶ λέγει [a] Vid. cap. 9. 15.
δ αὐτοῖς, “Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· [b] Phil. 2. 26.
ροε 35 μείνατε ὧδε καὶ γρηγορεῖτε.” Καὶ **προελθὼν**[5] μικρόν,
α **ἔπεσεν**[6] ἐπὶ τῆς γῆς, καὶ προσηύχετο, ἵνα, εἰ δυνατόν
36 ἐστι, παρέλθῃ ἀπ' αὐτοῦ [c]ἡ ὥρα· καὶ ἔλεγεν, [d]“Ἀβ- [c] ver. 41. Joan. 12. 27. Cf. Luc. 22. 53.
βᾶ[7], ὁ πατήρ, πάντα δυνατά σοι. παρένεγκε τὸ ποτή-
ρος α ριον **ἀπ' ἐμοῦ τοῦτο**[8]. [e]ἀλλ' οὐ τί ἐγὼ θέλω, ἀλλὰ τί [d] Rom. 8. 15. Gal. 4. 6.
ροζ 37 σύ.” Καὶ ἔρχεται καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας,
β καὶ λέγει τῷ Πέτρῳ, “Σίμων, καθεύδεις; οὐκ ἴσχυ- [e] Joan. 6. 38.
38 σας μίαν ὥραν γρηγορῆσαι; γρηγορεῖτε καὶ προσ-
ροη εὔχεσθε, [f]ἵνα[9] μὴ **εἰσέλθητε**[10] εἰς πειρασμόν. [g]τὸ μὲν [f] Vid. Matt. 6. 13.
δ ροθ 39 πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής.” Καὶ πάλιν [g] Gal. 5. 17.
ς 40 ἀπελθὼν προσηύξατο, **τὸν αὐτὸν λόγον εἰπών**[11]. καὶ
ὑποστρέψας[12] εὗρεν αὐτοὺς **πάλιν**[13] καθεύδοντας· ἦσαν
γὰρ **οἱ ὀφθαλμοὶ αὐτῶν**[14] **βεβαρημένοι**[15], [h]καὶ οὐκ ᾔδεισαν [h] Cf. cap. 9. 6.
τί αὐτῷ ἀποκριθῶσι[16].

ρπ 41 Καὶ ἔρχεται τὸ τρίτον, καὶ λέγει αὐτοῖς, “Καθεύ-
δ δετε **τὸ**[17] λοιπὸν καὶ ἀναπαύεσθε. ἀπέχει· ἦλθεν [c]ἡ
ὥρα· ἰδού, παραδίδοται ὁ υἱὸς τοῦ ἀνθρώπου εἰς τὰς
42 χεῖρας τῶν ἁμαρτωλῶν. ἐγείρεσθε, ἄγωμεν· ἰδού, ὁ
παραδιδούς με **ἤγγικε**[18].”

ρπα 43 [i]Καὶ **εὐθέως**[19], ἔτι αὐτοῦ λαλοῦντος, παραγίνεται[20] [i] ver. 43—50, Matt. 26. 47—56. Luc. 22. 47—53. Joan. 18. 3—11.
α Ἰούδας[21], εἷς **ὢν**[22] τῶν δώδεκα, καὶ μετ' αὐτοῦ ὄχλος
πολὺς[23] μετὰ μαχαιρῶν καὶ ξύλων, παρὰ τῶν ἀρχιε-
ρέων καὶ τῶν γραμματέων καὶ **τῶν**[24] πρεσβυτέρων.
ρπβ 44 δεδώκει δὲ ὁ **παραδιδοὺς**[25] αὐτὸν [26]**σύσσημον** αὐτοῖς,
β λέγων, “[a]Ὃν ἂν φιλήσω, αὐτός ἐστι· κρατήσατε
45 αὐτόν, καὶ **ἀπαγάγετε**[27] ἀσφαλῶς.” Καὶ ἐλθών, εὐ-

[1] προσεύξομαι Tr *marg.* [2] —τὸν LTTrWH *marg.* [3] τὸν Ἰωάνην WH *text.* [4] μετ' αὐτοῦ LTTrWH. [5] προσελθὼν TrWH *marg.* [6] ἔπιπτεν TTr *marg.* WHR. [7] Ἀββά WH. [8] τοῦτο ἀπ' ἐμοῦ LTTrWH. [9] γρηγορεῖτε, καὶ προσεύχεσθε ἵνα R *marg.* [10] ἔλθητε T WH. [11] [τὸν αὐτὸν λόγον εἰπών] WH. [12] πάλιν ἐλθὼν LWHR, *at* ἐλθὼν Tr, [πάλιν] ἐλθὼν Tr *marg.* [13] —πάλιν LTrWHR. [14] αὐτῶν οἱ ὀφθαλμοὶ TWH. [15] καταβαρυνόμενοι LTTrWHR. [16] ἀποκριθῶσιν αὐτῷ LTTrWH. [17] —τὸ LTr[WH]. [18] ἤγγισεν T. [19] εὐθὺς LTTrWH. [20] + ὁ LTr[WH]. [21] + ὁ Ἰσκαριώτης LT[Tr]. [22] —ὢν LTTrWHR. [23] —πολὺς TTr [LTr *marg.*]WHR. [24] —τῶν T. [25] παραδοὺς L *marg.* [26] σύν- T. [27] ἀπάγετε LTTrWH.

αὐτῷ ὁ Ἰησοῦς, “Ὅτι πρὶν ἀλέκτορα φωνῆσαι δίς[1],
ἀπαρνήσῃ με τρίς[2].” καὶ ἐπιβαλὼν ἔκλαιε.

[a] Matt. 27. 1. [b] cap. 3. 6. [c] Luc. 22. 66. [d] Matt. 27. 2. [e] Luc. 23. 1. Joan. 18. 28. [f] ver. 2—5, Matt. 27. 11—14. Luc. 23. 2, 3. Joan. 18. 29—38.

[a]ΚΑΙ εὐθέως[3] ἐπὶ τὸ[4] πρωῒ [b]συμβούλιον ποιήσαντες[5] 15 ρλη
[c]οἱ ἀρχιερεῖς μετὰ τῶν πρεσβυτέρων καὶ[6] γραμματέων, β
καὶ ὅλον τὸ συνέδριον, [d]δήσαντες τὸν Ἰησοῦν ἀπή- ρλθ
νεγκαν καὶ [e]παρέδωκαν τῷ[7] Πιλάτῳ[8]. [f]καὶ ἐπηρώτησεν 2 α/σ
αὐτὸν ὁ Πιλάτος[9], “Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων;” α
Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτῷ[10], “Σὺ λέγεις.[11]” Καὶ 3 σα
κατηγόρουν αὐτοῦ οἱ ἀρχιερεῖς πολλά· ὁ δὲ Πιλάτος[9] 4 δ
πάλιν ἐπηρώτησεν[12] αὐτόν, λέγων[13], “Οὐκ ἀποκρίνῃ
οὐδέν; ἴδε, πόσα σου καταμαρτυροῦσιν[14].” Ὁ δὲ 5
Ἰησοῦς οὐκέτι οὐδὲν ἀπεκρίθη, ὥστε θαυμάζειν τὸν
Πιλάτον[15].

[g] ver. 6—15, Matt. 27. 15—26. Luc. 23. 18—25. Joan. 18. 39—19. 16.

[g]Κατὰ δὲ ἑορτὴν ἀπέλυεν αὐτοῖς ἕνα δέσμιον, ὅν- 6 σβ
περ ᾐτοῦντο[16]. ἦν δὲ ὁ λεγόμενος Βαραββᾶς μετὰ 7 β/σγ
τῶν συστασιαστῶν[17] δεδεμένος, οἵτινες ἐν τῇ στάσει δ
φόνον πεποιήκεισαν. καὶ ἀναβοήσας[18] ὁ ὄχλος ἤρξατο 8
αἰτεῖσθαι, καθὼς ἀεὶ[19] ἐποίει αὐτοῖς. ὁ δὲ Πιλάτος[9] 9
ἀπεκρίθη αὐτοῖς, λέγων, “Θέλετε ἀπολύσω ὑμῖν τὸν
βασιλέα τῶν Ἰουδαίων;” Ἐγίνωσκε γὰρ ὅτι διὰ 10
φθόνον παραδεδώκεισαν αὐτὸν οἱ ἀρχιερεῖς[20]. οἱ δὲ 11 σδ

[h] Act. 3. 14.

ἀρχιερεῖς ἀνέσεισαν τὸν ὄχλον, [h]ἵνα μᾶλλον τὸν Βαρ- α
αββᾶν ἀπολύσῃ αὐτοῖς· ὁ δὲ Πιλάτος[9] ἀποκριθεὶς 12 σε
πάλιν[21] εἶπεν[22] αὐτοῖς, “Τί οὖν θέλετε[23] ποιήσω ὃν λέ- α
γετε[24, 25] βασιλέα τῶν Ἰουδαίων;” Οἱ δὲ πάλιν ἔκρα- 13
ξαν[26], “Σταύρωσον αὐτόν.” Ὁ δὲ Πιλάτος[9] ἔλεγεν 14
αὐτοῖς, “Τί γὰρ κακὸν ἐποίησεν[27];” Οἱ δὲ περισσο-
τέρως[28] ἔκραξαν[29], “Σταύρωσον αὐτόν.” Ὁ δὲ Πιλά- 15 σϛ
τος[9] βουλόμενος τῷ ὄχλῳ τὸ ἱκανὸν ποιῆσαι[30], ἀπέ- α
λυσεν αὐτοῖς τὸν Βαραββᾶν· καὶ παρέδωκε τὸν

[i] Joan. 19. 1.

Ἰησοῦν, [i]φραγελλώσας, ἵνα σταυρωθῇ.

[1] δὶς φωνῆσαι LTr (*non marg.*) WH. [2] τρίς με ἀπαρνήσῃ LTTrWHR. [3] εὐθὺς TTrWH. [4] —ἐπὶ τὸ LTTrWHR. [5] ἑτοιμάσαντες TWH *marg.* [6] + τῶν T. [7] —τῷ LTTrWH. [8] Πειλάτῳ TWH. [9] Πειλᾶτος TWH. [10] αὐτῷ λέγει TTrWHR. [11] λέγεις; WH *marg.* [12] ἐπηρώτα L *marg* TTr (*non marg.*) WH. [13] —λέγων T[WH]. [14] κατηγοροῦσιν LTTrWHR. [15] Πειλᾶτον TWH. [16] ὃν παρῃτοῦντο TTr *marg.* WHR. [17] στασιαστῶν LTTrWHR. [18] ἀναβὰς LTTr (*non marg.*) WHR. [19] —ἀεὶ TWHR. [20] [οἱ ἀρχιερεῖς] WH. [21] πάλιν ἀποκριθεὶς LTTrWHR. [22] ἔλεγεν TTrWH. [23] —θέλετε [Tr]WHR. [24] —ὃν λέγετε LTr[Tr *marg.*], [ὃν] λέγετε WH. [25] + τὸν LTTrWHR. [26] + λέγοντες L. [27] ἐποίησεν κακόν TTr (*non marg.*) WH. [28] περισσῶς LTTrWHR. [29] ἔκραζον LTr *marg.* [30] ποιῆσαι τὸ ἱκανὸν τῷ ὄχλῳ T.

σζ δ 16 [a]Οἱ δὲ στρατιῶται ἀπήγαγον αὐτὸν ἔσω τῆς [b]αὐλῆς,
ὅ ἐστι πραιτώριον, καὶ [1]συγκαλοῦσιν ὅλην τὴν σπεῖ-
17 ραν, καὶ ἐνδύουσιν[2] αὐτὸν πορφύραν, καὶ περιτι-
18 θέασιν αὐτῷ πλέξαντες ἀκάνθινον στέφανον, καὶ
ἤρξαντο ἀσπάζεσθαι αὐτόν, "Χαῖρε, βασιλεῦ[3] τῶν
19 Ἰουδαίων·" καὶ ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ,
καὶ [c]ἐνέπτυον αὐτῷ, καὶ τιθέντες τὰ γόνατα προσεκύ-
ση ς 20 νουν αὐτῷ. Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν αὐτὸν
τὴν πορφύραν, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ
σθ α ἴδια[4]· καὶ ἐξάγουσιν[5] αὐτόν, ἵνα σταυρώσωσιν[6] αὐτόν[7].
21 καὶ [d]ἀγγαρεύουσι παράγοντά τινα Σίμωνα Κυρηναῖον,
ἐρχόμενον ἀπ'[8] ἀγροῦ, τὸν πατέρα Ἀλεξάνδρου καὶ
[e]Ῥούφου, ἵνα ἄρῃ τὸν σταυρὸν αὐτοῦ.
σι α 22 [f]ΚΑΙ φέρουσιν αὐτὸν ἐπὶ [g]Γολγοθᾶ[9] τόπον, ὅ ἐστι
σια δ 23 μεθερμηνευόμενον[10], [gh]Κρανίου τόπος[11]. Καὶ ἐδίδουν αὐτῷ
24 πιεῖν[12] [i]ἐσμυρνισμένον οἶνον· ὁ[13] δὲ οὐκ ἔλαβε. Καὶ
σιβ α σταυρώσαντες αὐτόν[14], διεμέριζον[15] τὰ ἱμάτια αὐτοῦ,
σιγ ι 25 βάλλοντες κλῆρον ἐπ' αὐτά, τίς τί ἄρῃ. [k]ἦν δὲ ὥρα
σιδ α 26 τρίτη, καὶ ἐσταύρωσαν[16] αὐτόν. Καὶ ἦν ἡ ἐπιγραφὴ
τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμμένη, "Ὁ βασιλεὺς τῶν
σιε α 27 Ἰουδαίων." Καὶ σὺν αὐτῷ σταυροῦσι δύο λῃστάς,
σις η 28 ἕνα ἐκ δεξιῶν καὶ ἕνα ἐξ εὐωνύμων αὐτοῦ. καὶ ἐπλη-
ρώθη ἡ γραφὴ ἡ λέγουσα, 'Καὶ μετὰ ἀνόμων ἐλογίσθη.'[17]
σιζ ς 29 Καὶ οἱ παραπορευόμενοι ἐβλασφήμουν αὐτόν, κινοῦν-
τες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες, "[l]Οὐά[18], ὁ κατα-
λύων τὸν ναόν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν[19],
30 σῶσον σεαυτόν, καὶ κατάβα[20] ἀπὸ τοῦ σταυροῦ."
σιη β 31 Ὁμοίως δὲ[21] καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλή-
λους μετὰ τῶν γραμματέων ἔλεγον, "Ἄλλους ἔσωσεν,
32 ἑαυτὸν οὐ δύναται σῶσαι.[22] ὁ Χριστὸς ὁ βασιλεὺς
τοῦ[23] Ἰσραὴλ[24] καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα

[a] ver. 16—21, Matt. 27. 27—32.
[b] Vid. Matt. 26. 3.
[c] Vid. cap. 10. 34.
[d] Vid. Matt. 5. 41.
[e] Rom. 16. 13?
[f] ver. 22—37, Matt. 27. 32—50.
[g] Joan. 19. 17.
[h] Luc. 23. 33.
[i] Ex. 30. 23. Esther 2. 12. Ps. 45. 8. Prov. 7. 17. Cant. 1. 13. Matt. 2. 11. Joan. 19. 39.
[k] Cf. Joan. 19. 14.
[l] cap. 14. 58.

[1] συν- TWH. [2] ἐνδιδύσκουσιν LTTrWH. [3] ὁ βασιλεὺς Tr *marg.* [4] αὐτοῦ LWHR, *at* τὰ ἴδια ἱμάτια αὐτοῦ T. [5] ἄγουσιν L. [6] σταυρώσουσιν LTTr. [7] —αὐτόν T. [8] ἀπὸ LTr. [9] τὸν Γολγοθᾶν T, τὸν Γολγοθὰν WH, [τὸν] Γολγοθᾶ Tr. [10] μεθερμηνευόμενος Tr *marg.* WH (*non marg.*). [11] Τόπος WH. [12] —πιεῖν TTrWHR. [13] ὃς TTr (*non marg.*) WH. [14] σταυροῦσιν αὐτόν, καὶ TTrWHR. [15] διαμερίζονται LTTrWHR. [16] ἐφύλασσον WH *marg.* [17] *v.* 28 *deest in* TWH.R (*non marg.*), *uncinis includit* Tr. [18] Οὐᾶ T. [19] οἰκοδομῶν (+ἐν [WH]R) τρισὶν ἡμέραις LTTrWHR. [20] καταβὰς LTTrWHR. [21] —δὲ LTTrWHR. [22] σῶσαι; R *marg.* [23] —τοῦ LTTr[Tr *marg.*] WH. [24] . L (Ἰσραὴλ S).

ἴδωμεν καὶ πιστεύσωμεν[1].” Καὶ οἱ συνεσταυρωμέ- σιθ
νοι[2] αὐτῷ ὠνείδιζον αὐτόν. Γενομένης δὲ[3] ὥρας ἕκτης, 33 β σκ
σκότος ἐγένετο ἐφ’ ὅλην τὴν γῆν, ἕως ὥρας ἐννάτης[4]. β
καὶ τῇ ὥρᾳ τῇ ἐννάτῃ[5] ἐβόησεν ὁ Ἰησοῦς φωνῇ με- 34 σκα
γάλῃ, λέγων[6], [a]“Ἐλωΐ, Ἐλωΐ[7], λαμμᾶ[8] σαβαχθανί[9];” ς
ὅ ἐστι μεθερμηνευόμενον, “Ὁ Θεός μου, ὁ Θεός
μου[10], εἰς τί με ἐγκατέλιπες[11];” Καί τινες τῶν παρεστη- 35
κότων[12] ἀκούσαντες ἔλεγον, “Ἰδού[13], Ἠλίαν[14] φωνεῖ.”
[b]Δραμὼν δὲ εἷς[15], καὶ[16] γεμίσας σπόγγον ὄξους, περι- 36 σκβ
θείς τε[17] καλάμῳ, ἐπότιζεν αὐτόν, λέγων, “Ἄφετε, β
ἴδωμεν εἰ ἔρχεται Ἠλίας[18] καθελεῖν αὐτόν.”

[c]Ὁ δὲ Ἰησοῦς ἀφεὶς φωνὴν μεγάλην ἐξέπνευσε. 37 σκγ
καὶ [d]τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο, ἀπὸ[19] 38 α σκδ
ἄνωθεν ἕως κάτω. [e]Ἰδὼν δὲ ὁ [m]κεντυρίων ὁ παρεστη- 39 β σκε
κὼς ἐξ ἐναντίας αὐτοῦ, ὅτι οὕτω[20] κράξας[21] ἐξέπνευσεν, β
εἶπεν, “Ἀληθῶς ὁ ἄνθρωπος οὗτος[22] υἱὸς ἦν Θεοῦ[23].”
[f]Ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ μακρόθεν θεωροῦσαι, ἐν 40 σκς
αἷς ἦν[24] καὶ Μαρία[25] ἡ Μαγδαληνή, καὶ Μαρία ἡ[26] ς
τοῦ[27] Ἰακώβου [g]τοῦ μικροῦ καὶ Ἰωσῆ[28] μήτηρ, καὶ
[h]Σαλώμη, αἳ καί[29], ὅτε ἦν ἐν τῇ Γαλιλαίᾳ, ἠκολούθουν 41
αὐτῷ, καὶ διηκόνουν αὐτῷ, καὶ ἄλλαι πολλαὶ αἱ
συναναβᾶσαι αὐτῷ εἰς Ἱεροσόλυμα[30].

[i]Καὶ ἤδη ὀψίας γενομένης, ἐπεὶ ἦν παρασκευή, ὅ ἐστι 42 ΜΗʹ.
προσάββατον[31], ἦλθεν[32] Ἰωσὴφ ὁ[33] ἀπὸ Ἀριμαθαίας[34], 43 σκζ
[k]εὐσχήμων βουλευτής, ὃς καὶ αὐτὸς ἦν [l]προσδεχόμενος α
τὴν βασιλείαν τοῦ Θεοῦ· τολμήσας εἰσῆλθε πρὸς[35]
Πιλάτον[36], καὶ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ. ὁ δὲ 44
Πιλάτος ἐθαύμασεν[37] εἰ ἤδη τέθνηκε· καὶ προσκαλε-
σάμενος τὸν [m]κεντυρίωνα, ἐπηρώτησεν αὐτὸν εἰ πάλαι[38]

[a] Ps. 22. 1.
[b] Luc. 23. 36. Joan. 19. 29.
[c] Luc. 23. 46. Joan. 19. 30.
[d] Matt. 27. 51. Luc. 23. 45.
[e] Matt. 27. 54. Luc. 23. 47.
[f] ver. 40, 41, Matt. 27. 55, 56. Luc. 23. 49. Cf. Joan. 19. 25.
[g] Cf. Luc. 19. 3.
[h] cap. 16. 1. Cf. Matt. 27. 56.
[i] ver. 42—47, Matt. 27. 57—61. Luc. 23. 50—56. Joan. 19. 38—42.
[k] Act. 13. 50; 17. 12.
[l] Luc. 2. 25, 38.
[m] ver. 39.

[1] + αὐτῷ L. [2] + σὺν LTWH. [3] καὶ γενομένης LTTrWHR. [4] ἐνάτης LTTrWH. [5] τῇ ἐνάτῃ ὥρᾳ LTTr (*non marg.*) WH. [6] —λέγων TTrWHR. [7] Ἐλωῒ ἐλωῒ LT, Ἐλωί ἐλωί WH. [8] λεμὰ LT, λαμὰ TrWHR. [9] σαβαχθανεί TTrWH. [10] [ὁ θεός μου] WH. [11] ἐγκατέλιπές με L (*non marg.*) TTrWH *text.*, ὠνείδισάς με WH *marg.*+ [12] παρεστώτων T, *at* ἑστηκότων WH *marg.* [13] Ἴδε TTrWH. [14] Ἠλείαν T, Ἠλείαν WH. [15] τις TTrWHR. [16] —καὶ L[Tr]WHR. [17] —τε LTTrWHR. [18] Ἠλείας T, Ἠλείας WH. [19] ἀπ’ LTrWH. [20] οὕτως BEWHR. [21] —κράξας T[Tr]WH.R (*non marg.*). [22] οὗτος ὁ ἄνθρωπος LTTrWH. [23] Θεοῦ ἦν Tr *marg.* WH. [24] —ἦν T[Tr]WHR, *at* [ἦν καὶ] Tr *marg.* [25] Μαριὰμ WH. [26] [ἡ] Tr. [27] —τοῦ LTTrWH. [28] Ἰωσῆτος LTTrWH. [29] —καί LT[Tr]WHR, *at* [αἳ] καὶ Tr *marg.* [30] Ἱεροσόλυμα WH. [31] πρὸς σάββατον LTr (*corr.*) [32] ἐλθὼν LTTrWHR. [33] —ὁ WH (*non marg.*). [34] Ἀριμαθαίας WH. [35] + τὸν TTrWH. [36] Πειλᾶτον TWH. [37] Πειλᾶτος ἐθαύμαζεν T (Πειλᾶτος *tantum* WH). [38] ἤδη LTr (*non marg.*) WH (*non marg.*) R *marg.*

45 ἀπέθανε· καὶ γνοὺς ἀπὸ τοῦ κεντυρίωνος, ἐδωρήσατο
σκη 46 τὸ σῶμα[1] τῷ Ἰωσήφ. καὶ ἀγοράσας σινδόνα, καὶ[2]
α καθελὼν αὐτόν, ἐνείλησε τῇ σινδόνι, καὶ κατέθηκεν[3]
αὐτὸν ἐν μνημείῳ[4], ὃ ἦν λελατομημένον ἐκ πέτρας·
καὶ προσεκύλισε [e]λίθον ἐπὶ τὴν θύραν τοῦ μνημείου.
σκθ 47 ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ καὶ [a]Μαρία Ἰωσῆ[5] ἐθεώ-
ϛ ρουν ποῦ τίθεται[6].
σλ 16 [b]ΚΑΙ διαγενομένου τοῦ σαββάτου, [7]Μαρία ἡ Μαγ-
η δαληνὴ καὶ [a]Μαρία ἡ τοῦ[8] Ἰακώβου καὶ [c]Σαλώμη
[d]ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσιν αὐτόν.
σλα 2 καὶ λίαν πρωῒ τῆς μιᾶς[9] σαββάτων ἔρχονται ἐπὶ τὸ
α 3 μνημεῖον[10], ἀνατείλαντος[11] τοῦ ἡλίου. καὶ ἔλεγον πρὸς
ἑαυτάς, "Τίς ἀποκυλίσει ἡμῖν [e]τὸν λίθον ἐκ[12] τῆς θύρας
4 τοῦ μνημείου;" Καὶ ἀναβλέψασαι θεωροῦσιν ὅτι
5 ἀποκεκύλισται[13] [e]ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα. καὶ
[f]εἰσελθοῦσαι[14] εἰς τὸ μνημεῖον, εἶδον νεανίσκον καθή-
μενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον [g]στολὴν λευκήν·
σλβ 6 καὶ ἐξεθαμβήθησαν. ὁ δὲ λέγει αὐταῖς, "Μὴ [h]ἐκθαμ-
β βεῖσθε. Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυ-
ρωμένον· ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε, ὁ τόπος ὅπου
7 ἔθηκαν αὐτόν. ἀλλ'[15] ὑπάγετε, εἴπατε τοῖς μαθηταῖς
αὐτοῦ καὶ τῷ Πέτρῳ, ὅτι [i]προάγει ὑμᾶς εἰς τὴν Γαλι-
σλγ 8 λαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν." Καὶ
β ἐξελθοῦσαι ταχὺ[16] ἔφυγον ἀπὸ τοῦ μνημείου· εἶχε δὲ[17]
αὐτὰς τρόμος καὶ ἔκστασις· καὶ οὐδενὶ οὐδὲν[18] εἶπον,
ἐφοβοῦντο γάρ[19].
9 [20]Ἀναστὰς δὲ πρωῒ πρώτῃ σαββάτου [k]ἐφάνη πρῶ-
τον Μαρίᾳ τῇ Μαγδαληνῇ, [l]ἀφ'[21] ἧς ἐκβεβλήκει ἑπτὰ
10 δαιμόνια. [m]ἐκείνη[22] πορευθεῖσα ἀπήγγειλε τοῖς μετ'
σλδ 11 αὐτοῦ γενομένοις, [n]πενθοῦσι καὶ κλαίουσι. κἀκεῖνοι
ι ἀκούσαντες ὅτι ζῇ καὶ ἐθεάθη ὑπ' αὐτῆς [o]ἠπίστησαν.
σλε 12 Μετὰ δὲ ταῦτα [p]δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν [q]ἐφανε-
η

[a] cap. 16. 1.
[b] ver. 1—8, Matt. 28. 1—8. Luc. 24. 1—10. Cf. Joan. 20. 1—8.
[c] cap. 15. 40.
[d] Luc. 23. 56. Joan. 19. 40.
[e] Matt. 27. 60. cap. 15. 46.
[f] Cf. Joan. 20. 11, 12.
[g] Rev. 6. 11; 7. 9.
[h] Vid. cap. 9. 15.
[i] Matt. 26. 32; 28. 7, 10, 16. cap. 14. 28.
[k] Joan. 20. 14. Cf. Matt. 28. 9.
[l] Luc. 8. 2.
[m] Joan. 20. 18.
[n] Joan. 16. 20.
[o] Luc. 24. 11.
[p] Luc. 24. 13.
[q] ver. 14. Joan. 21. 1, 14.

[1] *πτῶμα* LTTrWHR. [2] —*καὶ* LTTrWHR. [3] *ἔθηκεν* LTrWHR. [4] *μνήματι* TWH. [5] *ἡ Ἰωσῆτος* LTTrWH (*ἡ habet* R). [6] *τέθειται* LTTrWHR. [7] + [*ἡ*] WH. [8] —*τοῦ* T[TrWH]. [9] *μιᾷ τῶν* LTr, *τῇ μιᾷ τῶν* TR, [*τῇ*] *μιᾷ* [*τῶν*] Tr *marg.*, [*τῇ*] *μιᾷ τῶν* WH. [10] *μνῆμα* T. [11] *ἀνατέλλοντος* WH *marg.* [12] *ἀπὸ* LTr (*non marg.*). [13] *ἀνακεκύλισται* TTrWHR. [14] *ἐλθοῦσαι* Tr *marg.* WH *marg.* [15] *ἀλλὰ* LTTrWH. [16] —*ταχὺ* LTTrWHR. [17] *γὰρ* LTTrWHR. [18] —*οὐδὲν* L, *errore credo.* [19] + *κατὰ Μάρκον* Tr, + * * * * * * WH. [20] *vv.* 9—20 *non Marci esse censent* TR *marg.* [21] *παρ'* LTr (*non marg.*) WHR. [22] + *δὲ* L.

ρώθη ἐν [a] ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρόν. κἀκεῖ- 13
νοι [b] ἀπελθόντες ἀπήγγειλαν τοῖς λοιποῖς· οὐδὲ ἐκεί-
νοις ἐπίστευσαν. [q]Ὕστερον[1] [c] ἀνακειμένοις αὐτοῖς 14 σλς
τοῖς ἕνδεκα [d] ἐφανερώθη, καὶ ὠνείδισε τὴν ἀπιστίαν [η S.]
αὐτῶν καὶ [e]σκληροκαρδίαν, [f] ὅτι τοῖς θεασαμένοις αὐτὸν
ἐγηγερμένον[2] οὐκ ἐπίστευσαν. Καὶ εἶπεν αὐτοῖς, 15
[g] "Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα, [h] κηρύξατε τὸ
εὐαγγέλιον [i]πάσῃ τῇ κτίσει. [k] ὁ πιστεύσας καὶ [l]βαπτι- 16
σθεὶς [m] σωθήσεται· ὁ δὲ [n] ἀπιστήσας κατακριθήσεται.
σημεῖα δὲ τοῖς πιστεύσασι **ταῦτα** [o] **παρακολουθήσει**[3]· 17
[p] ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι· [q] γλώσσαις
λαλήσουσι **καιναῖς**[4]· [r5] ὄφεις ἀροῦσι· κἂν θανάσιμόν 18
τι πίωσιν, οὐ μὴ αὐτοὺς **βλάψει**[6]· [s] ἐπὶ [t] ἀρρώστους
χεῖρας ἐπιθήσουσι, καὶ καλῶς ἕξουσιν."

Ὁ μὲν **οὖν**[7] Κύριος[8], [u] μετὰ τὸ λαλῆσαι αὐτοῖς, 19
[x] **ἀνελήφθη**[9] εἰς τὸν οὐρανόν, καὶ [y] ἐκάθισεν ἐκ δεξιῶν
τοῦ Θεοῦ· ἐκεῖνοι δὲ ἐξελθόντες ἐκήρυξαν πανταχοῦ, 20
[z] τοῦ Κυρίου συνεργοῦντος, καὶ [aa] τὸν λόγον βεβαιοῦν-
τος [z bb] διὰ τῶν ἐπακολουθούντων σημείων. **Ἀμήν**[10].[11]

ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ
ΑΓΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ[12].

1 ἘΠΕΙΔΗΠΕΡ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι 1 α
διήγησιν περὶ τῶν [cc] πεπληροφορημένων ἐν ἡμῖν πραγ-
μάτων, καθὼς παρέδοσαν ἡμῖν οἱ [dd] ἀπ' ἀρχῆς [ee] αὐτόπται 2
καὶ [ff] ὑπηρέται γενόμενοι [aa] τοῦ λόγου, [gg] ἔδοξε κἀμοί, 3
[c] παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς, [hh] καθεξῆς

[1] + δὲ LTr[Tr *marg.* WH]R. [2] + ἐκ νεκρῶν L[Tr *marg.* WH]. [3] παρακολουθήσει ταῦτα L, ἀκολουθήσει ταῦτα TrWH (*non marg.*). [4] − καιναῖς Tr[Tr *marg.*]WH (*non marg.*) R *marg.* [5] + καὶ ἐν ταῖς χερσὶν Tr[Tr *marg.* WH]. [6] βλάψῃ LTTrWHR. [7] [οὖν] Tr *marg.* [8] + Ἰησοῦς LTr[Tr *marg.* WH]R. [9] ἀνελήμφθη LTTrWH. [10] − Ἀμήν BELTTrWH (*non marg.*). [11] + Τὸ κατὰ Μάρκον εὐαγγέλιον ἐγράφη ἐν στίχοις ͵αφϛ, κεφαλαίοις σλϛ S (*ad finem Matthæi v. p.* 599), *at* + Κατὰ Μάρκον Tr *iterum. Mire addit* WH, *ex auctoritate codicum paucorum, nec fide dignorum,* ΑΛΛΩΣ. ⟦Πάντα δὲ τὰ παρηγγελμένα τοῖς περὶ τὸν Πέτρον συντόμως ἐξήγγειλαν. Μετὰ δὲ ταῦτα καὶ αὐτὸς ὁ Ἰησοῦς ἀπὸ ἀνατολῆς καὶ ἄχρι δύσεως ἐξαπέστειλεν δι' αὐτῶν τὸ ἱερὸν καὶ ἄφθαρτον κήρυγμα τῆς αἰωνίου σωτηρίας.⟧, *versibus* 9—20 *ab ejusmodi signis* (⟦ ⟧) *simili modo abrogatis.* [12] Εὐαγγέλιον κατὰ Λουκᾶν LTr, Κατὰ Λουκᾶν TWH, − ἅγιον B.

[a] Luc. 9. 29. [b] Luc. 24. 33—35. [c] Luc. 24. 36. Joan. 20. 19, 26. 1 Cor. 15. 5. [d] ver. 12. [e] Matt. 19. 8. cap. 10. 5. [f] ver. 11, 13. [g] Matt. 28. 19. [h] Col. 1. 23. Cf. Act. 1. 8. Rom. 10. 18. [i] Rom. 8. 22. [k] Joan 3. 18, 36. [l] Joan. 3. 5. Act. 2. 38. [m] Act. 16. 31. 1 Pet. 3. 21. [n] ver. 11. Luc. 24. 11, 41. Act. 28. 24. Rom. 3. 3. 2 Tim. 2. 13. 1 Pet. 2. 7. Cf. 2 Thess. 2. 12. [o] Luc. 1. 3. 1 Tim. 4. 6. 2 Tim. 3. 10. [p] cap. 9. 38. Luc. 10. 17. Act. 5. 16; 8. 7; 16. 18; 19. 12. [q] Act. 2. 4; 10. 46; 19. 6. 1 Cor. 12. 10, 28, 30; 13. 1; 14. 2, 4, &c. [r] Luc. 10. 19. Act. 28. 3—5. [s] Act. 9. 12, 17. Vid. cap. 5. 23. Cf. Jac. 5. 14, 15. [t] Matt. 14. 14. cap. 6. 5, 13. [u] Act. 1. 3. [x] Luc. 9. 51. Joan. 6. 62. Act. 1. 2, 9. [y] Matt. 22. 44. Act. 2. 33; 7. 55. Rom. 8. 34. Eph. 1. 20. Col. 3. 1. Heb. 1. 3; 8. 1; 10. 12; 12. 2. 1 Pet. 3. 22. [z] Heb. 2. 3, 4. Cf. 1 Cor. 3. 9. [aa] cap. 4. 14. Luc. 1. 2. [bb] Act. 2. 43; 4. 30; 5. 12; 14. 3. Rom. 15. 19. 2 Cor. 12. 12. [cc] Rom. 4. 21; 14. 5. Col. 4. 12 (var. lect.). 2 Tim. 4. 5, 17. Cf. Col. 2. 2. 1 Thess. 1. 5. Heb. 6. 11; 10. 22. [dd] Joan. 15. 27. Cf. Marc. 1. 1. [ee] Cf. Heb. 2. 3. 2 Pet. 1. 16. 1 Joan. 1. 1. [ff] Act. 26. 16. 1 Cor. 4. 1. [gg] Act. 15. 25. [hh] Act. 11. 4; 18. 23.

4 σοι γράψαι, [a]κράτιστε [b]Θεόφιλε, ἵνα ἐπιγνῷς περὶ ὧν
[c]κατηχήθης λόγων τὴν ἀσφάλειαν.
5 ΕΓΕΝΕΤΟ [d]ἐν ταῖς ἡμέραις Ἡρώδου[1] τοῦ[2] βασιλέως
τῆς Ἰουδαίας ἱερεύς τις ὀνόματι Ζαχαρίας, [e]ἐξ ἐφημε-
ρίας Ἀβιά· καὶ ἡ γυνὴ αὐτοῦ[3] ἐκ τῶν θυγατέρων
6 Ἀαρών, καὶ τὸ ὄνομα αὐτῆς Ἐλισάβετ[4]. ἦσαν δὲ
[f]δίκαιοι ἀμφότεροι ἐνώπιον[5] τοῦ Θεοῦ πορευόμενοι ἐν
πάσαις ταῖς ἐντολαῖς καὶ δικαιώμασι τοῦ Κυρίου
7 [g]ἄμεμπτοι. καὶ οὐκ ἦν αὐτοῖς τέκνον, καθότι [h]ἡ Ἐλι-
σάβετ[4] ἦν[6] στεῖρα, καὶ [i]ἀμφότεροι προβεβηκότες ἐν
8 ταῖς ἡμέραις αὐτῶν ἦσαν. Ἐγένετο δὲ ἐν τῷ ἱερα-
τεύειν αὐτὸν [k]ἐν τῇ τάξει τῆς ἐφημερίας αὐτοῦ ἔναντι[7]
9 τοῦ Θεοῦ, κατὰ τὸ ἔθος τῆς ἱερατείας, [l]ἔλαχε τοῦ θυ-
10 μιάσαι[8] [m]εἰσελθὼν εἰς [n]τὸν ναὸν τοῦ Κυρίου· καὶ πᾶν
τὸ πλῆθος τοῦ λαοῦ ἦν[9] [o]προσευχόμενον [p]ἔξω τῇ ὥρᾳ
11 τοῦ θυμιάματος. ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου,
ἑστὼς ἐκ δεξιῶν [q]τοῦ θυσιαστηρίου τοῦ θυμιάματος·
12 καὶ [r]ἐταράχθη Ζαχαρίας ἰδών, καὶ [r]φόβος ἐπέπεσεν
13 ἐπ᾽ αὐτόν. Εἶπε δὲ πρὸς αὐτὸν ὁ ἄγγελος, "Μὴ
φοβοῦ, Ζαχαρία· διότι εἰσηκούσθη ἡ δέησίς σου, καὶ
ἡ γυνή σου Ἐλισάβετ[4] γεννήσει υἱόν σοι, καὶ [s]καλέ-
14 σεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην[10]. καὶ ἔσται χαρά σοι
καὶ ἀγαλλίασις, καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει[11] αὐτοῦ
15 χαρήσονται. ἔσται γὰρ μέγας ἐνώπιον τοῦ[12] Κυρίου·
καὶ [t]οἶνον καὶ σίκερα οὐ μὴ πίῃ, καὶ Πνεύματος
Ἁγίου πλησθήσεται ἔτι [u]ἐκ κοιλίας μητρὸς αὐτοῦ.
16 καὶ πολλοὺς τῶν υἱῶν Ἰσραὴλ [x]ἐπιστρέψει ἐπὶ Κύ-
17 ριον τὸν Θεὸν αὐτῶν· καὶ αὐτὸς προελεύσεται[13] ἐνώπιον
αὐτοῦ [y]ἐν πνεύματι καὶ δυνάμει Ἡλίου[14], [y]ἐπιστρέψαι
καρδίας πατέρων ἐπὶ τέκνα, καὶ ἀπειθεῖς ἐν [z]φρονήσει
δικαίων, ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον."
18 Καὶ εἶπε Ζαχαρίας πρὸς τὸν ἄγγελον, [a]"Κατὰ τί
γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή

[1] Ἡρῴδου WH. [2] —τοῦ TTrWHR. [3] γυνὴ αὐτῷ L (*non marg.*) TTrWHR. [4] Ἐλεισάβετ WH. [5] ἐναντίον TTrWHR. [6] ἦν (+ ἡ T[TrWH]) Ἐλισάβετ LTTrWH. [7] ἐναντίον Tr *marg.* [8] θυμιᾶσαι LTTrWH. [9] ἦν τοῦ λαοῦ LTTrWH. [10] Ἰωάνην Tr WH. [11] γενέσει LTTrWHR. [12] —τοῦ T[Tr]WH (*non marg.*). [13] προσελεύσεται WH *marg.* R *marg.* [14] Ἡλίου SE, Ἡλεία TTr *marg.*, Ἠλεία WH.

[a] Act. 23. 26; 24. 3; 26. 25.
[b] Act. 1. 1.
[c] Act. 18. 25. Rom. 2. 18. 1 Cor. 14. 19. Gal. 6. 6.
[d] Matt. 2. 1.
[e] 1 Chr. 24. 10, 19.
[f] Gen. 7. 1. cap. 2. 25.
[g] Phil. 2. 15; 3. 6. 1 Thess. 2. 10; 3. 13; 5. 23.
[h] ver. 36. Cf. Judic. 13. 2. 1 Sam. 1. 2.
[i] Cf. Gen. 18. 11.
[k] 1 Chr. 24. 19. 2 Chr. 8. 14; 31. 2.
[l] Ex. 30. 7, 8. 1 Sam. 2. 28. 1 Chr. 23. 13. 2 Chr. 29. 11.
[m] Ex. 30. 1—6.
[n] Vid. Matt. 23. 35.
[o] Ps. 141. 2. Cf. Rev. 5. 8; 8. 3, 4.
[p] Lev. 16. 17.
[q] Ex. 30. 6; 40. 26, 27.
[r] Cf. Judic. 6. 22; 13. 22. Dan. 10. 8, 17. ver. 29. cap. 2. 9. Act. 10. 4. Rev. 1. 17.
[s] ver. 60, 63.
[t] Num. 6. 3. Judic. 13. 4. Matt. 11. 18. cap. 7. 33.
[u] Jer. 1. 5. Gal. 1. 15.
[x] Vid. Matt. 17. 11.
[y] Mal. 3. 1. Vid. Matt. 11. 14.
[z] Eph. 1. 8.
[a] Cf. Gen. 17. 17.

μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς." Καὶ ἀπο- 19
κριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῷ, "Ἐγώ εἰμι [a] Γαβριὴλ [b] ὁ
παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ· καὶ ἀπεστάλην λαλῆ-
σαι πρός σε, καὶ εὐαγγελίσασθαί σοι ταῦτα. καὶ ἰδού, 20
[c] ἔσῃ σιωπῶν καὶ μὴ δυνάμενος λαλῆσαι, ἄχρι ἧς ἡμέ-
ρας γένηται ταῦτα· ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς
λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν
αὐτῶν." Καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζαχαρίαν· 21
καὶ ἐθαύμαζον ἐν τῷ χρονίζειν **αὐτὸν ἐν τῷ ναῷ**[1].
ἐξελθὼν δὲ οὐκ **ἠδύνατο**[2] λαλῆσαι αὐτοῖς· καὶ ἐπέ- 22
γνωσαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ ναῷ· [d] καὶ αὐτὸς
ἦν διανεύων αὐτοῖς, καὶ διέμενε κωφός. καὶ ἐγένετο 23
[e] ὡς ἐπλήσθησαν αἱ ἡμέραι τῆς [f] λειτουργίας αὐτοῦ,
ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. Μετὰ δὲ ταύτας τὰς 24
ἡμέρας συνέλαβεν **Ἐλισάβετ**[3] ἡ γυνὴ αὐτοῦ, καὶ
περιέκρυβεν ἑαυτὴν [g] μῆνας πέντε, λέγουσα, "[q] Ὅτι 25
οὕτω μοι πεποίηκεν **ὁ**[4] Κύριος ἐν ἡμέραις, αἷς ἐπεῖδεν
[h] ἀφελεῖν **τὸ**[5] ὄνειδός μου ἐν ἀνθρώποις."

ἘΝ δὲ [g] τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος 26
[a] Γαβριὴλ **ὑπὸ**[6] τοῦ Θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας, ᾗ
ὄνομα [i] **Ναζαρέτ**[7], πρὸς [k] παρθένον **μεμνηστευμένην**[8] 27
ἀνδρί, ᾧ ὄνομα Ἰωσήφ, [l] ἐξ οἴκου **Δαβίδ**[9]· καὶ τὸ
ὄνομα τῆς παρθένου Μαριάμ. καὶ εἰσελθὼν **ὁ ἄγγε- 28
λος**[10] πρὸς αὐτὴν εἶπε, "Χαῖρε, [m] κεχαριτωμένη· [n] ὁ
Κύριος μετὰ σοῦ, **εὐλογημένη σὺ ἐν γυναιξίν**[11]." Ἡ δὲ 29
ἰδοῦσα[12] [o] **διεταράχθη ἐπὶ τῷ λόγῳ αὐτοῦ**[13], καὶ διελογί-
ζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος. Καὶ εἶπεν ὁ 30
ἄγγελος **αὐτῇ**[14], "Μὴ φοβοῦ, Μαριάμ· [p] εὗρες γὰρ
χάριν παρὰ τῷ Θεῷ. καὶ ἰδού, [q] **συλλήψῃ**[15] ἐν γαστρί, 31
καὶ τέξῃ υἱόν, καὶ [r] καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν.
οὗτος ἔσται μέγας, καὶ υἱὸς [s] ὑψίστου κληθήσεται· 32
καὶ [t] δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον **Δαβίδ**[9]

[a] ver. 26. Dan. 8. 16; 9. 21.
[b] Rev. 8. 2.
[c] Cf. Ezek. 3. 26; 24. 27.
[d] ver. 62.
[e] 2 Reg. 11. 5. 1 Chr. 9. 25.
[f] Phil. 2. 17. Act. 13. 2. Heb. 8. 6; 9. 21; 10. 11.
[g] ver. 24.
[h] Gen. 30. 23. Esa. 4. 1. Cf. 1 Sam. 1. 6.
[i] Vid. Matt. 2. 23.
[k] Matt. 1. 18.
[l] Matt. 1. 16, 20. cap. 2. 4.
[m] Eph. 1. 6. Cf. Ps. 45. 2.
[n] Judic. 6. 12.
[o] Vid. ver. 12.
[p] Act. 7. 46. Heb. 4. 16.
[q] Esa. 7. 14.
[r] Cf. Matt. 1. 21, 25. cap. 2. 21.
[s] ver. 35, 76. cap. 6. 35. Act. 7. 48. Vid. Marc. 5. 7.
[t] 2 Sam. 7. 11—13, 16. Ps. 89. 4; 132. 11. Esa. 9. 6, 7; 16. 5. Jer. 23. 5. ver. 69. Act. 2. 30.

[1] ἐν τῷ ναῷ αὐτὸν Tr *marg.* WH. [2] ἐδύνατο LTTrWH. [3] Ἐλεισάβετ WH. [4] —ὁ LTTrWH (*non marg.*). [5] —τὸ TTrWH. [6] ἀπὸ TTrWHR. [7] Ναζαρέθ ELTTr *marg.* [8] ἐμνηστευμένην LTTrWH. [9] Δαυείδ LTTrWH. [10] [ὁ ἄγγελος] Tr. —ὁ ἄγγελος WHR, ὁ ἄγγελος *post* αὐτὴν *ponit* T. [11] —εὐλογημένη σὺ ἐν γυναιξίν T[Tr]Tr *marg.* WH (*non marg.*)R (*non marg.*). [12] —ἰδοῦσα TTrWHR. [13] ἐπὶ τῷ λόγῳ διεταράχθη TTrWHR. [14] πρὸς αὐτὴν L *marg.* [15] συλλήμψῃ LTTrWH.

33 τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον
Ἰακὼβ [a] εἰς τοὺς αἰῶνας, [a] καὶ τῆς βασιλείας αὐτοῦ οὐκ
34 ἔσται τέλος." Εἶπε δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον,
35 "Πῶς ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω;" Καὶ
ἀποκριθεὶς ὁ ἄγγελος εἶπεν αὐτῇ, [b] "Πνεῦμα Ἅγιον
ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις [c] ὑψίστου ἐπισκιάσει
σοι· διὸ καὶ τὸ γεννώμενον [1] ἅγιον κληθήσεται [d] υἱὸς
36 Θεοῦ. καὶ ἰδού, **Ἐλισάβετ** [2] ἡ **συγγενής** [3] σου, καὶ
αὐτὴ **συνειληφυῖα** [4] υἱὸν ἐν **γήρᾳ** [5] αὐτῆς· καὶ οὗτος
37 μὴν ἕκτος ἐστὶν αὐτῇ [e] τῇ καλουμένῃ στείρᾳ· ὅτι οὐκ
38 [f] ἀδυνατήσει παρὰ **τῷ Θεῷ** [6] πᾶν ῥῆμα." Εἶπε δὲ
Μαριάμ, "Ἰδού, ἡ δούλη Κυρίου· γένοιτό μοι κατὰ
τὸ ῥῆμά σου." Καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ ἄγγελος.

39 Ἀναστᾶσα δὲ **Μαριὰμ** [7] ἐν ταῖς ἡμέραις ταύταις
ἐπορεύθη [g] εἰς τὴν **ὀρεινὴν** [8] μετὰ σπουδῆς, εἰς πόλιν
40 Ἰούδα, καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ
41 ἠσπάσατο τὴν **Ἐλισάβετ** [2]. καὶ ἐγένετο ὡς ἤκουσεν ἡ
Ἐλισάβετ [2] **τὸν ἀσπασμὸν τῆς Μαρίας** [9], ἐσκίρτησε τὸ
βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ [h] ἐπλήσθη Πνεύματος
42 Ἁγίου ἡ **Ἐλισάβετ** [2], καὶ ἀνεφώνησε **φωνῇ** [10] μεγάλῃ,
καὶ εἶπεν, [i] "Εὐλογημένη σὺ ἐν γυναιξί, καὶ εὐλογη-
43 μένος ὁ καρπὸς τῆς κοιλίας σου. καὶ πόθεν μοι
τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου μου **πρός με** [11];
44 ἰδοὺ γάρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς
τὰ ὦτά μου, ἐσκίρτησεν ἐν ἀγαλλιάσει τὸ βρέφος
45 ἐν τῇ κοιλίᾳ μου. καὶ [k] μακαρία ἡ πιστεύσασα, [12] ὅτι [l]
ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυ-
ρίου."

46 Καὶ εἶπε Μαριάμ, [mn] "Μεγαλύνει [o] ἡ ψυχή μου τὸν
47 Κύριον, καὶ [p] ἠγαλλίασε [o] τὸ πνεῦμά μου ἐπὶ [q] τῷ Θεῷ
48 [p] τῷ σωτῆρί μου· ὅτι [r] ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν
τῆς δούλης αὐτοῦ. ἰδοὺ γάρ, ἀπὸ τοῦ νῦν [ks] μακαριοῦσί
49 με πᾶσαι αἱ γενεαί· ὅτι [t] ἐποίησέ μοι **μεγαλεῖα** [13] ὁ

[a] Dan. 2. 44; 7. 14, 18, 27.
[b] Matt. 1. 18, 20.
[c] Vid. ver. 32.
[d] Vid. Matt. 14. 33. Cf. Marc. 1. 24.
[e] Vid. ver. 7.
[f] Vid. Matt. 19. 26.
[g] ver. 65. Josh. 20. 7; 21. 11.
[h] ver. 67.
[i] Cf. Judic. 5. 24.
[k] Joan. 20. 29. Cf. ver. 20, 48.
[l] Act. 27. 25.
[m] ver. 46—53, 1 Sam. 2. 1—10.
[n] Ps. 34. 2, 3.
[o] 1 Thess. 5. 23.
[p] Ps. 35. 9. Hab. 3. 18.
[q] 1 Tim. 1. 1; 2. 3. Tit. 1. 3; 2. 10; 3. 4. Jud. 25.
[r] 1 Sam. 1. 11. Ps. 138. 6.
[s] Ps. 72. 17. Mal. 3. 12.
[t] Ps. 71. 19; 126. 2.

[1] + ἐκ σοῦ [L]R *marg.* [2] Ἐλεισάβετ WH. [3] συγγενίς LTWHR. [4] συνείληφεν Tr (*non marg.*) WHR. [5] γήρει LTTrWH. [6] τοῦ θεοῦ L *marg.* TTrWHR. [7] Μαρία L *marg.* [8] ὀρινὴν WH. [9] τὸν ἀσπασμὸν τῆς Μαρίας ἡ Ἐλισάβετ LTTrWH. [10] κραυγῇ TTr (*non marg.*) WHR. [11] πρὸς ἐμέ TWH. [12] — , WH.R *marg.* [13] μεγάλα LTTrWHR.

δυνατός, καὶ [a] ἅγιον τὸ ὄνομα αὐτοῦ· καὶ [b] τὸ[1] ἔλεος 50
αὐτοῦ εἰς γενεὰς **γενεῶν**[2] τοῖς φοβουμένοις αὐτόν.
[c] ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ· [d] διεσκόρπισεν 51
ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν. [e] καθεῖλε [f] δυνά- 52
στας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινούς. [g] πεινῶντας 53
ἐνέπλησεν ἀγαθῶν, καὶ πλουτοῦντας [h] ἐξαπέστειλε κε-
νούς. ἀντελάβετο [i] Ἰσραὴλ παιδὸς αὐτοῦ, [k] μνησθῆναι 54
ἐλέους, [l] καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, 55
τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ εἰς τὸν αἰῶνα."
Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ **ὡσεὶ**[3] μῆνας τρεῖς· καὶ 56
ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

Τῇ δὲ **Ἐλισάβετ**[4] ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν 57
αὐτήν, καὶ ἐγέννησεν υἱόν· καὶ ἤκουσαν οἱ περίοικοι 58
καὶ οἱ συγγενεῖς αὐτῆς, [m] ὅτι ἐμεγάλυνε Κύριος τὸ
ἔλεος αὐτοῦ μετ' αὐτῆς, καὶ συνέχαιρον αὐτῇ. Καὶ 59
ἐγένετο [n] ἐν τῇ **ὀγδόῃ ἡμέρᾳ**[5], **ἦλθον**[6] περιτεμεῖν τὸ
παιδίον· καὶ ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ πα-
τρὸς αὐτοῦ Ζαχαρίαν. καὶ ἀποκριθεῖσα ἡ μήτηρ 60
αὐτοῦ εἶπεν, "Οὐχί, [o] ἀλλὰ κληθήσεται **Ἰωάννης**[7]."
Καὶ **εἶπον**[8] πρὸς αὐτήν, "Ὅτι οὐδείς ἐστιν **ἐν τῇ** 61
συγγενείᾳ[9] σου, ὃς καλεῖται τῷ ὀνόματι τούτῳ."
[p] Ἐνένευον δὲ τῷ πατρὶ αὐτοῦ, τὸ τί ἂν θέλοι κα- 62
λεῖσθαι **αὐτόν**[10]. καὶ αἰτήσας **πινακίδιον*** ἔγραψε, λέ- 63
γων, [o] "**Ἰωάννης**[7] ἐστὶ **τὸ**[11] ὄνομα αὐτοῦ." καὶ ἐθαύ-
μασαν πάντες. [q] Ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παρα- 64
χρῆμα [r] καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει [s] εὐλογῶν τὸν
Θεόν. Καὶ [t] ἐγένετο ἐπὶ πάντας φόβος τοὺς περιοι- 65
κοῦντας αὐτούς· καὶ ἐν ὅλῃ [u] τῇ **ὀρεινῇ**[12] τῆς Ἰουδαίας
διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα· καὶ ἔθεντο 66
πάντες οἱ **ἀκούσαντες**[13] ἐν τῇ καρδίᾳ αὐτῶν, λέγοντες,
"Τί ἄρα τὸ παιδίον τοῦτο ἔσται;" Καὶ[14] [x] χεὶρ Κυρίου
ἦν μετ' αὐτοῦ. Καὶ Ζαχαρίας ὁ πατὴρ αὐτοῦ [y] ἐπλή- 67
σθη Πνεύματος Ἁγίου, καὶ [z] **προεφήτευσε**[15], λέγων,

[a] Ps. 99. 3; 111. 9. Esa. 57. 15.
[b] Ps. 103. 17.
[c] Ps. 98. 1; 118. 15.
[d] Cf. Ps. 33. 10.
[e] Ps. 75. 7; 113. 7. Cf. Job 5. 11. Ezek. 21. 26.
[f] Act. 8. 27.
[g] Ps. 34. 10.
[h] Job 22. 9.
[i] Esa. 41. 8; 44. 21; 49. 3.
[k] Ps. 98. 3.
[l] Gen. 17. 19. Ps. 132. 11. Gal. 3. 16.
[m] Gen. 19. 19.
[n] Gen. 17. 12. Lev. 12. 3. cap. 2. 21. Phil. 3. 5.
[o] ver. 13, 63.
[p] ver. 22.
[q] ver. 20.
[r] Cf. Ex. 20. 18. Deut. 4. 12. Job 4. 10. 1 Tim. 4. 8.
[s] cap. 2. 28; 24. 53 (var. lect.).
[t] cap. 7. 16. Act. 2. 43.
[u] ver. 39.
[x] Act. 11. 21.
[y] ver. 41.
[z] Joel 2. 28.

[1] —τὸ B. [2] καὶ γενεὰς TTrWHR. [3] ὡς LTTrWHR. [4] Ἐλεισάβετ WH. [5] ἡμέρᾳ τῇ ὀγδόῃ LTTrWH. [6] ἦλθαν WH. [7] Ἰωάνης TrWH. [8] εἶπαν TTrWH. [9] ἐκ τῆς συγγενείας LTTrWHR. [10] αὐτό LTTrWH. [11] —τὸ TrWH. [12] ὀρινῇ WH. [13] ἀκούοντες Tr *marg.* [14] + γὰρ LTTrWHR. [15] ἐπροφήτευσεν LTTrWH. * πινακίδα Tr *marg.*

68 [a]"Εὐλογητὸς Κύριος [a b]ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι [c]ἐπε-
69 σκέψατο καὶ ἐποίησε [d]λύτρωσιν τῷ λαῷ αὐτοῦ· καὶ
[e]ἤγειρε κέρας σωτηρίας ἡμῖν, [f]ἐν τῷ[1] οἴκῳ **Δαβὶδ**[2]
70 **τοῦ**[3] παιδὸς αὐτοῦ· ([g]καθὼς ἐλάλησε διὰ στόματος
71 [h]τῶν ἁγίων [h i]**τῶν**[4] ἀπ' αἰῶνος προφητῶν αὐτοῦ·) σωτη-
ρίαν ἐξ ἐχθρῶν ἡμῶν, καὶ ἐκ χειρὸς πάντων τῶν
72 μισούντων ἡμᾶς· [k]ποιῆσαι ἔλεος μετὰ τῶν πατέρων
73 ἡμῶν, καὶ [l]μνησθῆναι διαθήκης ἁγίας αὐτοῦ, [m]ὅρκον
74 ὃν ὤμοσε πρὸς Ἀβραὰμ τὸν πατέρα ἡμῶν, τοῦ δοῦ-
ναι ἡμῖν, ἀφόβως, ἐκ χειρὸς **τῶν**[5] ἐχθρῶν **ἡμῶν**[6]
75 ῥυσθέντας, λατρεύειν αὐτῷ [n]ἐν ὁσιότητι καὶ δικαιο-
σύνῃ ἐνώπιον αὐτοῦ **πάσας τὰς ἡμέρας**[7] **τῆς ζωῆς**[8]
76 ἡμῶν. Καὶ σύ[9], παιδίον, προφήτης [o]ὑψίστου κλη-
θήσῃ· [p]προπορεύσῃ γὰρ **πρὸ προσώπου**[10] Κυρίου, [q]ἑτοι-
77 μάσαι ὁδοὺς αὐτοῦ· τοῦ δοῦναι γνῶσιν σωτηρίας τῷ
78 λαῷ αὐτοῦ ἐν ἀφέσει ἁμαρτιῶν **αὐτῶν**[11], [r]διὰ σπλάγχνα
ἐλέους Θεοῦ ἡμῶν, ἐν οἷς **ἐπεσκέψατο**[12] ἡμᾶς [s]ἀνατολὴ
79 ἐξ ὕψους, [t]ἐπιφᾶναι [u]τοῖς ἐν σκότει καὶ [t]σκιᾷ θανάτου
καθημένοις· τοῦ [x]κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς
80 [y]ὁδὸν [z]εἰρήνης." [a]Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραται-
οῦτο πνεύματι· καὶ [b]ἦν ἐν ταῖς ἐρήμοις, ἕως ἡμέρας
ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.

Α'. **2** ἘΓΕΝΕΤΟ δὲ ἐν ταῖς ἡμέραις ἐκείναις, ἐξῆλθε
δόγμα παρὰ Καίσαρος Αὐγούστου, ἀπογράφεσθαι
2 [c]πᾶσαν τὴν οἰκουμένην· αὕτη ἡ[13] ἀπογραφὴ **πρώτη**
3 **ἐγένετο**[14] [d]ἡγεμονεύοντος τῆς Συρίας **Κυρηνίου**[15]. καὶ
ἐπορεύοντο πάντες ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν
4 **ἰδίαν**[16] πόλιν. [e]Ἀνέβη δὲ καὶ Ἰωσὴφ [f]ἀπὸ τῆς Γαλι-
λαίας, ἐκ πόλεως **Ναζαρέτ**[17], εἰς τὴν Ἰουδαίαν, [g]εἰς
πόλιν **Δαβὶδ**[18], ἥτις καλεῖται Βηθλεέμ, [h]διὰ τὸ εἶναι
5 αὐτὸν ἐξ οἴκου καὶ [i]πατριᾶς **Δαβὶδ**[18], **ἀπογράψασθαι**[19]
σὺν Μαριὰμ [k]**τῇ μεμνηστευμένῃ**[20] αὐτῷ **γυναικί**[21], οὔσῃ

[1] –τῷ LTTrWH. [2] Δαυεὶδ LTTrWH. [3] –τοῦ LTTrWH. [4] –τῶν TTrWHR. [5] –τῶν LTTrWH. [6] –ἡμῶν TTr[LTr *marg.*]WH. [7] πάσαις ταῖς ἡμέραις L *marg.* Tr *marg.* WH (*non marg.*). [8] –τῆς ζωῆς LTTrWHR. [9] + δὲ TTrWHR. [10] ἐνώπιον WH. [11] ἡμῶν Tr *marg.* [12] ἐπισκέψεται Tr *marg.* WHR (*non marg.*). [13] –ἡ LTTrWHR. [14] ἐγένετο πρώτη T. [15] Κυρίνου L, Κυρείνου Tr *marg.* WH *marg.* [16] ἑαυτοῦ LTTr (*non marg.*) WHR. [17] Ναζαρὰθ L, Ναζαρὲθ ETTr *marg.* [18] Δαυεὶδ LTTrWH. [19] ἀπογράφεσθαι L. [20] ἐμνηστευμένῃ LTTrWH. [21] –γυναικί LTTrWHR.

[a] 1 Reg. 1. 48. Ps. 41. 13; 72. 18; 106. 48.
[b] Vid. Matt. 15. 31.
[c] cap. 7. 16.
[d] cap. 2. 38. Heb. 9. 12.
[e] 1 Sam. 2. 1. Ps. 132. 17. Ezek. 29. 21.
[f] Vid. ver. 32.
[g] Rom. 1. 2.
[h] Act. 3. 21.
[i] Joan. 9. 32. Act. 15. 18.
[k] Mic. 7. 20.
[l] Ps. 105. 8, 9; 106. 45.
[m] Gen. 22. 16—18.
[n] Eph. 4. 24. 1 Thess. 2. 10.
[o] ver. 32.
[p] ver. 17. Vid. Matt. 11. 10.
[q] Matt. 3. 3.
[r] Cf. Col. 3. 12.
[s] Mal. 4. 2. Eph. 5. 14. 2 Pet. 1. 19.
[t] Esa. 9. 2.
[u] Esa. 42. 7.
[x] 1 Thess. 3. 11.
[y] Rom. 3. 17.
[z] Vid. cap. 2. 14.
[a] cap. 2. 40.
[b] Matt. 3. 1; 11. 7.
[c] cap. 4. 5. Vid. Matt. 24. 14.
[d] cap. 3. 1.
[e] ver. 42. cap. 18. 31; 19. 28. Joan. 11. 55.
[f] cap. 1. 26.
[g] Joan. 7. 42. Cf. 1 Sam. 16. 1, 4.
[h] cap. 1. 27.
[i] Act. 3. 25. Eph. 3. 15.
[k] Matt. 2. 1.

[1]ἐγκύῳ. Ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ, ἐπλή- 6 β̄
σθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν· καὶ ἔτεκε τὸν 7 ε
υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ [a]ἐσπαργάνωσεν αὐτόν,
καὶ ἀνέκλινεν αὐτὸν [a]ἐν τῇ[2] φάτνῃ· διότι οὐκ ἦν
αὐτοῖς τόπος ἐν τῷ [b]καταλύματι.
Καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυ- 8 Β'.
λοῦντες καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ γ̄
τὴν ποίμνην αὐτῶν. καὶ **ἰδού**[3], ἄγγελος Κυρίου [c]ἐπέστη 9 ι
αὐτοῖς, καὶ [d]δόξα Κυρίου περιέλαμψεν αὐτούς· [e]καὶ
ἐφοβήθησαν φόβον μέγαν. καὶ εἶπεν αὐτοῖς ὁ ἄγγε- 10
λος, "Μὴ φοβεῖσθε· ἰδοὺ γάρ, εὐαγγελίζομαι ὑμῖν
χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ· [f]ὅτι ἐτέχθη 11
ὑμῖν σήμερον [g]σωτήρ, ὅς ἐστι Χριστὸς Κύριος, ἐν
πόλει **Δαβὶδ**[4]. καὶ τοῦτο ὑμῖν **τὸ**[5] σημεῖον· εὑρήσετε 12
βρέφος ἐσπαργανωμένον, [6]**κείμενον**[7] [a]ἐν **τῇ**[8] φάτνῃ."
Καὶ **ἐξαίφνης**[9] ἐγένετο σὺν τῷ ἀγγέλῳ πλῆθος στρα- 13
τιᾶς **οὐρανίου**[10], αἰνούντων τὸν Θεόν, καὶ λεγόντων,
"Δόξα [h]ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς [i]εἰρήνη· [k]ἐν ἀν- 14
θρώποις **εὐδοκία**[11]." Καὶ ἐγένετο, ὡς ἀπῆλθον ἀπ' 15
αὐτῶν εἰς τὸν οὐρανὸν οἱ ἄγγελοι, **καὶ οἱ ἄνθρωποι**[12]
οἱ ποιμένες **εἶπον**[13] πρὸς ἀλλήλους, "Διέλθωμεν δὴ
ἕως Βηθλεέμ, καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονός,
ὃ ὁ Κύριος ἐγνώρισεν ἡμῖν." Καὶ **ἦλθον**[14] σπεύ- 16
σαντες, καὶ **ἀνεῦρον**[15] τήν τε Μαριὰμ καὶ τὸν Ἰωσήφ,
καὶ τὸ βρέφος κείμενον [a]ἐν τῇ φάτνῃ. ἰδόντες δὲ 17
διεγνώρισαν[16] περὶ τοῦ ῥήματος τοῦ λαληθέντος αὐ-
τοῖς περὶ τοῦ παιδίου τούτου. καὶ πάντες οἱ ἀκού- 18
σαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν
ποιμένων πρὸς αὐτούς. [l]ἡ δὲ **Μαριὰμ**[17] πάντα συνε- 19
τήρει τὰ ῥήματα ταῦτα, [18]**συμβάλλουσα** ἐν τῇ καρδίᾳ
αὐτῆς. καὶ **ἐπέστρεψαν**[19] οἱ ποιμένες, [m]δοξάζοντες καὶ 20
αἰνοῦντες τὸν Θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ **εἶδον**[20],
καθὼς ἐλαλήθη πρὸς αὐτούς.

[a] ver. 12, 16.
[b] Vid. Marc. 14. 14.
[c] cap. 24. 4. Cf. Act. 12. 7.
[d] cap. 9. 31.
[e] Vid. cap. 1. 12.
[f] Esa. 9. 6.
[g] Joan. 4. 42 (var. lect.). Cf. Matt. 1. 21.
[h] Matt. 21. 9.
[i] cap. 1. 79. Ps. 185. 10. Esa. 57. 19. Agg. 2. 9. Act. 10. 36. Rom. 5. 1. Eph. 2. 14, 17. Col. 1. 20.
[k] (var. lect.) Cf. cap. 3. 22. Eph. 1. 9. Phil. 2. 13.
[l] ver. 51. Cf. Ps. 119. 11.
[m] Vid. Matt. 9. 8.

[1] ἐν- WH. [2] —τῇ LTTrWHR. [3] —ἰδού T[Tr]WHR. [4] Δαυείδ LTTrWH. [5] [τὸ] Tr *marg.*, —τὸ WH (*non marg.*). [6] + καὶ [L]TrWHR. [7] —κείμενον T. [8] —τῇ LTTrWHR. [9] ἐξέφνης WH. [10] οὐρανοῦ Tr (*non marg.*) WH *marg.* [11] εὐδοκίας LTTr (*non marg.*) WH (*non marg.*) R (*non marg.*): *omnes, puncto post* εἰρήνη *sublato.* [12] —καὶ οἱ ἄνθρωποι T[LTr] WHR. [13] ἐλάλουν L *marg.* TWH. [14] ἦλθαν TTrWH. [15] ἀνεῦραν TTrWH. [16] ἐγνώρισαν LTTrWHR. [17] Μαρία LTTrWH (*non marg.*). [18] συν- TWH. [19] ὑπέστρεψαν LTTrWHR. [20] ἴδον T.

21 ΚΑΙ ὅτε ἐπλήσθησαν [a] ἡμέραι ὀκτὼ τοῦ περιτε-
μεῖν τὸ παιδίον[1], καὶ [b] ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς,
[b] τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ συλληφθῆναι[2]
αὐτὸν ἐν τῇ κοιλίᾳ.
22 ΚΑΙ ὅτε ἐπλήσθησαν [c] αἱ ἡμέραι τοῦ καθαρισμοῦ
αὐτῶν[3], κατὰ τὸν νόμον Μωσέως[4], ἀνήγαγον αὐτὸν
23 εἰς Ἱεροσόλυμα[5], παραστῆσαι τῷ Κυρίῳ, καθὼς
γέγραπται ἐν[6] νόμῳ Κυρίου, [d] 'Ὅτι πᾶν ἄρσεν διανοῖ-
24 γον μήτραν ἅγιον τῷ Κυρίῳ κληθήσεται·' καὶ τοῦ
δοῦναι θυσίαν, κατὰ τὸ εἰρημένον ἐν[7] νόμῳ Κυρίου,
[e] 'Ζεῦγος τρυγόνων ἢ δύο νεοσσοὺς[8] περιστερῶν.'
Γ'. 25 Καὶ ἰδού, ἦν ἄνθρωπος[9] ἐν Ἱερουσαλήμ[10], ᾧ ὄνομα
Συμεών[11], καὶ ὁ ἄνθρωπος οὗτος [f] δίκαιος καὶ [g] εὐλαβής,
[h] προσδεχόμενος [i] παράκλησιν τοῦ Ἰσραήλ, καὶ Πνεῦμα
26 Ἅγιον ἦν[12] ἐπ' αὐτόν· καὶ ἦν αὐτῷ [k] κεχρηματισμένον
ὑπὸ τοῦ Πνεύματος τοῦ Ἁγίου, [l] μὴ ἰδεῖν θάνατον
27 πρὶν ἢ[13] ἴδῃ τὸν Χριστὸν Κυρίου. Καὶ ἦλθεν ἐν τῷ
Πνεύματι εἰς τὸ ἱερόν· καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς
γονεῖς τὸ παιδίον Ἰησοῦν, [c] τοῦ ποιῆσαι αὐτοὺς κατὰ
28 τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ, καὶ αὐτὸς ἐδέ-
ξατο αὐτὸ εἰς τὰς ἀγκάλας αὐτοῦ[14], καὶ [m] εὐλόγησε
29 τὸν Θεόν, καὶ εἶπε, "Νῦν [n] ἀπολύεις τὸν δοῦλόν σου,
30 [o] δέσποτα, [p] κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ· ὅτι [q] εἶδον οἱ
31 ὀφθαλμοί μου [q] [r] τὸ σωτήριόν σου, [s] ὃ ἡτοίμασας κατὰ
32 πρόσωπον πάντων τῶν λαῶν· φῶς [t] εἰς ἀποκάλυψιν
33 ἐθνῶν, καὶ δόξαν [u] λαοῦ σου Ἰσραήλ." Καὶ ἦν[15]
Ἰωσὴφ[16] καὶ ἡ μήτηρ αὐτοῦ[17] θαυμάζοντες ἐπὶ τοῖς
34 λαλουμένοις περὶ αὐτοῦ. καὶ εὐλόγησεν αὐτοὺς Συ-
μεών, καὶ εἶπε πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ,
"Ἰδού, οὗτος [x] κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολ-
λῶν ἐν τῷ Ἰσραήλ, καὶ εἰς σημεῖον [y] ἀντιλεγόμενον·
35 (καὶ σοῦ δὲ[18] αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία·)

[a] Vid. cap. 1. 59.
[b] cap. 1. 31.
[c] Lev. 12. 2—6. ver. 27. Cf. Gal. 4. 4.
[d] Ex. 12. 2.
[e] Lev. 12. 8.
[f] cap. 1. 6.
[g] Act. 2. 5; 8. 2.
[h] ver. 38. Marc. 15. 43.
[i] Esa. 40. 1. cap. 6. 24. Phil. 2. 1. 2 Thess. 2. 16.
[k] Heb. 8. 5; 11. 7. Vid. Matt. 2. 12.
[l] Vid. Joan. 8. 52.
[m] Vid. cap. 1. 64.
[n] Matt. 15. 23.
[o] Act. 4. 24.
[p] ver. 26.
[q] Esa. 52. 10.
[r] cap. 3. 6. Act. 28. 28.
[s] Ps. 98. 2.
[t] Esa. 42. 6; 49. 6. Act. 13. 47; 26. 23.
[u] ver. 10.
[x] Phil. 1. 17. 1 Thess. 3. 3.
[y] Act. 28. 22.

[1] *αὐτόν* LTTrWHR. [2] *συλλημφθῆναι* LTTrWH. [3] *αὐτῆς* BE.
[4] Μωυσέως LT(-ϋ-)TrWH. [5] Ἰεροσόλυμα WH. [6] +τῷ L.
[7] +τῷ LTTrWH. [8] *νοσσοὺς* TWH. [9] *ἄνθρωπος ἦν* L *marg.*
TTr *marg.* WH. [10] Ἰερουσαλὴμ WH. [11] Σιμεών B. [12] *ἦν*
ἅγιον LTTrWHR. [13] *ἢ ἂν* T, *ἂν* Tr, *ἢ sou ἢ ἂν* Tr *marg.* (*corr.*),
[ἢ] *ἂν* WH. [14] —*αὐτοῦ* T[LTr]WH. [15] +ὁ LTTrWHR.
[16] *πατὴρ αὐτοῦ* TTrWHR. [17] —*αὐτοῦ* TrWH. [18] —*δὲ* [LTr]WH
(*non marg.*).

ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν [a]διαλο-
γισμοί."
Καὶ ἦν **Ἄννα**[1] [b]προφῆτις, θυγάτηρ Φανουήλ, ἐκ 36 Δ'.
φυλῆς [c]Ἀσήρ· αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς,
ζήσασα **ἔτη μετὰ ἀνδρὸς ἑπτὰ**[2] ἀπὸ τῆς παρθενίας
αὐτῆς· καὶ **αὕτη**[3] χήρα **ὡς**[4] ἐτῶν ὀγδοηκοντατεσ- 37
σάρων[5], ἣ οὐκ ἀφίστατο **ἀπὸ**[6] τοῦ ἱεροῦ, [d]νηστείαις
καὶ δεήσεσι [e]λατρεύουσα [f]νύκτα καὶ ἡμέραν· καὶ 38
αὕτη[7] αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα ἀνθωμολογεῖτο τῷ
Κυρίῳ[8], καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς [g]προσδεχο-
μένοις [h]λύτρωσιν **ἐν**[9] **Ἱερουσαλήμ**[10]. Καὶ ὡς ἐτέλεσαν 39
ἅπαντα[11] **τὰ**[12] κατὰ τὸν νόμον Κυρίου, **ὑπέστρεψαν**[13] εἰς
τὴν Γαλιλαίαν, εἰς **τὴν πόλιν αὐτῶν**[14] [i]**Ναζαρέτ**[15]. [k]Τὸ 40
δὲ παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο **πνεύματι**[16], πλη-
ρούμενον **σοφίας**[17]· καὶ [l]χάρις Θεοῦ ἦν ἐπ' αὐτό.
ΚΑΙ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ [m]κατ' ἔτος εἰς 41
Ἱερουσαλήμ[10] [n]τῇ ἑορτῇ τοῦ πάσχα. καὶ ὅτε ἐγένετο 42
ἐτῶν δώδεκα, [o]**ἀναβάντων**[18] αὐτῶν **εἰς Ἱεροσόλυμα**[19]
κατὰ τὸ ἔθος τῆς ἑορτῆς, καὶ τελειωσάντων [p]τὰς ἡμέ- 43
ρας, ἐν τῷ ὑποστρέφειν αὐτούς, ὑπέμεινεν Ἰησοῦς ὁ
παῖς ἐν **Ἱερουσαλήμ**[10]· καὶ οὐκ **ἔγνω Ἰωσὴφ καὶ ἡ
μήτηρ**[20] αὐτοῦ. νομίσαντες δὲ αὐτὸν **ἐν τῇ συνοδίᾳ** 44
εἶναι[21], ἦλθον ἡμέρας ὁδόν, καὶ ἀνεζήτουν αὐτὸν ἐν
τοῖς **συγγενέσι**[22] καὶ **ἐν**[23] τοῖς [q]γνωστοῖς· καὶ μὴ εὑ- 45
ρόντες **αὐτόν**[24], ὑπέστρεψαν εἰς **Ἱερουσαλήμ**[10], **ζητοῦν-
τες**[25] αὐτόν. Καὶ ἐγένετο **μεθ'**[26] ἡμέρας τρεῖς, εὗρον 46
αὐτὸν ἐν τῷ ἱερῷ, [r]καθεζόμενον ἐν μέσῳ τῶν [s]διδασκά-
λων, καὶ ἀκούοντα αὐτῶν, καὶ ἐπερωτῶντα αὐτούς.
[t]ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ, ἐπὶ τῇ [u]συν- 47 δ̅
έσει καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ. Καὶ ἰδόντες 48 β/ε
αὐτόν, ἐξεπλάγησαν· καὶ **πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ** ι

[a] cap. 5. 22; 6. 8; 9. 46, 47; 24. 38.
[b] 1 Cor. 11. 5. Cf. Act. 21. 9.
[c] Josh. 19. 24.
[d] Matt. 6. 16—18. cap. 5. 33. Act. 13. 2; 14. 23. 2 Cor. 6. 5; 11. 27.
[e] Phil. 3. 3.
[f] Marc. 4. 27.
[g] Vid. cap. 1. 68.
[h] Cf. ver. 25.
[i] ver. 51. cap. 4. 16. Vid. Matt. 2. 23.
[k] cap. 1. 80.
[l] ver. 52.
[m] Cf. 1 Sam. 1. 3.
[n] Ex. 23. 15. Deut. 16. 1—6. Joan. 2. 13, 23.
[o] Vid. ver. 4.
[p] Ex. 12. 15.
[q] cap. 23. 49.
[r] Vid. Matt. 26. 55.
[s] Joan. 3. 10. Cf. cap. 5. 17.
[t] cap. 8. 56. Act. 2. 7, 12.
[u] Vid. Marc. 12. 33.

[1] Ἄννα WH. [2] μετὰ ἀνδρὸς ἔτη ἑπτὰ LTTrWH, *at* ἔτη ἑπτὰ μετὰ ἀνδρὸς Tr *marg.* [3] αὐτὴ TTrWHR. [4] ἕως LTTrWHR. [5] ὀγδοήκοντα τεσσάρων BELTTrWH. [6] —ἀπὸ TTrWH. [7] —αὕτη LTTrWHR. [8] θεῷ L (*non marg.*) TTrWHR. [9] —ἐν LTTrWHR. [10] Ἰερουσαλήμ WH. [11] πάντα TTrWHR. [12] —τὰ T. [13] ἐπέστρεψαν TTr *marg.* WH. [14] πόλιν ἑαυτῶν LTTrWH. [15] Ναζαρέθ ETTr (*non marg.*). [16] —πνεύματι LTTrWHR. [17] σοφίᾳ L *marg.* Tr (*non marg.*) WH. [18] ἀναβαινόντων LTTrWHR. [19] —εἰς Ἱεροσόλυμα T[Tr]Tr *marg.* WHR. [20] ἔγνωσαν οἱ γονεῖς L (*non marg.*) TTrWHR. [21] εἶναι ἐν τῇ συνοδίᾳ LTTrWH. [22] συγγενεῦσιν WH. [23] —ἐν LTTrWHR. [24] —αὐτόν TTr[L]WHR. [25] ἀναζητοῦντες L (*non marg.*) TTrWHR. [26] μετὰ TTrWH.

εἶπε[1], "Τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; ἰδού, [a]ὁ
49 πατήρ σου **κἀγὼ**[2] ὀδυνώμενοι **ἐζητοῦμέν**[3] σε." Καὶ
εἶπε πρὸς αὐτούς, "Τί ὅτι ἐζητεῖτέ με; οὐκ ᾔδειτε
50 ὅτι ἐν τοῖς [a][b]τοῦ πατρός μου δεῖ εἶναί με;" Καὶ
51 [c]αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα ὃ ἐλάλησεν αὐτοῖς. Καὶ
κατέβη μετ' αὐτῶν, καὶ ἦλθεν εἰς [d]**Ναζαρέτ**[4]· καὶ ἦν
ὑποτασσόμενος αὐτοῖς. καὶ [e]ἡ μήτηρ αὐτοῦ διετήρει
52 **πάντα τὰ ῥήματα ταῦτα**[5] ἐν τῇ καρδίᾳ αὐτῆς. καὶ
Ἰησοῦς προέκοπτε[6] **σοφίᾳ καὶ** [f]**ἡλικίᾳ**[7], καὶ [g]χάριτι
παρὰ Θεῷ καὶ ἀνθρώποις.

Ε'. 3 ἘΝ ἔτει δὲ πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβε-
ς/γ ρίου Καίσαρος, [h]**ἡγεμονεύοντος**[8] [i]Ποντίου **Πιλάτου**[9] τῆς
Ἰουδαίας, καὶ **τετραρχοῦντος**[10] τῆς Γαλιλαίας [k]**Ἡρώ-
δου**[11], [l]Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ **τετραρχοῦντος**[10]
τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσα-
2 νίου τῆς **Ἀβιληνῆς**[12] **τετραρχοῦντος**[10], **ἐπ' ἀρχιερέων**[13]
Ἄννα[14] καὶ [m]**Καϊάφα**[15], [n]ἐγένετο ῥῆμα Θεοῦ ἐπὶ [o]Ἰω-
ζ/α 3 **άννην**[16] τὸν **τοῦ**[17] Ζαχαρίου υἱὸν ἐν τῇ ἐρήμῳ· καὶ ἦλθεν
εἰς πᾶσαν **τὴν**[18] περίχωρον τοῦ Ἰορδάνου, κηρύσσων
4 βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν· ὡς γέ-
γραπται ἐν βίβλῳ λόγων **Ἡσαΐου**[19] τοῦ προφήτου,
λέγοντος[20], [p]'Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, Ἑτοιμάσατε
τὴν ὁδὸν Κυρίου· εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ.
5 πᾶσα φάραγξ πληρωθήσεται, [p]καὶ πᾶν ὄρος καὶ βου-
νὸς ταπεινωθήσεται· καὶ ἔσται τὰ σκολιὰ εἰς **εὐθεῖαν**[21],
6 καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας. [p]καὶ ὄψεται [q]πᾶσα
η/ε 7 σὰρξ [r]τὸ σωτήριον τοῦ Θεοῦ.' Ἔλεγεν οὖν τοῖς ἐκ-
πορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐτοῦ, "Γεν-
νήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς
8 μελλούσης ὀργῆς; ποιήσατε οὖν **καρποὺς ἀξίους**[22]
τῆς μετανοίας· καὶ μὴ [s]ἄρξησθε λέγειν ἐν ἑαυτοῖς,
Πατέρα ἔχομεν τὸν Ἀβραάμ· λέγω γὰρ ὑμῖν, ὅτι
δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα

[a] Cf. ver. 49.
[b] Joan. 2. 16.
[c] Vid. Marc. 9. 32.
[d] ver. 39.
[e] ver. 19.
[f] Matt. 6. 27. cap. 19. 3. Eph. 4. 13.
[g] ver. 40.
[h] cap. 2. 2.
[i] Vid. Matt. 27. 2.
[k] ver. 19. cap. 9. 7. Vid. Matt. 14. 1.
[l] Matt. 11. 3 (var. lect.).
[m] Marc. 6. 17.
[n] Vid. Matt. 26. 3.
[n] ver. 2—17, Matt. 3. 1—12. Marc. 1. 3—8.
[o] cap. 1. 13.
[p] Esa. 40. 3, 4, 5.
[q] Act. 2. 17.
[r] Vid. cap. 2. 30.
[s] cap. 5. 21; 13. 25, 26; 14. 9.

[1] εἶπεν πρὸς αὐτὸν ἡ μήτηρ αὐτοῦ LTTrWH. [2] καὶ ἐγὼ WH. [3] ζητοῦμέν WH. [4] Ναζαρέθ ETTr (*non marg.*). [5] τὰ ῥήματα πάντα [ταῦτα] L, *at* —ταῦτα *tantum* T[Tr *marg.*]WHR. [6] + ἐν τῇ T, + τῇ WH. [7] ἡλικίᾳ καὶ σοφίᾳ Tr (*non marg.*). [8] ἐπιτροπεύοντος WH *marg.* [9] Πειλάτου TWH. [10] τετρααρχοῦντος TWH. [11] Ἡρῴδου WH. [12] Ἀβειληνῆς WH. [13] ἐπὶ ἀρχιερέως LTTrWHR. [14] Ἅννα WH. [15] Καΐφα L, Καιάφα WH. [16] Ἰωάνην TrWH. [17] —τοῦ LTTrWH. [18] —τὴν LTrWH. [19] Ἠσαΐου L, Ἠσαίου WH. [20] —λέγοντος LTTrWHR. [21] εὐθείας LTTrWHR. [22] ἀξίους καρποὺς Tr *marg.* WH *marg.*

τῷ Ἀβραάμ. ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν 9
δένδρων κεῖται· πᾶν οὖν δένδρον μὴ ποιοῦν καρπὸν
καλὸν[1] ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται."

Καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι, λέγοντες, [a]"Τί οὖν 10 ς'.
ποιήσομεν[2];" Ἀποκριθεὶς δὲ **λέγει**[3] αὐτοῖς, [b]"Ὁ ἔχων 11 θ/ι
δύο χιτῶνας μεταδότω τῷ μὴ ἔχοντι· καὶ ὁ ἔχων
βρώματα ὁμοίως ποιείτω." [c]Ἦλθον δὲ καὶ τελῶναι 12
βαπτισθῆναι, καὶ **εἶπον**[4] πρὸς αὐτόν, "Διδάσκαλε,
[a]τί **ποιήσομεν**[5];" Ὁ δὲ εἶπε πρὸς αὐτούς, [d]"Μηδὲν 13
πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν πράσσετε." Ἐπ- 14
ηρώτων δὲ αὐτὸν καὶ στρατευόμενοι, λέγοντες, [a]"**Καὶ
ἡμεῖς τί ποιήσομεν**[6];" Καὶ **εἶπε πρὸς αὐτούς**[7], "Μη-
δένα διασείσητε, **μηδὲ**[8] συκοφαντήσητε· καὶ ἀρκεῖσθε
τοῖς [e]ὀψωνίοις ὑμῶν."

Προσδοκῶντος δὲ τοῦ λαοῦ, καὶ διαλογιζομένων 15
πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ **Ἰωάννου**[9],
[f]μήποτε αὐτὸς εἴη ὁ Χριστός, ἀπεκρίνατο **ὁ Ἰωάννης**[10] 16 ι/α
ἅπασι λέγων[11], [g]"Ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς[12]·
ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς
λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ· αὐτὸς
ὑμᾶς βαπτίσει ἐν Πνεύματι Ἁγίῳ καὶ πυρί· οὗ τὸ 17 ια/ε
πτύον ἐν τῇ χειρὶ αὐτοῦ, **καὶ διακαθαριεῖ**[13] τὴν ἅλωνα
αὐτοῦ· καὶ **συνάξει**[14] τὸν σῖτον εἰς τὴν ἀποθήκην
αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ."
[h]Πολλὰ μὲν οὖν καὶ ἕτερα παρακαλῶν εὐηγγελίζετο 18
τὸν λαόν. Ὁ δὲ [i]Ἡρώδης[15] **ὁ τετράρχης**[16], [k]ἐλεγχόμενος 19 ιβ/β
ὑπ' αὐτοῦ περὶ Ἡρωδιάδος[17] τῆς γυναικὸς **Φιλίππου**[18]
τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ περὶ πάντων ὧν ἐποίησε
πονηρῶν ὁ Ἡρώδης[15], προσέθηκε **καὶ**[19] τοῦτο ἐπὶ πᾶσι, 20
καὶ[20] [l]κατέκλεισε τὸν **Ἰωάννην**[21] ἐν **τῇ**[22] φυλακῇ.

[m]Ἐγένετο δὲ ἐν τῷ βαπτισθῆναι ἅπαντα τὸν λαόν, 21 ιγ/α
καὶ Ἰησοῦ βαπτισθέντος καὶ [n]προσευχομένου, ἀνεῳ-

[a] ver. 12, 14. Act. 2. 37; 16. 30; 22. 10.
[b] Esa. 58. 7. Eph. 4. 28. Jac. 2. 15, 16.
[c] cap. 7. 29. Cf. Matt. 21. 32.
[d] Cf. cap. 19. 8.
[e] 1 Cor. 9. 7. 2 Cor. 11. 8.
[f] Joan. 1. 19, 20.
[g] ver. 16, 17, Matt. 3. 11, 12. Marc. 1. 7, 8.
[h] Cf. Joan. 20. 30; 21. 25.
[i] ver. 1.
[k] Matt. 14. 3, 4. Marc. 6. 17.
[l] Cf. Joan. 3. 24. Vid. Matt. 4. 12.
[m] ver. 21, 22, Matt. 3. 13—17. Marc. 1. 9—11.
[n] cap. 9. 28, 29.

[1] [καλὸν] LWH. [2] ποιήσωμεν LTTrWHR. [3] ἔλεγεν LTTrWHR. [4] εἶπαν LTTrWH. [5] ποιήσωμεν LTTrWHR. [6] τί ποιήσομεν (ποιήσωμεν TTr *marg.* WHR) καὶ ἡμεῖς L (*non marg.*) TTrWHR. [7] εἶπεν αὐτοῖς LTrWH. [8] μηδένα T. [9] Ἰωάνου TrWH. [10] Ἰωάνης TrWH. [11] λέγων πᾶσιν ὁ Ἰωάννης (Ἰώανης WH) TTr *marg.* WH. [12] + εἰς μετάνοιαν L. [13] διακαθᾶραι L *marg.* TTr *marg.* WHR. [14] συναγαγεῖν TWHR. [15] Ἡρῴδης WH. [16] τετραάρχης TWH. [17] Ἡρῳδιάδος WH. [18] —Φιλίππου LTTrWHR. [19] [καὶ] L. [20] —καὶ T[Tr *marg.*]WHR. [21] Ἰωάνην TrWH. [22] —τῇ LTTrWHR.

22 χθῆναι τὸν οὐρανόν, καὶ καταβῆναι τὸ Πνεῦμα τὸ
Ἅγιον σωματικῷ εἴδει ὡσεὶ[1] περιστερὰν ἐπ' αὐτόν,
καὶ φωνὴν ἐξ οὐρανοῦ γενέσθαι, λέγουσαν[2], [a]"Σὺ εἶ
ιδ 23 ὁ υἱός μου ὁ ἀγαπητός, ἐν σοὶ ηὐδόκησα[3, 4]." Καὶ
γ αὐτὸς ἦν ὁ[5] Ἰησοῦς ὡσεὶ ἐτῶν τριάκοντα [b]ἀρχόμενος[6],
24 ὤν, ὡς ἐνομίζετο, υἱὸς[7] [c]Ἰωσήφ, τοῦ Ἡλί[8], τοῦ
Ματθάτ[9], τοῦ Λευΐ[10], τοῦ Μελχί[11], τοῦ Ἰαννά[12], τοῦ
25 Ἰωσήφ, τοῦ Ματταθίου[13], τοῦ Ἀμώς, τοῦ Ναούμ, τοῦ
26 Ἐσλί[14], τοῦ Ναγγαί, τοῦ Μαάθ, τοῦ Ματταθίου[15], τοῦ
27 Σεμεΐ[16], τοῦ Ἰωσήφ[17], τοῦ Ἰούδα[18], τοῦ Ἰωαννᾶ[19], τοῦ
Ῥησά, τοῦ [d]Ζοροβάβελ, τοῦ [d]Σαλαθιήλ, τοῦ Νηρί[20],
28 τοῦ Μελχί[21], τοῦ Ἀδδί[22], τοῦ Κωσάμ, τοῦ Ἐλμω-
29 δάμ[23], τοῦ Ἤρ[24], τοῦ Ἰωσή[25], τοῦ Ἐλιέζερ, τοῦ
30 Ἰωρείμ, τοῦ Ματθάτ[26], τοῦ Λευΐ[27], τοῦ Συμεών, τοῦ
31 Ἰούδα, τοῦ Ἰωσήφ, τοῦ Ἰωνάν[28], τοῦ Ἐλιακείμ, τοῦ
Μελεᾶ[29], τοῦ Μαϊνάν[30], τοῦ Ματταθά, τοῦ [e]Ναθάν[31],
32 τοῦ Δαβίδ[32], [f]τοῦ Ἰεσσαί, τοῦ Ὠβήδ[33], τοῦ Βοόζ[34],
33 τοῦ Σαλμών[35], τοῦ Ναασσών, τοῦ Ἀμιναδάβ[36], τοῦ
34 Ἀράμ[37], τοῦ Ἐσρώμ[38], τοῦ Φαρές, τοῦ Ἰούδα, τοῦ
Ἰακώβ, τοῦ Ἰσαάκ, [g]τοῦ Ἀβραάμ, τοῦ Θάρα[39], τοῦ
35 Ναχώρ, τοῦ Σαρούχ[40], τοῦ Ῥαγαῦ, τοῦ Φαλέκ[41], τοῦ
36 Ἐβέρ[42], τοῦ Σαλά, τοῦ Καϊνάν[43], τοῦ Ἀρφαξάδ, τοῦ
37 Σήμ, [h]τοῦ Νῶε, τοῦ Λάμεχ, τοῦ Μαθουσάλα, τοῦ
Ἐνώχ[44], τοῦ Ἰαρέδ[45], τοῦ Μαλελεήλ[46], τοῦ Καϊνάν[47],
38 τοῦ Ἐνώς, τοῦ Σήθ, τοῦ Ἀδάμ, τοῦ Θεοῦ.
Ζ'. 4 [i]ἸΗΣΟΥΣ δὲ Πνεύματος Ἁγίου πλήρης[48] ὑπέστρε-
ιε
β

[a] Vid. Marc. 9. 7. Cf. cap. 2. 14.
[b] Matt. 4. 17. Act. 1. 1, 22. Cf. Num. 4. 3.
[c] ver. 23—27, cf. Matt. 1. 16, 15, 14, 13.
[d] Matt. 1. 12.
[e] 2 Sam. 5. 14. 1 Chr. 3. 5; 14. 4. Zech. 12. 12.
[f] ver. 32—34, Matt. 1. 6, 5, 4, 3, 2, 1.
[g] ver. 34—36, Gen. 11. 26—10. 1 Chr. 1. 1, 27—24.
[h] ver. 36—38, Gen. 5. 32, 33. 1 Chr. 1. 4—1.
[i] ver. 1—13, Matt. 4. 1—11. Marc. 1. 12, 13.

1 ὡς LTTrWHR. 2 —λέγουσαν LTTrWHR. 3 εὐδόκησα LTTr WH. 4 Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε WH *marg.* 5 —ὁ TTrWH. 6 ἀρχόμενος ὡσεὶ ἐτῶν τριάκοντα L *marg.* TTrWHR. 7 ὢν υἱός, ὡς ἐνομίζετο LTTrWHR (ὡςἐνομ. R). 8 Ἡλὶ ER, Ἡλεί TTrWH. 9 Μαθθάθ T. 10 Λευεί TTrWH. 11 Μελχεί TTrWH. 12 Ἰανναί LTTrWHR. 13 Μαθθαθίου Tr. 14 Ἐσλεί TTrWH. 15 Ματαθίου Tr *marg.* 16 Σεμοΐν L *marg.*, Σεμεείν TTrWHR. 17 Ἰωσήχ L *marg.* TTrWHR. 18 Ἰωδά TTrWHR. 19 Ἰωανάν LTTrWHR. 20 Νηρεί TTrWH. 21 Μελχεί TTrWH. 22 Ἀδδεί TTrWH. 23 Ἑλμαδάμ L, Ἐλμαδάμ TTrWHR. 24 Ἥρ L. 25 Ἰησοῦ LTTrWHR. 26 Μαθθάθ T, Μαθθάτ TrWH. 27 Λευεί TTrWH. 28 Ἰωνάμ TTrWHR. 29 Μελεά TTrWH. 30 [τοῦ Μεννᾶ] L, τοῦ Μεννά TTrWHR. 31 Ναθάμ L *marg.* TWH. 32 Δαυείδ LTTrWH. 33 Ἰωβήδ LTTr, Ἰωβήλ WH. 34 Βοός LTTrWH. 35 Σαλά TTr *marg.* WH.R *marg.* 36 —τοῦ Ἀμιναδὰβ WHR *marg.* *partim.* 37 Ἀδμείν, τοῦ Ἀρνεί (*loco* Ἀράμ) TWHR *marg.* *partim* (Ἀδάμ *pro* Ἀδμείν WH *marg.*), *at* Ἀρνεί *tantum* Tr *marg.*, R *text.* 38 Ἐσρών BEL (*non marg.*) Tr *marg.*, Ἑσρών WH. 39 Θαρά WH. 40 Σερούχ LTTrWH. 41 Φάλεγ L *marg.*, Φάλεκ L *text.* TrWH. 42 Ἔβερ Tr, Ἔβερ WHR. 43 Καινάμ TTr *marg.* WH. 44 Ἑνώχ WH. 45 Ἰάρεθ L, Ἰάρετ TWH. 46 Μελελεήλ T. 47 Καινάμ TWH. 48 πλήρης Πνεύματος ἁγίου LTTrWH.

ψεν ἀπὸ τοῦ Ἰορδάνου· καὶ ἤγετο [a] ἐν τῷ Πνεύματι
εἰς τὴν ἔρημον[1] ἡμέρας τεσσαράκοντα[2,3] πειραζόμενος 2
ὑπὸ τοῦ διαβόλου. καὶ οὐκ ἔφαγεν οὐδὲν ἐν ταῖς ιϛ
ἡμέραις ἐκείναις· καὶ συντελεσθεισῶν αὐτῶν, ὕστε- ε
ρον[4] ἐπείνασε. καὶ εἶπεν[5] αὐτῷ ὁ διάβολος, "Εἰ υἱὸς 3
εἶ τοῦ Θεοῦ, εἰπὲ τῷ λίθῳ τούτῳ ἵνα γένηται ἄρτος."
Καὶ ἀπεκρίθη Ἰησοῦς πρὸς αὐτόν[6], λέγων[7], "Γέγραπ- 4
ται, [b] 'Ὅτι οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος,
ἀλλ' ἐπὶ παντὶ ῥήματι Θεοῦ[8].'" Καὶ [c] ἀναγαγὼν αὐτὸν 5
ὁ διάβολος[9] εἰς ὄρος ὑψηλὸν[10] ἔδειξεν αὐτῷ πάσας τὰς
βασιλείας [d] τῆς οἰκουμένης ἐν στιγμῇ χρόνου· καὶ 6
εἶπεν αὐτῷ ὁ διάβολος, [e] "Σοὶ δώσω τὴν ἐξουσίαν
ταύτην ἅπασαν καὶ τὴν δόξαν αὐτῶν· ὅτι ἐμοὶ πα-
ραδέδοται, καὶ ᾧ ἐὰν[11] θέλω δίδωμι αὐτήν· σὺ οὖν 7
ἐὰν προσκυνήσῃς ἐνώπιόν μου[12], ἔσται σου πάντα[13]."
Καὶ ἀποκριθεὶς αὐτῷ εἶπεν[14] ὁ Ἰησοῦς, "Ὕπαγε 8
ὀπίσω μου, Σατανᾶ[15]· γέγραπται γάρ[16], [f] 'Προσκυνή-
σεις Κύριον τὸν Θεόν σου[17], καὶ αὐτῷ μόνῳ λατρεύ-
σεις.'" Καὶ ἤγαγεν[18] αὐτὸν εἰς Ἱερουσαλήμ[19], καὶ 9
[g] ἔστησεν αὐτὸν[20] ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, καὶ
εἶπεν αὐτῷ[21], "Εἰ ὁ[22] υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν
ἐντεῦθεν κάτω· γέγραπται γάρ, [h] 'Ὅτι τοῖς ἀγγέλοις 10
αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε·' καὶ 11
'ὅτι ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς
λίθον τὸν πόδα σου.'" Καὶ ἀποκριθεὶς εἶπεν αὐτῷ 12
ὁ Ἰησοῦς[23], "Ὅτι εἴρηται, [i] 'Οὐκ ἐκπειράσεις Κύριον
τὸν Θεόν σου.'" Καὶ συντελέσας πάντα πειρασμὸν 13
ὁ διάβολος ἀπέστη ἀπ' αὐτοῦ [k] ἄχρι καιροῦ.

ΚΑΙ ὑπέστρεψεν ὁ Ἰησοῦς ἐν τῇ δυνάμει τοῦ 14 ιζ
Πνεύματος [l] εἰς τὴν Γαλιλαίαν· [m] καὶ φήμη ἐξῆλθε α

[a] Rev. 1. 10; 4. 2.
[b] Deut. 4. 3.
[c] Matt. 4. 8—10.
[d] Vid. cap. 2. 1.
[e] Rev. 13. 2. Cf. 1 Joan. 5. 19.
[f] Deut. 6. 13.
[g] Matt. 4. 5—7.
[h] Ps. 91. 11, 12.
[i] Deut. 6. 16.
[k] Act. 13. 11.
[l] Vid. Matt. 4. 12.
[m] ver. 37.

[1] ἐν τῇ ἐρήμῳ L (*non marg.*) TTrWHR. [2] τεσσεράκοντα TTrWH. [3] ἡμέρας τεσσαράκοντα, R. [4] —ὕστερον LTTrWHR. [5] εἶπεν δὲ LTTrWHR. [6] πρὸς αὐτὸν ὁ Ἰησοῦς LTTrWH. [7] —λέγων TTrWHR. [8] —ἀλλ' ἐπὶ παντὶ ῥήματι Θεοῦ T[Tr]WHR. [9] —ὁ διάβολος TTrWHR. [10] —εἰς ὄρος ὑψηλὸν TTr[L]WHR. [11] ἂν LTrWH. [12] ἐμοῦ LTTrWHR. [13] πᾶσα LTTrWHR. [14] εἶπεν αὐτῷ LTTr *marg.* WH (*non marg.: post* Ἰησοῦς *ponunt* TWH, *at* [ὁ] *tantum* WH *marg.*). [15] —ὕπαγε ὀπίσω μου, Σατανᾶ TTr[L]WHR. [16] —γάρ LTTrWHR. [17] Κύριον τὸν Θεόν σου προσκυνήσεις L (*non marg.*) TrWHR. [18] ἤγαγεν δὲ TTr (*non marg.*) WHR. [19] Ἰερουσαλήμ WH. [20] —αὐτὸν T[Tr]WH. [21] [αὐτῷ] WH. [22] —ὁ LTTrWHR. [23] ὁ Ἰησοῦς εἶπεν αὐτῷ Tr *marg.*

15 καθ' ὅλης τῆς περιχώρου περὶ αὐτοῦ. καὶ αὐτὸς [a] ἐδί-
δασκεν ἐν ταῖς συναγωγαῖς αὐτῶν, δοξαζόμενος ὑπὸ
ιη 16 πάντων. καὶ ἦλθεν εἰς **τὴν**[1] **Ναζαρέτ**[2], [b] οὗ ἦν τε-
ι **θραμμένος**[3]· καὶ εἰσῆλθε κατὰ τὸ εἰωθὸς αὐτῷ, ἐν τῇ
ἡμέρᾳ τῶν σαββάτων, εἰς τὴν συναγωγήν, καὶ [c] ἀνέστη
17 ἀναγνῶναι. καὶ ἐπεδόθη αὐτῷ βιβλίον **Ἡσαΐου τοῦ
προφήτου**[4]· καὶ [g] **ἀναπτύξας**[5] τὸ βιβλίον, εὗρε **τὸν**[6]
18 τόπον οὗ ἦν γεγραμμένον, [d] 'Πνεῦμα Κυρίου ἐπ' ἐμέ·
οὗ **ἕνεκεν**[7] ἔχρισέ με*[e] **εὐαγγελίζεσθαι**[8] πτωχοῖς, ἀπέ-
σταλκέ με **ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρ-
δίαν**[9]· κηρύξαι[10] αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς
ἀνάβλεψιν· ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει·
19, 20 [f] [d] κηρύξαι[10] ἐνιαυτὸν Κυρίου δεκτόν.' Καὶ [g] πτύξας τὸ
βιβλίον, ἀποδοὺς [h] τῷ ὑπηρέτῃ, ἐκάθισε· καὶ πάντων
ἐν τῇ συναγωγῇ[11] **οἱ ὀφθαλμοὶ ἦσαν**[12] ἀτενίζοντες αὐτῷ.
21 Ἤρξατο δὲ λέγειν πρὸς αὐτούς, "Ὅτι σήμερον πε-
ιθ 22 πλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν." Καὶ
α πάντες ἐμαρτύρουν αὐτῷ, καὶ ἐθαύμαζον ἐπὶ [i] τοῖς
λόγοις τῆς χάριτος, τοῖς ἐκπορευομένοις ἐκ τοῦ στό-
ματος αὐτοῦ, καὶ ἔλεγον, [k] "**Οὐχ**[13] **οὗτός ἐστιν ὁ**[14] **υἱὸς
κ 23 Ἰωσήφ**[15];" Καὶ εἶπε πρὸς αὐτούς, "Πάντως ἐρεῖτέ
ι μοι τὴν παραβολὴν ταύτην, Ἰατρέ, θεράπευσον
σεαυτόν· ὅσα ἠκούσαμεν γενόμενα [l] **ἐν τῇ Καπερ-
ναούμ**[16], ποίησον καὶ ὧδε [b] ἐν τῇ πατρίδι σου."
κα 24 Εἶπε δέ, [m] "Ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδεὶς προφήτης
α κβ 25 [n] δεκτός ἐστιν ἐν τῇ πατρίδι **αὐτοῦ**[17]. ἐπ' ἀληθείας δὲ
ι λέγω ὑμῖν, [18] πολλαὶ χῆραι ἦσαν [o] ἐν ταῖς ἡμέραις
Ἡλίου[19] ἐν τῷ Ἰσραήλ, ὅτε ἐκλείσθη ὁ οὐρανὸς **ἐπὶ**[20]
ἔτη τρία καὶ μῆνας ἕξ, ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ
26 πᾶσαν τὴν γῆν· καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη
Ἡλίας[19], [p] εἰ μὴ εἰς **Σάρεπτα**[21] τῆς **Σιδῶνος**[22] πρὸς γυ-

[a] Vid. Matt. 4. 23.
[b] cap. 2. 39, 51. ver. 23. Matt. 4. 13. Cf. Marc. 6. 1, 2.
[c] Act. 13. 14—16; 17. 2.
[d] Esa. 61. 1, 2.
[e] Cf. Matt. 11. 5; 12. 18.
[f] Lev. 25. 10. Cf. 2 Cor. 6. 2.
[g] ver. 17.
[h] Act. 13. 5.
[i] Ps. 45. 2.
[k] Cf. Matt. 13. 55. Marc. 6. 3. Joan. 6. 42.
[l] ver. 31. Cf. Matt. 13. 54. Marc. 2. 1. Joan. 4. 46—54.
[m] Matt. 13. 57. Marc. 6. 4.
[n] Deut. 33. 24. Act. 10. 35.
[o] 1 Reg. 17. 1; 18. 1. Jac. 5. 17.
[p] 1 Reg. 17. 9.

[1] —τὴν LTTrWH. [2] Ναζαρά TWH, Ναζαρέθ ETr *marg.* [3] ἀνατεθραμμένος TWH *marg.* [4] τοῦ προφήτου Ἡσαΐου (Ἠσ. L, Ἠσαίου WH) L (*non marg.*) TTrWHR. [5] ἀνοίξας LTrWHR. [6] —τὸν T[WH]. [7] εἵνεκεν LTTrWH. [8] εὐαγγελίσασθαι LTTrWHR. [9] —ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν TTr[L]WHR. [10] κηρῦξαι LT. [12] ἦσαν οἱ ὀφθαλμοὶ L, *at* [11] οἱ ὀφθ. ἐν τῇ συν. ἦσαν TTr (*non marg.*) WHR. [13] οὐχὶ LTTrWH. [14] [ὁ] Tr. [15] ὁ (—ὁ TTr *marg.* WH) υἱός ἐστιν Ἰωσὴφ οὗτος L *marg.* TTr *marg.* WH. [16] εἰς τὴν (—τὴν LTr) Καφαρναούμ LTTrWH. [17] ἑαυτοῦ T. [18] +ὅτι T. [19] Ἠλίου *et* Ἠλίας SE, Ἡλείου *et* Ἡλείας T, Ἠλείου *et* Ἠλείας WH. [20] —ἐπὶ LTrWH (*non marg.*). [21] Σάρεφθα Tr *marg.* [22] Σιδωνίας LTTrWHR.

* (με· εὐαγγ. πτωχοῖς ἀπ. με, SBE).

ναῖκα χήραν. καὶ πολλοὶ λεπροὶ ἦσαν [a] ἐπὶ Ἐλισ- 27
σαίου τοῦ προφήτου ἐν τῷ Ἰσραήλ[1]· καὶ οὐδεὶς αὐτῶν
ἐκαθαρίσθη, εἰ μὴ Νεεμὰν[2] ὁ Σύρος." Καὶ ἐπλή- 28
σθησαν πάντες θυμοῦ ἐν τῇ συναγωγῇ, ἀκούοντες
ταῦτα, καὶ ἀναστάντες [b] ἐξέβαλον αὐτὸν ἔξω τῆς 29
πόλεως, καὶ ἤγαγον αὐτὸν ἕως τῆς[3] ὀφρύος τοῦ
ὄρους, ἐφ' οὗ ἡ πόλις αὐτῶν ᾠκοδόμητο[4], εἰς τὸ[5]
κατακρημνίσαι αὐτόν· αὐτὸς δὲ [c] διελθὼν διὰ μέσου 30
αὐτῶν ἐπορεύετο.

[d] ΚΑΙ κατῆλθεν εἰς [e] Καπερναοὺμ[6] πόλιν [f] τῆς Γαλι- 31 κγ
λαίας· καὶ ἦν διδάσκων αὐτοὺς ἐν τοῖς σάββασι. καὶ 32 η/κδ
[g] ἐξεπλήσσοντο ἐπὶ τῇ διδαχῇ αὐτοῦ, ὅτι ἐν [h] ἐξουσίᾳ β
ἦν ὁ λόγος αὐτοῦ. Καὶ ἐν τῇ συναγωγῇ ἦν ἄνθρω- 33 Η'.
πος ἔχων πνεῦμα δαιμονίου ἀκαθάρτου, καὶ ἀνέκραξε κε
φωνῇ μεγάλῃ, λέγων[7], "Ἔα, [i] τί ἡμῖν καὶ σοί, Ἰησοῦ 34 η
Ναζαρηνέ; ἦλθες ἀπολέσαι ἡμᾶς; οἶδά σε τίς εἶ, ὁ
ἅγιος τοῦ Θεοῦ." Καὶ [k] ἐπετίμησεν αὐτῷ ὁ Ἰησοῦς, 35
λέγων, "Φιμώθητι, καὶ ἔξελθε ἐξ[8] αὐτοῦ." Καὶ
ῥίψαν[9] αὐτον τὸ δαιμόνιον εἰς τὸ μέσον ἐξῆλθεν
ἀπ' αὐτοῦ, μηδὲν βλάψαν αὐτόν. καὶ ἐγένετο θάμβος 36
ἐπὶ πάντας, καὶ συνελάλουν πρὸς ἀλλήλους, λέγον-
τες, "Τίς ὁ λόγος οὗτος, ὅτι ἐν [h] ἐξουσίᾳ καὶ δυνάμει
ἐπιτάσσει τοῖς ἀκαθάρτοις πνεύμασι, καὶ ἐξέρχον-
ται;[10]" Καὶ [l] ἐξεπορεύετο ἦχος περὶ αὐτοῦ εἰς πάντα 37
τόπον τῆς περιχώρου.

[m] Ἀναστὰς δὲ ἐκ[11] τῆς συναγωγῆς, εἰσῆλθεν εἰς τὴν 38 Θ'.
οἰκίαν Σίμωνος· ἡ[12] πενθερὰ δὲ τοῦ Σίμωνος ἦν [n] συν- κϛ
εχομένη πυρετῷ μεγάλῳ· καὶ ἠρώτησαν αὐτὸν περὶ β
αὐτῆς. καὶ ἐπιστὰς ἐπάνω αὐτῆς, [o] ἐπετίμησε τῷ πυ- 39
ρετῷ, καὶ ἀφῆκεν αὐτήν· παραχρῆμα δὲ[13] ἀναστᾶσα
διηκόνει αὐτοῖς.

[p] Δύνοντος δὲ τοῦ ἡλίου, πάντες[14] ὅσοι εἶχον ἀσθε- 40 Ι'.

[a] 2 Reg. 5. 1, 14.
[b] Num. 15. 35. Act. 7. 58.
[c] Joan. 8. 59 (var. lect.). Cf. Joan. 10. 39.
[d] ver. 31—37, Marc. 1. 21—28.
[e] Vid. Matt. 11. 23.
[f] Matt. 4. 23.
[g] Vid. Matt. 7. 28, 29.
[h] ver. 36.
[i] Vid. Matt. 8. 29.
[k] ver. 39.
[l] ver. 14.
[m] ver. 38—41, Matt. 8. 14—16. Marc. 1. 29—34.
[n] Matt. 4. 24.
[o] ver. 35, 41. cap. 8. 24. Matt. 8. 26. Marc. 4. 39.
[p] Cf. Marc. 1. 32.

[1] ἐν τῷ Ἰσραὴλ ἐπὶ Ἐλισαίου (Ἐλισαίου TrWH, Ἐλισσαίου R) τοῦ προφήτου LTTrWHR. [2] Ναιμὰν LTTrWH. [3] —τῆς TTrWHR. [4] ᾠκοδόμητο αὐτῶν TTrWH. [5] ὥστε LTTrWHR. [6] Καφαρναοὺμ LTTrWH. [7] —λέγων T[Tr]WHR. [8] ἀπ' LTTr (*non marg.*) WHR. [9] ῥῖψαν LT. [10] οὗτος; ὅτι...ἐξέρχονται. R (*non marg.*). [11] ἀπὸ TTrWHR. [12] —ἡ LTTrWHR. [13] καὶ παραχρῆμα L *marg.* Tr *marg.* [14] ἅπαντες Tr *marg.* WH (*non marg.*).

νοῦντας νόσοις ποικίλαις ἤγαγον αὐτοὺς πρὸς αὐτόν·
ὁ δὲ ἑνὶ ἑκάστῳ αὐτῶν [a]τὰς χεῖρας **ἐπιθεὶς**[1] **ἐθεράπευ-**
κζ 41 **σεν**[2] αὐτούς. **ἐξήρχετο**[3] δὲ καὶ δαιμόνια ἀπὸ πολλῶν,
η [b]**κράζοντα**[4] καὶ λέγοντα, "Ὅτι σὺ εἶ ὁ **Χριστὸς**[5] ὁ
υἱὸς τοῦ Θεοῦ." Καὶ [c]ἐπιτιμῶν [d]οὐκ εἴα αὐτὰ λαλεῖν,
κη 42 ὅτι ᾔδεισαν τὸν Χριστὸν αὐτὸν εἶναι. [e]Γενομένης δὲ
η ἡμέρας ἐξελθὼν ἐπορεύθη εἰς ἔρημον τόπον, καὶ οἱ
ὄχλοι **ἐζήτουν**[6] αὐτόν, καὶ ἦλθον ἕως αὐτοῦ, καὶ [f]κατ-
43 εῖχον αὐτὸν τοῦ μὴ πορεύεσθαι ἀπ' αὐτῶν. ὁ δὲ
εἶπε πρὸς αὐτούς, "Ὅτι καὶ ταῖς ἑτέραις πόλεσιν
εὐαγγελίσασθαί **με δεῖ**[7] τὴν βασιλείαν τοῦ Θεοῦ·
44 ὅτι **εἰς**[8] τοῦτο **ἀπέσταλμαι**[9]." Καὶ ἦν κηρύσσων **ἐν**
ταῖς συναγωγαῖς[10] τῆς **Γαλιλαίας**[11].

κθ 5 ἘΓΕΝΕΤΟ δὲ [g]ἐν τῷ τὸν ὄχλον ἐπικεῖσθαι αὐτῷ
ι **τοῦ**[12] ἀκούειν τὸν λόγον τοῦ Θεοῦ, καὶ αὐτὸς ἦν ἑστὼς
2 παρὰ τὴν λίμνην [h]Γεννησαρέτ· καὶ **εἶδε**[13] **δύο πλοῖα**[14]
ἑστῶτα παρὰ τὴν λίμνην· οἱ δὲ **ἁλιεῖς**[15] **ἀποβάντες ἀπ'**
3 **αὐτῶν**[16] **ἀπέπλυναν**[17] τὰ δίκτυα. ἐμβὰς δὲ εἰς ἓν τῶν
πλοίων, ὃ ἦν **τοῦ**[18] Σίμωνος, ἠρώτησεν αὐτὸν ἀπὸ τῆς
γῆς ἐπαναγαγεῖν ὀλίγον· [i]**καὶ καθίσας**[19] **ἐδίδασκεν ἐκ**
ΙΑ'. 4 **τοῦ πλοίου**[20] τοὺς ὄχλους. Ὡς δὲ ἐπαύσατο λαλῶν,
λ εἶπε πρὸς τὸν Σίμωνα, [k]"Ἐπανάγαγε εἰς τὸ βάθος,
θ 5 καὶ χαλάσατε τὰ δίκτυα ὑμῶν εἰς ἄγραν." Καὶ
ἀποκριθεὶς **ὁ**[21] Σίμων εἶπεν **αὐτῷ**[22], [l]"Ἐπιστάτα, δι'
ὅλης **τῆς**[23] νυκτὸς κοπιάσαντες οὐδὲν ἐλάβομεν· ἐπὶ
6 δὲ τῷ ῥήματί σου χαλάσω **τὸ δίκτυον**[24]." Καὶ τοῦτο
ποιήσαντες, [m]συνέκλεισαν **ἰχθύων πλῆθος**[25] πολύ· **διερ-**
7 **ρήγνυτο**[26] δὲ **τὸ δίκτυον**[24] αὐτῶν, καὶ κατένευσαν [n]τοῖς
μετόχοις **τοῖς**[27] ἐν τῷ ἑτέρῳ πλοίῳ, τοῦ ἐλθόντας
συλλαβέσθαι αὐτοῖς· καὶ **ἦλθον**[28], καὶ ἔπλησαν ἀμ-

[a] Vid. Marc. 5. 23.
[b] Marc. 3. 11 (var. lect.).
[c] ver. 35.
[d] Vid. Matt. 12. 16.
[e] ver. 42—44, Marc. 1. 35—39.
[f] Rom. 1. 18. 2 Thess. 2. 6, 7.
[g] ver. 1—11, cf. Matt. 4. 18—22. Marc. 1. 16—20. Joan. 1. 40, 42. Cf. Matt. 14. 34.
[h] Num. 34. 11. Deut. 3. 17. Josh. 12. 3; 13. 27.
[i] Cf. Matt. 13. 2. Marc. 4. 1.
[k] Cf. Joan. 21. 6.
[l] cap. 8. 24, 45; 9. 33, 49; 17. 13.
[m] Cf. Joan 21. 3.
[n] Job 41. 6.

[1] *ἐπιτιθεὶς* L (*non marg.*) TTr (*non marg.*) WH. [2] *ἐθεράπευεν* TTr (*non marg.*) WH (*non marg.*). [3] ἐξήρχοντο TTr *marg.* WH *marg.* [4] κραυγάζοντα LTTr *marg.* [5] —ὁ Χριστὸς LTTrWHR. [6] *ἐπεζήτουν* LTTrWHR. [7] *δεῖ με* LTr *marg.* WH *marg.* [8] ἐπὶ LTTr (*non marg.*) WHR. [9] *ἀπεστάλην* LTTrWHR. [10] *εἰς τὰς συναγωγὰς* TTr (*non marg.*) WHR. [11] Ἰουδαίας Tr *marg.* WH (*non marg.*) R *marg.* [12] *καὶ* L *marg.* TTr (*non marg.*) WHR. [13] *ἴδεν* T. [14] *πλοιάρια δύο* L *marg.*, *πλοῖα δύο* WH, *δύο πλοιάρια* TTr *marg.* WH *marg.* [15] *ἁλεεῖς* TWH. [16] *ἀπ' αὐτῶν ἀποβάντες* TTrWH, *ἀποβάντες* [*ἀπ' αὐτῶν*] Tr *marg.* [17] *ἔπλυνον* LTrWHR, *ἔπλυναν* TWH *marg.* [18] —τοῦ LTTrWH. [19] *καθίσας δὲ* L *marg.* TTr *marg.* WHR. [20] *ἐν τῷ πλοίῳ ἐδίδασκεν* T, *ἐκ τοῦ πλοίου ἐδ.* WH. [21] —ὁ TTrWH. [22] —αὐτῷ TWHR. [23] —τῆς LTTrWHR. [24] *τὰ δίκτυα* L *marg.* TTr (*non marg.*) WHR. [25] *πλῆθος ἰχθύων* TTrWH. [26] *διερήγνυτο* L, *at* διερρήσσετο (*διερή.* TTrWH) *δὲ τὰ δίκτυα* (*τὸ δίκτυον* Tr *marg.*) L *marg.* TTrWHR. [27] —*τοῖς* TTr[L]WHR. [28] *ἦλθαν* TWH.

φότερα τὰ πλοῖα, ὥστε βυθίζεσθαι αὐτά. ἰδὼν δὲ 8 λα
Σίμων Πέτρος προσέπεσε τοῖς γόνασι τοῦ[1] Ἰησοῦ, ι
λέγων, [a]"Ἔξελθε ἀπ' ἐμοῦ, ὅτι ἀνὴρ ἁμαρτωλός εἰμι,
Κύριε." Θάμβος γὰρ περιέσχεν αὐτὸν καὶ πάντας 9
τοὺς σὺν αὐτῷ, ἐπὶ τῇ ἄγρᾳ τῶν ἰχθύων ᾗ[2] συνέ-
λαβον· ὁμοίως δὲ καὶ Ἰάκωβον καὶ **Ἰωάννην**[3], υἱοὺς 10
Ζεβεδαίου, οἳ ἦσαν κοινωνοὶ τῷ Σίμωνι. Καὶ εἶπε λβ
πρὸς τὸν Σίμωνα ὁ[4] Ἰησοῦς, "Μὴ φοβοῦ· ἀπὸ τοῦ β
νῦν ἀνθρώπους ἔσῃ [b]ζωγρῶν." Καὶ καταγαγόντες τὰ 11
πλοῖα ἐπὶ τὴν γῆν, [c]ἀφέντες **ἅπαντα**[5], ἠκολούθησαν
αὐτῷ.

ΚΑΙ ἐγένετο ἐν τῷ εἶναι αὐτὸν ἐν μιᾷ τῶν πό- 12 ΙΒʹ.
λεων, [d]καὶ ἰδού, ἀνὴρ πλήρης λέπρας· **καὶ ἰδὼν**[6] τὸν λγ
Ἰησοῦν, πεσὼν ἐπὶ πρόσωπον, ἐδεήθη αὐτοῦ, λέγων, β
"Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι." Καὶ 13
ἐκτείνας τὴν χεῖρα, ἥψατο αὐτοῦ, **εἰπών**[7], "Θέλω,
καθαρίσθητι." Καὶ εὐθέως ἡ λέπρα ἀπῆλθεν ἀπ'
αὐτοῦ. καὶ αὐτὸς παρήγγειλεν αὐτῷ μηδενὶ εἰπεῖν· 14
"ἀλλὰ ἀπελθὼν δεῖξον σεαυτὸν τῷ ἱερεῖ, καὶ προσ-
ένεγκε περὶ τοῦ καθαρισμοῦ σου, καθὼς προσέταξε
Μωσῆς[8], **εἰς μαρτύριον αὐτοῖς**[9]." [e]Διήρχετο δὲ μᾶλ- 15 λδ
λον ὁ λόγος περὶ αὐτοῦ· καὶ συνήρχοντο ὄχλοι πολ- α
λοὶ ἀκούειν, καὶ θεραπεύεσθαι **ὑπ' αὐτοῦ**[10] ἀπὸ τῶν
ἀσθενειῶν αὐτῶν· [f]αὐτὸς δὲ ἦν ὑποχωρῶν ἐν ταῖς 16 λε
ἐρήμοις, καὶ προσευχόμενος. β

Καὶ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἦν 17 λϛ
διδάσκων· καὶ ἦσαν καθήμενοι [11]Φαρισαῖοι καὶ [g]νομο- β
διδάσκαλοι, [h]οἳ ἦσαν **ἐληλυθότες**[12] ἐκ πάσης κώμης τῆς
Γαλιλαίας καὶ Ἰουδαίας καὶ **Ἱερουσαλήμ**[13]· καὶ [i]δύνα-
μις Κυρίου ἦν εἰς τὸ ἰᾶσθαι **αὐτούς**[14]. [k]καὶ ἰδού, ἄνδρες 18 ΙΓʹ.
φέροντες ἐπὶ κλίνης ἄνθρωπον ὃς ἦν παραλελυμένος, λζ
καὶ ἐζήτουν αὐτὸν εἰσενεγκεῖν καὶ θεῖναι[15] ἐνώπιον α
αὐτοῦ· καὶ μὴ εὑρόντες **διὰ**[16] ποίας εἰσενέγκωσιν 19

[a] Vid. Matt. 8. 34.
[b] 2 Tim. 2. 26.
[c] cap. 18. 28. Cf. ver. 28.
[d] ver. 12—14, Matt. 8. 2—4. Marc. 1. 40—44.
[e] Cf. Marc. 1. 45.
[f] Marc. 1. 35.
[g] Act. 5. 34. 1 Tim. 1. 7. Cf. cap. 2. 46.
[h] Vid. Marc. 1. 45.
[i] Marc. 5. 30. cap. 6. 19; 8. 46.
[k] ver. 18—26, Matt. 9. 2—8. Marc. 2. 3—12.

[1] *γόνασιν* (—*τοῦ*) LTTrWH. [2] *ὧν* TrWH (*non marg.*) R. [3] Ἰωάνην TrWH. [4] —ὁ [Tr] WH. [5] *πάντα* LTTrWH. [6] ἰδὼν δὲ TTr *marg.* WHR. [7] λέγων LTrWHR. [8] Μωυσῆς LT(-ϋ-)TrWH. [9] *ἵνα εἰς μαρτύριον ᾖ ὑμῖν τοῦτο* WH *marg.* [10] —ὑπ' αὐτοῦ LTTrWHR. [11] +οἱ L. [12] *συνεληλυθότες* L (*non marg.*). [13] Ἰερουσαλήμ WH. [14] *αὐτόν* TTr *marg.* WHR (*non marg.*). [15] +[*αὐτὸν*] WH. [16] —διὰ LTTrWHR.

αὐτὸν διὰ τὸν ὄχλον, ἀναβάντες ἐπὶ [a] τὸ δῶμα, [b] διὰ
τῶν κεράμων καθῆκαν αὐτὸν σὺν τῷ κλινιδίῳ εἰς τὸ
20 μέσον ἔμπροσθεν τοῦ Ἰησοῦ. καὶ ἰδὼν τὴν πίστιν
αὐτῶν, εἶπεν **αὐτῷ**[1], "Ἄνθρωπε, ἀφέωνταί σοι αἱ
21 ἁμαρτίαι σου." Καὶ [c] ἤρξαντο διαλογίζεσθαι οἱ γραμ-
ματεῖς καὶ οἱ Φαρισαῖοι, λέγοντες, "Τίς ἐστιν οὗτος
ὃς λαλεῖ βλασφημίας; τίς δύναται **ἀφιέναι ἁμαρτίας**[2],
22 εἰ μὴ μόνος ὁ Θεός;" Ἐπιγνοὺς δὲ ὁ Ἰησοῦς τοὺς
[d] διαλογισμοὺς αὐτῶν **ἀποκριθεὶς**[3] εἶπε πρὸς αὐτούς,
23 "Τί διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; τί ἐστιν
εὐκοπώτερον, εἰπεῖν, Ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου,
24 ἢ εἰπεῖν, **Ἔγειραι**[4] καὶ περιπάτει; ἵνα δὲ εἰδῆτε ὅτι
ἐξουσίαν ἔχει ὁ υἱὸς τοῦ ἀνθρώπου[5] ἐπὶ τῆς γῆς ἀφιέ-
ναι ἁμαρτίας," εἶπε τῷ **παραλελυμένῳ**[6], "Σοὶ λέγω,
ἔγειραι[4], καὶ ἄρας τὸ κλινίδιόν σου, πορεύου εἰς τὸν
25 οἶκόν σου." Καὶ παραχρῆμα ἀναστὰς ἐνώπιον αὐτῶν,
ἄρας ἐφ' **ᾧ**[7] κατέκειτο, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ,
26 δοξάζων τὸν Θεόν. καὶ ἔκστασις ἔλαβεν ἅπαντας,
καὶ ἐδόξαζον τὸν Θεόν, καὶ [e] ἐπλήσθησαν φόβου, λέ-
γοντες, "Ὅτι **εἴδομεν**[8] παράδοξα σήμερον."
ΙΔ'. 27 Καὶ [f] μετὰ ταῦτα ἐξῆλθε, καὶ **ἐθεάσατο**[9] τελώνην,
λη/β ὀνόματι [g] **Λευὶν**[10], καθήμενον ἐπὶ τὸ τελώνιον, καὶ εἶπεν
28 αὐτῷ, "Ἀκολούθει μοι." Καὶ καταλιπὼν **ἅπαντα**[11],
λθ/β 29 ἀναστὰς **ἠκολούθησεν**[12] αὐτῷ. Καὶ ἐποίησε [h] δοχὴν
μεγάλην **ὁ**[13] **Λευὶς**[14] αὐτῷ ἐν τῇ οἰκίᾳ αὐτοῦ· καὶ ἦν
[i] **ὄχλος τελωνῶν πολύς**[15], καὶ ἄλλων οἳ ἦσαν μετ' **αὐτῶν**[16]
30 κατακείμενοι. καὶ ἐγόγγυζον [k] **οἱ γραμματεῖς αὐτῶν καὶ
οἱ Φαρισαῖοι**[17] πρὸς τοὺς μαθητὰς αὐτοῦ, λέγοντες,
[l] "**Διατί**[18] μετὰ[19] τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίετε καὶ
μ/β 31 πίνετε;" Καὶ ἀποκριθεὶς ὁ[20] Ἰησοῦς εἶπε πρὸς αὐτούς,

[a] 1 Sam. 9. 25, 26. Vid. Matt. 24. 17.
[b] Cf. Marc. 2. 4.
[c] Vid. cap. 3. 8.
[d] Vid. cap. 2. 35.
[e] cap. 7. 16. Cf. ver. 8.
[f] ver. 27—38, Matt. 9. 9—17. Marc. 2. 14—22.
[g] Vid. Matt. 9. 9.
[h] cap. 14. 13.
[i] Cf. cap. 15. 1.
[k] Marc. 2. 16 (var. lect.). Act. 23. 9.
[l] Vid. Matt. 11. 19.

[1] —αὐτῷ LTTrWHR. [2] ἁμαρτίας ἀφεῖναι L (*non marg.*) TTr WH. [3] —ἀποκριθεὶς L[Tr]. [4] Ἔγειρε LTTrWH. [5] ὁ υἱὸς τοῦ ἀνθρώπου ἐξουσίαν ἔχει L *marg.* TTrWH. [6] παραλυτικῷ LWH *marg.* [7] ὃ TTrWH. [8] εἴδαμεν WH. [9] εἶδεν L *marg.* [10] Λευείν TTrWH. [11] πάντα LTTrWHR. [12] ἠκολούθει L (*non marg.*) TTrWHR. [13] —ὁ LTTrWH. [14] Λευεὶς TTrWH. [15] πολὺς τελωνῶν LTTrWH. [16] αὐτοῦ WH *marg.* [17] Φαρισαῖοι καὶ οἱ γραμματεῖς αὐτῶν LTTrWHR, *at* [αὐτῶν] Tr. [18] Διὰ τί LTrWH. [19] +τῶν LTTrWHR. [20] [ὁ] WH.

"Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ'[1] οἱ
[a] Cf. Joan. 9.39, 41. κακῶς ἔχοντες. [a]οὐκ ἐλήλυθα καλέσαι δικαίους, ἀλλὰ 32
ἁμαρτωλοὺς εἰς μετάνοιαν." Οἱ δὲ εἶπον[2] πρὸς αὐτόν, 33
[b] cap. 2. 37. "Διατί[3] οἱ μαθηταὶ Ἰωάννου[4] [b]νηστεύουσι πυκνά, καὶ
[b]δεήσεις ποιοῦνται, ὁμοίως καὶ οἱ τῶν Φαρισαίων· οἱ
δὲ σοὶ ἐσθίουσι καὶ πίνουσιν;[5]" Ὁ δὲ[6] εἶπε πρὸς αὐ- 34
τούς, "Μὴ δύνασθε τοὺς υἱοὺς τοῦ νυμφῶνος, ἐν ᾧ
ὁ νυμφίος μετ' αὐτῶν ἐστί, ποιῆσαι νηστεύειν[7]; ἐλεύ- 35
σονται δὲ ἡμέραι,[8] καὶ[9] ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ
νυμφίος, τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις."
Ἔλεγε δὲ καὶ παραβολὴν πρὸς αὐτούς, "Ὅτι οὐδεὶς 36
ἐπίβλημα [10]ἱματίου καινοῦ [11]ἐπιβάλλει ἐπὶ ἱμάτιον
παλαιόν· εἰ δὲ μήγε, καὶ τὸ καινὸν σχίζει[12], καὶ τῷ
παλαιῷ οὐ συμφωνεῖ[13,14] ἐπίβλημα τὸ ἀπὸ τοῦ καινοῦ.
καὶ οὐδεὶς βάλλει οἶνον νέον εἰς ἀσκοὺς παλαιούς· εἰ 37
δὲ μήγε, ῥήξει[15] ὁ νέος οἶνος[16] τοὺς ἀσκούς, καὶ αὐτὸς
ἐκχυθήσεται, καὶ οἱ ἀσκοὶ ἀπολοῦνται· ἀλλὰ οἶνον 38
νέον εἰς ἀσκοὺς καινοὺς βλητέον, καὶ ἀμφότεροι συν-
τηροῦνται[17]. καὶ[18] οὐδεὶς πιὼν παλαιὸν εὐθέως[19] θέλει 39
νέον· λέγει γάρ, Ὁ παλαιὸς χρηστότερός[20] ἐστιν.[21]"
[c] ver. 1—5, Matt. 12. 1—8. Marc. 2. 23—28. [c]ΕΓΕΝΕΤΟ δὲ ἐν σαββάτῳ δευτεροπρώτῳ[22] διαπο- 6 μα β
ρεύεσθαι αὐτὸν διὰ τῶν[23] σπορίμων· καὶ ἔτιλλον οἱ
μαθηταὶ αὐτοῦ τοὺς στάχυας, καὶ ἤσθιον[24], ψώχοντες
ταῖς χερσί[25]. τινὲς δὲ τῶν Φαρισαίων εἶπον[26] αὐτοῖς[27], 2
"Τί ποιεῖτε ὃ οὐκ ἔξεστι ποιεῖν ἐν[28] τοῖς σάββασι;"
Καὶ ἀποκριθεὶς πρὸς αὐτοὺς εἶπεν ὁ Ἰησοῦς[29], "Οὐδὲ 3
τοῦτο ἀνέγνωτε, ὃ ἐποίησε Δαβίδ[30], ὁπότε[31] ἐπείνασεν
αὐτὸς καὶ οἱ μετ' αὐτοῦ ὄντες[32]; ὡς[33] εἰσῆλθεν εἰς τὸν 4
οἶκον τοῦ Θεοῦ, καὶ τοὺς ἄρτους τῆς προθέσεως
ἔλαβε, καὶ[34] ἔφαγε, καὶ ἔδωκε καὶ[35] τοῖς μετ' αὐτοῦ,

[1] ἀλλὰ LTTrWH. [2] εἶπαν LTTrWH. [3] —Διατί (LTr Διὰ τί) T[Tr]WHR. [4] Ἰωάνου TrWH. [5] πίνουσιν. TWHR. [6] +Ἰησοῦς TTrWHR. [7] νηστεῦσαι TTr (non marg.) WH. [8] ἡμέραι· R. [9] [καὶ] L. [10] +ἀπὸ TTr[L]WHR. [11] +σχίσας TTrWHR. [12] σχίσει L (non marg.) TTr (non marg.) WHR. [13] συμφωνήσει LTTr (non marg.) WHR. [14] +τὸ TTrWHR. [15] ῥήσσει L marg. [16] ὁ οἶνος ὁ νέος LTTrWH. [17] —καὶ ἀμφότεροι συντηροῦνται T[Tr]WHR. [18] —καὶ WH (non marg.). [19] —εὐθέως TTr[Tr marg.]WHR. [20] χρηστός TTr (non marg.) WH.R (non marg.). [21] Uncinis includit ver. 39 WH. [22] —δευτεροπρώτῳ Tr[LTr marg.]WH (non marg.) R (non marg.). [23] —τῶν LTTrWHR. [24] καὶ ἤσθιον τοὺς στάχυας Tr (non marg.) WH. [25] + [ν αὐτῶν] L. [26] εἶπαν WH. [27] —αὐτοῖς TTr[L]WHR. [28] —ποιεῖν ἐν LTrWH, —ἐν TR. [29] ὁ Ἰησοῦς εἶπεν πρὸς αὐτούς LTr marg., ὁ Ἰησ. πρὸς αὐτ. εἶπ. T., at [ὁ] tantum WH. [30] Δαυείδ LTTrWH. [31] ὅτε LTrWHR. [32] —ὄντες LTr[Tr marg.]WH. [33] πῶς L (non marg.), [ὡς] TrWH. [34] λαβὼν LTrWHR. [35] —καὶ LTrWH.

οὓς οὐκ ἔξεστι φαγεῖν εἰ μὴ μόνους τοὺς ἱερεῖς;"
5 Καὶ ἔλεγεν αὐτοῖς, "Ὅτι[1] κύριός ἐστιν ὁ υἱὸς τοῦ
ἀνθρώπου καὶ τοῦ σαββάτου[2]."
ΙΕ'. 6 Ἐγένετο δὲ καὶ[3] ἐν ἑτέρῳ σαββάτῳ [a]εἰσελθεῖν
μβ αὐτὸν εἰς τὴν συναγωγὴν καὶ διδάσκειν· καὶ ἦν ἐκεῖ
β 7 ἄνθρωπος[4], καὶ ἡ χεὶρ αὐτοῦ ἡ δεξιὰ ἦν ξηρά. παρε-
τήρουν[5] δὲ αὐτὸν[6] οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι, εἰ
ἐν τῷ σαββάτῳ θεραπεύσει[7]· ἵνα εὕρωσι κατηγορίαν[8]
8 αὐτοῦ. [b]αὐτὸς δὲ ᾔδει τοὺς [c]διαλογισμοὺς αὐτῶν, καὶ
εἶπε[9] τῷ ἀνθρώπῳ[10] τῷ ξηρὰν ἔχοντι τὴν χεῖρα,
"Ἔγειραι[11], καὶ στῆθι εἰς τὸ μέσον." Ὁ δὲ[12] ἀνα-
9 στὰς ἔστη. Εἶπεν οὖν[13] ὁ[14] Ἰησοῦς πρὸς αὐτούς,
"Ἐπερωτήσω[15] ὑμᾶς, τί[16] ἔξεστι τοῖς σάββασιν[17],
ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι; ψυχὴν σῶσαι ἢ ἀπο-
10 λέσαι;" Καὶ περιβλεψάμενος πάντας αὐτούς, εἶπε τῷ
ἀνθρώπῳ[18], "Ἔκτεινον τὴν χεῖρά σου." Ὁ δὲ ἐποίη-
σεν οὕτω[19]. καὶ ἀποκατεστάθη[20] ἡ χεὶρ αὐτοῦ ὑγιὴς[21]
11 ὡς ἡ ἄλλη[22]. αὐτοὶ δὲ ἐπλήσθησαν [d]ἀνοίας· καὶ διε-
λάλουν πρὸς ἀλλήλους, τί ἂν ποιήσειαν[23] τῷ Ἰησοῦ.
μγ 12 Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταύταις, ἐξῆλθεν[24] [e]εἰς
β τὸ ὄρος προσεύξασθαι· καὶ ἦν διανυκτερεύων ἐν τῇ
Ιϛ'. 13 προσευχῇ τοῦ Θεοῦ. καὶ ὅτε ἐγένετο ἡμέρα, προσε-
μδ φώνησε τοὺς μαθητὰς αὐτοῦ· καὶ [f]ἐκλεξάμενος ἀπ'
β 14 αὐτῶν δώδεκα, οὓς καὶ [g]ἀποστόλους ὠνόμασε, [h]Σίμωνα
ὃν καὶ ὠνόμασε Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν
αὐτοῦ, [25]Ἰάκωβον καὶ Ἰωάννην[26], [25]Φίλιππον καὶ Βαρ-
15 θολομαῖον, [i][25]Ματθαῖον[27] καὶ Θωμᾶν, [28]Ἰάκωβον τὸν
τοῦ[29] Ἀλφαίου[30] καὶ Σίμωνα τὸν καλούμενον Ζηλω-
16 τήν, [25]Ἰούδαν Ἰακώβου, καὶ Ἰούδαν Ἰσκαριώτην[31], ὃς
με 17 καὶ[32] ἐγένετο προδότης· καὶ [k]καταβὰς μετ' αὐτῶν,
α

[a] ver. 6—11, Matt. 12. 9—14. Marc. 3. 1—6.
[b] Vid. Matt. 9. 4.
[c] Vid. cap. 2. 35.
[d] 2 Tim. 3. 9.
[e] Matt. 14. 23. Marc. 1. 35. cap. 5. 16; 9. 28.
[f] Vid. Matt. 10. 1 & Act. 1. 2.
[g] Vid. Marc. 6. 30.
[h] ver. 14—16, Matt. 10. 2—4. Marc. 3. 16—19. Act. 1. 13.
[i] Vid. Matt. 9. 9.
[k] ver. 12.

[1] ὅτι [Tr], —WH. [2] τοῦ σαββάτου ὁ υἱὸς τοῦ ἀνθρώπου WH *text.* (*non marg.*), —καὶ WH (*non marg.*) R. [3] —καὶ LTTrWHR. [4] ἄνθρωπος ἐκεῖ TTrWHR. [5] παρετηροῦντο LTTrWHR. [6] —αὐτὸν LTTr. [7] θεραπεύει LTTrWH (*non marg.*). [8] κατηγορεῖν TTr (*non marg.*) WHR. [9] εἶπεν δὲ L *marg.* TTrWHR. [10] ἀνδρὶ TTrWH. [11] Ἔγειρε LTTrWH. [12] καὶ LTTrWHR. [13] δὲ LTTrWHR. [14] [ὁ] WH. [15] Ἐπερωτῶ TTrWHR. [16] , εἰ LTTrWHR (*at* ὑμᾶς τι· E). [17] τῷ σαββάτῳ L (*non marg.*) TTr WHR. [18] εἶπεν αὐτῷ LTTrWHR. [19] —οὕτω TTrWHR. [20] ἀπεκατεστάθη LTTrWH. [21] —ὑγιὴς LTTrWHR. [22] —ὡς ἡ ἄλλη T[LTr]WHR. [23] ποιήσαιεν LTTrWH. [24] ἐξελθεῖν αὐτὸν TTrWHR. [25] +καὶ LTTr[Tr *marg.*]WHR. [26] Ἰωάνην TrWH. [27] Μαθθαῖον LTTrWH. [28] +καὶ T[WH]R. [29] —τὸν τοῦ TTr WHR. [30] Ἁλφαίου WH. [31] Ἰσκαριώθ LTTrWH. [32] —καὶ LT[Tr]WHR.

[a] ἔστη ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος[1] μαθητῶν αὐτοῦ,
καὶ [b] πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας
καὶ Ἱερουσαλὴμ[2], καὶ τῆς παραλίου [c] Τύρου καὶ Σιδῶ-
νος, οἳ ἦλθον[3] ἀκοῦσαι αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν
νόσων αὐτῶν, [d] καὶ οἱ [e] ὀχλούμενοι[4] ὑπὸ[5] πνευμάτων 18
ἀκαθάρτων, καὶ[6] ἐθεραπεύοντο. καὶ πᾶς ὁ ὄχλος 19
[f] ἐζήτει[7] ἅπτεσθαι αὐτοῦ· ὅτι [g h] δύναμις παρ' αὐτοῦ
[h] ἐξήρχετο, καὶ ἰᾶτο πάντας.

Καὶ αὐτὸς [i] ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς 20 ΙΖʹ. μϛ/ε
μαθητὰς αὐτοῦ ἔλεγε, [k] «Μακάριοι [l] οἱ πτωχοί, ὅτι
ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. μακάριοι οἱ 21 μζ/ε
πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. μακάριοι οἱ κλαί-
οντες νῦν, ὅτι γελάσετε. μακάριοί ἐστε, ὅταν μισή- 22 μη/ε
σωσιν[8] ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν [m] ἀφορίσωσιν μθ/ε
ὑμᾶς, καὶ ὀνειδίσωσι, καὶ [n] ἐκβάλωσι τὸ ὄνομα ὑμῶν
ὡς πονηρόν, ἕνεκα[9] τοῦ υἱοῦ τοῦ ἀνθρώπου. χαίρετε[10] 23
ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ [o] σκιρτήσατε· ἰδοὺ γάρ, ὁ
μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ· κατὰ ταῦτα[11] γὰρ
λείαν τοῦ Θεοῦ εἰσελθεῖν." Εἶπον[14] δὲ οἱ ἀκούσαντες, 26
"Καὶ τίς δύναται σωθῆναι;" Ὁ δὲ εἶπε, "Τὰ ἀδύ- 27
νατα παρὰ ἀνθρώποις δυνατά ἐστι παρὰ τῷ Θεῷ[15]."
Εἶπε δὲ ὁ[16] Πέτρος, "Ἰδού, ἡμεῖς [e]ἀφήκαμεν πάντα, 28
καὶ[17] ἠκολουθήσαμέν σοι." Ὁ δὲ εἶπεν αὐτοῖς, 29 σκα
"Ἀμὴν λέγω ὑμῖν, [f]ὅτι[18] οὐδείς ἐστιν ὃς ἀφῆκεν οἰ- β
κίαν, ἢ γονεῖς, ἢ ἀδελφούς, ἢ γυναῖκα[19], ἢ τέκνα, ἕνεκεν[20]
τῆς βασιλείας τοῦ Θεοῦ, ὃς οὐ[21] μὴ ἀπολάβῃ[22] [g]πολ- 30
λαπλασίονα[23] [g]ἐν τῷ καιρῷ τούτῳ, καὶ ἐν τῷ αἰῶνι τῷ
ἐρχομένῳ ζωὴν αἰώνιον."
[h]ΠΑΡΑΛΑΒΩΝ δὲ τοὺς δώδεκα, εἶπε πρὸς αὐ- 31 σκβ
τούς, "Ἰδού, [i]ἀναβαίνομεν [k]εἰς Ἱεροσόλυμα[24], καὶ τε- β
λεσθήσεται πάντα [l]τὰ γεγραμμένα διὰ τῶν προφητῶν
τῷ υἱῷ τοῦ ἀνθρώπου. [m]παραδοθήσεται γὰρ τοῖς 32

[a] ver. 18—30, Matt. 19. 16—29. Marc. 10. 17—30. Cf. cap. 10. 25—28.
[b] Matt. 9. 18. Joan. 3. 1.
[c] Ex. 20. 12—16. Deut. 5. 16—20.
[d] Tit. 3. 13.
[e] cap. 5. 11.
[f] Cf. Matt. 19. 29, 30.
[g] Marc. 10. 30. Cf. Job 42. 10.
[h] ver. 31—33, Matt. 20. 17—19. Marc. 10. 32—34.
[i] Vid. cap. 2. 4.
[k] Cf. cap. 9. 31; 17. 11.
[l] Ps. 22. Esa. 52. 13—53. 12, &c.
[m] cap. 23. 1. Act. 3. 13.

[1] —ὁ T[WH]. [2] —σου LTrWHR. [3] ἐφύλαξα LTTr (*non marg.*) WH. [4] —μου T[Tr]WH. [5] —ταῦτα LTTrWHR. [6] δὸς L. [7] τοῖς (—τοῖς T, [τοῖς] WH) οὐρανοῖς L (*non marg.*) TTr (*non marg.*) WHR. [8] ἐγενήθη TTrWHR. [9] [ὁ] WH. [10] —περίλυπον γενόμενον T[Tr]WHR. [11] εἰς τὴν βασίλειαν τοῦ θεοῦ εἰσπορεύονται TTr (*non marg.*) WH. [12] τρήματος βελόνης LTTrWHR. [13] διελθεῖν LTr *marg.* [14] εἶπαν TWH. [15] παρὰ (+ τῷ T[Tr]WH) θεῷ ἐστίν LTTrWH, *at* ἐστιν παρὰ θεῷ L *marg.* [16] —ὁ T. [17] ἀφέντες τὰ ἴδια LTTrWHR. [18] —ὅτι T. [19] γυναῖκα ἢ ἀδελφοὺς ἢ γονεῖς TTr *marg.* WHR. [20] εἵνεκεν TWH. [21] οὐχὶ TWH. [22] λάβῃ L (*non marg.*) Tr *marg.* WH (*non marg.*). [23] ἑπταπλασίονα WH *marg.* [24] Ἱερουσαλήμ TTr, Ἰερουσαλήμ WH.

ἔθνεσι, καὶ [a] ἐμπαιχθήσεται, καὶ ὑβρισθήσεται, καὶ
33 ἐμπτυσθήσεται, καὶ μαστιγώσαντες [a b] ἀποκτενοῦσιν
σκγ 34 αὐτόν· καὶ τῇ ἡμέρᾳ τῇ τρίτῃ ἀναστήσεται." [c] Καὶ
ι αὐτοὶ οὐδὲν τούτων συνῆκαν, καὶ [d] ἦν τὸ ῥῆμα τοῦτο
κεκρυμμένον ἀπ' αὐτῶν, καὶ οὐκ ἐγίνωσκον τὰ λεγό-
μενα.
ΞΔ'.35 [e] Ἐγένετο δὲ ἐν τῷ ἐγγίζειν αὐτὸν εἰς Ἱεριχώ[1],
σκδ τυφλός τις ἐκάθητο παρὰ τὴν ὁδὸν προσαιτῶν[2].
β 36 ἀκούσας δὲ ὄχλου διαπορευομένου, ἐπυνθάνετο τί[3]
37 εἴη τοῦτο. ἀπήγγειλαν δὲ αὐτῷ, "Ὅτι Ἰησοῦς [f] ὁ
38 Ναζωραῖος παρέρχεται." Καὶ ἐβόησε, λέγων, "Ἰη-
39 σοῦ, υἱὲ Δαβίδ[4], ἐλέησόν με." Καὶ οἱ προάγοντες[5]
ἐπετίμων αὐτῷ ἵνα σιωπήσῃ[6]· αὐτὸς δὲ πολλῷ μᾶλ-
40 λον ἔκραζεν, "Υἱὲ Δαβίδ[4], ἐλέησόν με." Σταθεὶς
δὲ ὁ[7] Ἰησοῦς ἐκέλευσεν αὐτὸν ἀχθῆναι πρὸς αὐτόν·
41 ἐγγίσαντος δὲ αὐτοῦ ἐπηρώτησεν αὐτόν, λέγων[8],
"Τί σοι θέλεις ποιήσω;" Ὁ δὲ εἶπε, "Κύριε, ἵνα
42 ἀναβλέψω." Καὶ ὁ Ἰησοῦς εἶπεν αὐτῷ, "Ἀνάβλε-
43 ψον· [g] ἡ πίστις σου σέσωκέ σε." Καὶ παραχρῆμα
ἀνέβλεψε, καὶ ἠκολούθει αὐτῷ [h] δοξάζων τὸν Θεόν·
καὶ [i] πᾶς ὁ λαὸς ἰδὼν ἔδωκεν αἶνον τῷ Θεῷ.
ΞΕ'.19 ΚΑΙ [k] εἰσελθὼν διήρχετο τὴν Ἱεριχώ[9]· καὶ ἰδού,
σκε 2 ἀνὴρ ὀνόματι καλούμενος Ζακχαῖος, καὶ αὐτὸς ἦν
ι 3 ἀρχιτελώνης, καὶ οὗτος ἦν[10] πλούσιος· καὶ ἐζήτει ἰδεῖν
τὸν Ἰησοῦν, τίς ἐστι, καὶ οὐκ ἠδύνατο ἀπὸ τοῦ ὄχ-
4 λου, ὅτι [l] τῇ ἡλικίᾳ [m] μικρὸς ἦν. καὶ προδραμὼν[11] ἔμ-
προσθεν ἀνέβη ἐπὶ [n] συκομωραίαν[12], ἵνα ἴδῃ αὐτόν· ὅτι
5 δι'[13] ἐκείνης ἤμελλε διέρχεσθαι. καὶ ὡς ἦλθεν ἐπὶ
τὸν τόπον, ἀναβλέψας ὁ[14] Ἰησοῦς εἶδεν αὐτόν, καὶ[15]
εἶπε πρὸς αὐτόν, "Ζακχαῖε, σπεύσας κατάβηθι· σή-
6 μερον γὰρ ἐν τῷ οἴκῳ σου δεῖ με [o] μεῖναι." Καὶ
7 σπεύσας κατέβη, καὶ [p] ὑπεδέξατο αὐτὸν χαίρων. καὶ
ἰδόντες ἅπαντες[16] [q] διεγόγγυζον, λέγοντες, "Ὅτι παρὰ

[a] Vid. Marc. 10. 34.
[b] Vid. Marc. 8. 31.
[c] Vid. Marc. 9. 32.
[d] cap, 9. 45.
[e] ver. 35—43, Matt. 20. 29—34. Marc. 10. 46—52. Cf. cap. 19. 1.
[f] Vid. Matt. 26. 71.
[g] Vid. cap. 17. 19.
[h] Vid. cap. 13. 13.
[i] cap. 13. 17; 19. 37.
[k] cap. 18. 35. Cf. Matt. 20. 29. Marc. 10. 46.
[l] Vid. cap. 2. 52.
[m] Marc. 15. 40.
[n] 1 Reg. 10. 27. 1 Chr. 27. 28. 2 Chr. 1. 15; 9. 27. Ps. 78. 47. Esa. 9. 10.
[o] Non ut cap. 17. 6. Joan. 1. 38, 40. Act. 15. 16.
[p] Vid. cap. 10. 38.
[q] cap. 15. 2.

[1] Ἱερειχώ T, Ἰερειχὼ WH. [2] ἐπαιτῶν LTTrWH. [3] + ἂν [LTr] WH *marg.* [4] Δαυείδ LTTrWH. [5] παράγοντες L *marg.* [6] σιγήσῃ LTTrWHR. [7] — ὁ [Tr] WH. [8] — λέγων T[Tr]WHR. [9] Ἱερειχώ T, Ἰερειχώ WH. [10] αὐτὸς (+ [ἦν] L) LTrWH *text.* R, ἦν (— οὗτος) TWH *marg.*, [οὗτος] ἦν Tr *marg.* [11] + εἰς τὸ TWHR. [12] συκομορέαν ETTrWH, συκομωρέαν L. [13] — δι' LTTrWHR. [14] [ὁ] WH. [15] — εἶδεν αὐτόν, καὶ TTr[Tr *marg.*]WHR. [16] πάντες LTTrWHR.

ἁμαρτωλῷ ἀνδρὶ εἰσῆλθε [a]καταλῦσαι.” Σταθεὶς δὲ 8
Ζακχαῖος εἶπε πρὸς [b]τὸν Κύριον, “Ἰδού, τὰ ἡμίση[1]
τῶν ὑπαρχόντων μου[2], κύριε, **δίδωμι τοῖς πτωχοῖς**[3]· καὶ
εἴ τινός τι [c]ἐσυκοφάντησα, ἀποδίδωμι [d]τετραπλοῦν.”
Εἶπε δὲ πρὸς αὐτὸν ὁ[4] Ἰησοῦς, “Ὅτι σήμερον σωτη- 9
ρία τῷ οἴκῳ τούτῳ ἐγένετο, καθότι [e]καὶ αὐτὸς υἱὸς
Ἀβραάμ **ἐστιν**[5]. [f]ἦλθε γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου 10 σκς / ε
[g]ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός.”
ἈΚΟΥΟΝΤΩΝ δὲ αὐτῶν ταῦτα, προσθεὶς εἶπε 11 σκζ / ι
παραβολήν, διὰ τὸ ἐγγὺς **αὐτὸν εἶναι Ἱερουσαλήμ**[6],
καὶ [h]δοκεῖν αὐτοὺς ὅτι παραχρῆμα μέλλει ἡ βασιλεία
τοῦ Θεοῦ ἀναφαίνεσθαι· εἶπεν οὖν, [i]“Ἄνθρωπός τις 12 ΞϚʹ / σκη / β
εὐγενὴς ἐπορεύθη εἰς χώραν μακράν, λαβεῖν ἑαυτῷ
βασιλείαν, καὶ ὑποστρέψαι. καλέσας δὲ δέκα δού- 13 ΞΖʹ / σκθ / ε
λους ἑαυτοῦ, ἔδωκεν αὐτοῖς [k]δέκα μνᾶς, καὶ εἶπε πρὸς
αὐτούς, **Πραγματεύσασθε**[7] **ἕως**[8] ἔρχομαι. [l]Οἱ δὲ πο- 14
λῖται αὐτοῦ ἐμίσουν αὐτόν, καὶ ἀπέστειλαν πρεσ-
βείαν ὀπίσω αὐτοῦ, λέγοντες, Οὐ θέλομεν τοῦτον
βασιλεῦσαι ἐφ' ἡμᾶς. Καὶ ἐγένετο ἐν τῷ ἐπανελ- 15
θεῖν αὐτὸν λαβόντα τὴν βασιλείαν, καὶ εἶπε φωνη-
θῆναι αὐτῷ τοὺς δούλους τούτους, οἷς **ἔδωκε**[9] τὸ
ἀργύριον, ἵνα **γνῷ**[10] **τίς τί διεπραγματεύσατο**[11]. παρε- 16
γένετο δὲ ὁ πρῶτος, λέγων, Κύριε, ἡ μνᾶ σου **προσ-
ειργάσατο δέκα**[12] μνᾶς. Καὶ εἶπεν αὐτῷ, **Εὖ**[13], ἀγαθὲ 17
δοῦλε· ὅτι [m]ἐν ἐλαχίστῳ πιστὸς ἐγένου, ἴσθι ἐξουσίαν
ἔχων ἐπάνω δέκα πόλεων. Καὶ ἦλθεν ὁ δεύτερος, 18
λέγων, **Κύριε, ἡ μνᾶ σου**[14] ἐποίησε πέντε μνᾶς. Εἶπε 19
δὲ καὶ τούτῳ, Καὶ σὺ γίνου **ἐπάνω**[15] πέντε πόλεων.
Καὶ[16] ἕτερος ἦλθε, λέγων, Κύριε, ἰδού, ἡ μνᾶ σου, 20
ἣν εἶχον ἀποκειμένην ἐν [n]σουδαρίῳ· ἐφοβούμην γάρ 21
σε, ὅτι ἄνθρωπος αὐστηρὸς εἶ· αἴρεις ὃ οὐκ ἔθηκας,
καὶ θερίζεις ὃ οὐκ ἔσπειρας. Λέγει **δὲ**[17] αὐτῷ, [o]Ἐκ 22

[a] cap. 9. 12.
[b] Vid. cap. 7. 19.
[c] Cf. cap. 3. 10—14.
[d] Ex. 22. 1. 2 Sam. 12. 6.
[e] cap. 3. 8; 13. 16; 16. 24. Cf. Rom. 4. 11, 12, 16. Gal. 3. 7.
[f] Matt. 18. 11 (var. lect.). cap. 9. 56 (var. lect.).
[g] Cf. Ezek. 34. 11. Matt. 15. 24.
[h] Vid. cap. 17. 20.
[i] ver. 12—27, cf. Matt. 25. 14—30.
[k] Matt. 25. 1.
[l] Cf. Joan. 1. 11.
[m] cap. 16. 10.
[n] Joan. 11. 44. Act. 19. 12.
[o] 2 Sam. 1. 16. Job 15. 6.

[1] ἡμίσεα L, ἡμίσειά TTr, ἡμίσιά WH. [2] μου τῶν ὑπαρχόντων TTrWH. [3] τοῖς ([τοῖς] WH) πτωχοῖς δίδωμι TTr (*non marg.*) WH. [4] [ὁ] WH. [5] —ἐστιν T, [ἐστιν] WH. [6] εἶναι αὐτὸν Ἱερουσαλὴμ L, *at* εἶναι Ἱερουσαλὴμ (Ἰερου- WH) αὐτὸν TTrWH. [7] Πραγματεύσασθαι WH (*non marg.*). [8] ἐν ᾧ LTTrWH. [9] δεδώκει L (*non marg.*) TTrWHR. [10] γνοῖ LTTrWH. [11] τί διεπραγματεύσαντο TrWHR. [12] δέκα προσηργάσατο (προσειργ. Tr) LTTrWH. [13] Εὖγε LTTrWH (*non marg.*). [14] Ἡ μνᾶ σου, κύριε TTrWHR. [15] ἐπάνω γίνου TTr *marg.* WH. [16] + ὁ LTTrWHR. [17] —δὲ TTrWHR.

τοῦ στόματός σου κρινῶ[1] σε, πονηρὲ δοῦλε. ᾔδεις
ὅτι ἐγὼ ἄνθρωπος αὐστηρός εἰμι, αἴρων ὃ οὐκ ἔθηκα,
23 καὶ θερίζων ὃ οὐκ ἔσπειρα·[2] καὶ διατί[3] οὐκ ἔδωκας
τὸ ἀργύριόν μου[4] ἐπὶ τὴν[5] τράπεζαν, καὶ ἐγὼ[6] ἐλθὼν
24 σὺν τόκῳ ἂν ἔπραξα αὐτό[7]; Καὶ τοῖς παρεστῶσιν
εἶπεν, Ἄρατε ἀπ' αὐτοῦ τὴν μνᾶν, καὶ δότε τῷ τὰς
25 δέκα μνᾶς ἔχοντι. (Καὶ εἶπον[8] αὐτῷ, Κύριε, ἔχει
σλ 26 δέκα μνᾶς). Λέγω γὰρ[9] ὑμῖν, ὅτι [a]παντὶ τῷ ἔχοντι [a] Vid. Matt. 13. 12.
β δοθήσεται· ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει ἀρ-
σλα 27 θήσεται ἀπ' αὐτοῦ[10]. Πλὴν [b]τοὺς ἐχθρούς μου ἐκεί- [b] ver. 14.
ε νους[11], τοὺς μὴ θελήσαντάς[12] με βασιλεῦσαι ἐπ' αὐ-
τούς, ἀγάγετε ὧδε, καὶ [c]κατασφάξατε[13] ἔμπροσθέν [c] Matt. 22. 7. cap. 20. 16.
σλβ 28 μου." Καὶ εἰπὼν ταῦτα, ἐπορεύετο ἔμπροσθεν, [d]ἀνα- [d] Vid. Marc. 10. 32 & vid. cap. 2. 4.
β βαίνων εἰς Ἱεροσόλυμα[14].
ΞΗ'. 29 ΚΑΙ ἐγένετο [e]ὡς ἤγγισεν εἰς Βηθφαγὴ[15] καὶ Βη- [e] ver. 29—38, Matt. 21. 1—9. Marc. 11. 1—10. Vid. Matt. 21. 17.
θανίαν[16] πρὸς τὸ ὄρος τὸ καλούμενον ἐλαιῶν[17], ἀπέ-
30 στειλε δύο τῶν μαθητῶν αὐτοῦ[18], εἰπών[19], "Ὑπάγετε
εἰς τὴν κατέναντι κώμην· ἐν ᾗ εἰσπορευόμενοι εὑρή-
σετε πῶλον δεδεμένον, ἐφ' ὃν οὐδεὶς πώποτε ἀνθρώ-
31 πων ἐκάθισε·[20] λύσαντες αὐτὸν ἀγάγετε. καὶ ἐάν τις
ὑμᾶς ἐρωτᾷ, Διατί[3] λύετε; οὕτως ἐρεῖτε αὐτῷ[21], Ὅτι
σλγ 32 ὁ Κύριος αὐτοῦ χρείαν ἔχει." Ἀπελθόντες δὲ οἱ
β 33 ἀπεσταλμένοι εὗρον καθὼς εἶπεν αὐτοῖς· λυόντων δὲ
αὐτῶν τὸν πῶλον, εἶπον[22] οἱ κύριοι αὐτοῦ πρὸς αὐ-
34 τούς, "Τί λύετε τὸν πῶλον;" Οἱ δὲ εἶπον[22], [23]"Ὁ
35 Κύριος αὐτοῦ χρείαν ἔχει." Καὶ ἤγαγον αὐτὸν πρὸς
τὸν Ἰησοῦν· [f]καὶ ἐπιρρίψαντες[24] ἑαυτῶν[25] τὰ ἱμάτια [f] ver. 35—38, Joan. 12. 12—15.
36 ἐπὶ τὸν πῶλον, ἐπεβίβασαν τὸν Ἰησοῦν. πορευο-
μένου δὲ αὐτοῦ, ὑπεστρώννυον τὰ ἱμάτια αὐτῶν[26] ἐν
σλδ 37 τῇ ὁδῷ. Ἐγγίζοντος δὲ αὐτοῦ ἤδη πρὸς τῇ κατα-
α βάσει τοῦ ὄρους τῶν ἐλαιῶν, ἤρξαντο[27] [g]ἅπαν τὸ [g] Vid. cap. 18. 43.
πλῆθος τῶν μαθητῶν χαίροντες αἰνεῖν τὸν Θεὸν

[1] κρίνω WH. [2] ; TWH. [3] διὰ τί LTrWH. [4] μου τὸ ἀργύριον LTTrWH. [5] —τὴν LTTrWHR. [6] κἀγὼ LTTrWH. [7] αὐτὸ ἔπραξα LTTrWH. [8] εἶπαν LTTrWH. [9] —γὰρ T[LTr]WHR. [10] —ἀπ' αὐτοῦ T[LTr marg.]WH. [11] τούτους TTr (non marg.) WHR. [12] θέλοντας Tr marg. [13] +αὐτοὺς TTr[Tr marg.] WHR. [14] Ἰεροσόλυμα WH. [15] Βηθφαγῆ L. [16] Βηθανία Tr marg., Βηθανιὰ WH. [17] ἐλαιών LTTr. [18] —αὐτοῦ T[Tr] WHR. [19] λέγων LTrWH. [20] + καὶ TTr[Tr marg.]WH. [21] —αὐτῷ TTr[L]WHR. [22] εἶπαν LTTrWH. [23] +ὅτι LTTr WHR. [24] ἐπιρίψαντες LTTrWH. [25] αὐτῶν LTTrWHR. [26] ἑαυτῶν TrWH. [27] ἤρξατο Tr marg.

φωνῇ μεγάλῃ [a]περὶ πασῶν[1] ὧν εἶδον δυνάμεων, λέ- 38
γοντες, [b]"Εὐλογημένος **ὁ ἐρχόμενος**[2] [c]βασιλεὺς ἐν ὀνό-
ματι Κυρίου· **εἰρήνη ἐν οὐρανῷ**[3], καὶ [d]δόξα ἐν ὑψί-
στοις." [e]Καί τινες τῶν Φαρισαίων ἀπὸ τοῦ ὄχλου 39 σλε
εἶπον[4] πρὸς αὐτόν, "Διδάσκαλε, ἐπιτίμησον τοῖς ε
μαθηταῖς σου." Καὶ ἀποκριθεὶς εἶπεν **αὐτοῖς**[5], "Λέ- 40
γω ὑμῖν, **ὅτι**[6], ἐὰν οὗτοι **σιωπήσωσιν**[7], οἱ [f]λίθοι **κεκρά-
ξονται**[8]." Καὶ ὡς ἤγγισεν, ἰδὼν τὴν πόλιν, [g]ἔκλαυσεν 41 σλϛ
ἐπ' **αὐτῇ**[9], λέγων, "[h]Ὅτι εἰ ἔγνως **καὶ σύ**[10], **καί γε**[11] ἐν 42 ι
τῇ ἡμέρᾳ **σου**[12] ταύτῃ[13], τὰ πρὸς εἰρήνην **σου**[14]· [h]νῦν δὲ
ἐκρύβη ἀπὸ ὀφθαλμῶν σου· ὅτι ἥξουσιν ἡμέραι ἐπὶ 43
σέ, καὶ [i]**περιβαλοῦσιν**[15] οἱ ἐχθροί σου χάρακά σοι, καὶ
[k]περικυκλώσουσί σε, καὶ συνέξουσί σε πάντοθεν, καὶ 44
[l]ἐδαφιοῦσί σε καὶ [m]τὰ τέκνα σου ἐν σοί, καὶ [n]οὐκ ἀφή- σλζ
σουσιν **ἐν σοὶ λίθον ἐπὶ λίθῳ**[16]· ἀνθ' ὧν οὐκ ἔγνως β
[o]τὸν καιρὸν [p]τῆς ἐπισκοπῆς σου."

[q]Καὶ εἰσελθὼν εἰς τὸ ἱερόν, ἤρξατο ἐκβάλλειν τοὺς 45 σλη
πωλοῦντας **ἐν αὐτῷ καὶ ἀγοράζοντας**[17], λέγων αὐτοῖς, 46 α
"Γέγραπται, [r][18]'**Ὁ οἶκός μου οἶκος προσευχῆς ἐστίν**[19]·'
[s]ὑμεῖς δὲ αὐτὸν ἐποιήσατε σπήλαιον λῃστῶν."

Καὶ ἦν [t][u]διδάσκων τὸ καθ' ἡμέραν ἐν τῷ ἱερῷ· [w]οἱ 47 σλθ
δὲ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς [x]ἐζήτουν αὐτὸν ἀπο- α
λέσαι, καὶ [y]οἱ πρῶτοι τοῦ λαοῦ· [z]καὶ οὐχ **εὕρισκον**[20] 48
τὸ τί ποιήσωσιν, ὁ λαὸς γὰρ ἅπας **ἐξεκρέματο**[21] αὐτοῦ
ἀκούων.

[a]ΚΑΙ ἐγένετο ἐν μιᾷ τῶν ἡμερῶν **ἐκείνων**[22], διδάσ- **20** ΞΘʹ.
κοντος αὐτοῦ τὸν λαὸν ἐν τῷ ἱερῷ καὶ εὐαγγελιζομέ- σμ
νου, [b]ἐπέστησαν οἱ **ἀρχιερεῖς**[23] καὶ οἱ γραμματεῖς σὺν β
τοῖς πρεσβυτέροις, καὶ **εἶπον**[24] **πρὸς αὐτόν, λέγοντες**[25], 2
"**Εἰπὲ**[26] ἡμῖν, ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς, ἢ τίς

[a] Cf. Joan. 12. 17, 18. [b] Ps. 118. 26. Cf. cap. 13. 35. [c] Vid. Matt. 25. 34. [d] cap. 2. 14. [e] Cf. Matt. 21. 15, 16. [f] Hab. 2. 11. [g] Joan. 11. 35. [h] (Constructio) Vid. cap. 13. 9. [i] Eccles. 9. 14. Esa. 29. 3; 37. 33. Jer. 6. 6. Ezek. 4. 2; 26. 8. [k] Jer. 6. 3. cap. 21. 20. [l] cap. 21. 6. [m] Ps. 137. 9. Ose. 13. 16. [n] Matt. 24. 2. Vid. Marc. 13. 2. [o] Cf. Dan. 9. 24. [p] 1 Pet. 2. 12. Cf. Jer. 6. 6. [q] ver. 45—47, Matt. 21. 12—16. Marc. 11. 15—18. [r] Esa. 56. 7. [s] Jer. 7. 11. [t] cap. 20. 1. [u] Vid. Matt. 26. 55. [x] Vid. Matt. 21. 46. [y] Vid. Marc. 6. 21. [z] Cf. cap. 20. 19. [a] ver. 1—8, Matt. 21. 23—27. Marc. 11. 27—33. [b] Act. 4. 1; 6. 12.

[1] *πάντων* LTr. [2] —*ἐρχόμενος* T, ὁ ἐρχόμενος, ὁ WH *text.*, ὁ *vel* ὁ ἐρχόμενος WH *marg.* [3] *ἐν οὐρανῷ εἰρήνη* TTr (*non marg.*) WH. [4] *εἶπαν* LTTrWH. [5] —*αὐτοῖς* T[Tr]WHR. [6] [*ὅτι*] Tr, —*ὅτι* WH (*non marg.*). [7] *σιωπήσουσιν* LTTrWHR. [8] *κράξουσιν* TTr (*non marg.*) WHR. [9] *αὐτὴν* LTTrWH. [10] —*καὶ σύ* WHR. [11] —*καί γε* Tr[L]WHR, *at* [*καί γε*] *ἐν τῇ ἡμέρᾳ ταύτῃ καὶ σὺ* Tr *marg.* [12] —*σου* LTrWHR. [13] + *καὶ σὺ* WHR. [14] —*σου* [LTr]WHR (*εἰρήνην*— WH). [15] *παρεμβαλοῦσιν* L *marg.* TWH (*non marg.*). [16] *λίθον ἐπὶ λίθῳ* (*λίθον* TTrWHR) *ἐν σοί* LTTrWHR. [17] —*ἐν αὐτῷ καὶ ἀγοράζοντας* TTrWHR. [18] + *ὅτι* L (*non marg.*) Tr *marg.* [19] *καὶ ἔσται ὁ οἶκός μου οἶκος προσευχῆς* L *marg.* TTr (*non marg.*) WHR. [20] *ηὕρισκον* LTrWH. [21] *ἐξεκρέμετο* TWH. [22] —*ἐκείνων* LTTrWHR. [23] *ἱερεῖς* T. [24] *εἶπαν* TTrWH. [25] *λέγοντες πρὸς αὐτόν* LTWHR, *at* —*λέγοντες* Tr, [*λέγοντες*] *πρὸς αὐτόν* Tr *marg.* [26] *Εἰπὸν* TTrWH.

3 ἐστιν ὁ δούς σοι τὴν ἐξουσίαν ταύτην;[1]" Ἀποκριθεὶς
δὲ εἶπε πρὸς αὐτούς, "Ἐρωτήσω ὑμᾶς κἀγὼ **ἕνα**[2]
4 λόγον, καὶ εἴπατέ μοι· Τὸ βάπτισμα[3] **Ἰωάννου**[4] ἐξ
5 οὐρανοῦ ἦν, ἢ ἐξ ἀνθρώπων;" Οἱ δὲ **συνελογίσαντο**[5]
πρὸς ἑαυτούς, λέγοντες, "Ὅτι ἐὰν εἴπωμεν, Ἐξ οὐ-
6 ρανοῦ, ἐρεῖ[6], Διατί[7] **οὖν**[8] οὐκ ἐπιστεύσατε αὐτῷ; ἐὰν
δὲ εἴπωμεν, Ἐξ ἀνθρώπων, **πᾶς ὁ λαὸς**[9] καταλιθάσει
ἡμᾶς· [a]πεπεισμένος γάρ ἐστιν **Ἰωάννην**[10] προφήτην
7, 8 εἶναι." Καὶ ἀπεκρίθησαν μὴ εἰδέναι πόθεν. καὶ ὁ
Ἰησοῦς εἶπεν αὐτοῖς, "Οὐδὲ ἐγὼ λέγω ὑμῖν ἐν ποίᾳ
ἐξουσίᾳ ταῦτα ποιῶ."

Ο'. 9 [b]Ἤρξατο δὲ **πρὸς τὸν λαὸν λέγειν**[11] τὴν παραβολὴν
σμα ταύτην· "**Ἄνθρωπός τις ἐφύτευσεν ἀμπελῶνα**[12], καὶ
β **ἐξέδοτο**[13] αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησε [c]χρόνους ἱκα-
10 νούς. καὶ **ἐν**[14] καιρῷ ἀπέστειλε πρὸς τοὺς γεωργοὺς
δοῦλον, ἵνα ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελῶνος **δῶσιν**[15]
αὐτῷ· οἱ δὲ γεωργοὶ **δείραντες αὐτὸν ἐξαπέστειλαν**[16]
11 κενόν. καὶ προσέθετο **πέμψαι ἕτερον**[17] δοῦλον· οἱ δὲ
κἀκεῖνον δείραντες καὶ ἀτιμάσαντες ἐξαπέστειλαν
12 κενόν. καὶ προσέθετο **πέμψαι τρίτον**[18]· οἱ δὲ καὶ
13 **τοῦτον**[19] τραυματίσαντες ἐξέβαλον. εἶπε δὲ ὁ κύριος
τοῦ ἀμπελῶνος, Τί ποιήσω; πέμψω τὸν υἱόν μου
τὸν [d]ἀγαπητόν· ἴσως τοῦτον **ἰδόντες**[20] [e]ἐντραπήσονται.
14 Ἰδόντες δὲ αὐτὸν οἱ γεωργοὶ **διελογίζοντο**[21] πρὸς
ἑαυτοὺς[22], λέγοντες, Οὗτός ἐστιν ὁ κληρονόμος· **δεῦ-
τε**[23], ἀποκτείνωμεν αὐτόν, ἵνα ἡμῶν **γένηται**[24] ἡ κλη-
15 ρονομία. Καὶ ἐκβαλόντες αὐτὸν ἔξω τοῦ ἀμπελῶνος,
ἀπέκτειναν. Τί οὖν ποιήσει αὐτοῖς ὁ κύριος τοῦ
16 ἀμπελῶνος; ἐλεύσεται καὶ [f]ἀπολέσει τοὺς γεωργοὺς
τούτους, καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις." **Ἀκού-
17 σαντες δὲ**[25] **εἶπον**[26], [g]"Μὴ γένοιτο." Ὁ δὲ [h]ἐμβλέψας

[a] Matt. 14. 5. Cf. cap. 7. 29.
[b] ver. 9—19, Matt. 21. 33—46. Marc. 12. 1—12.
[c] Cf. cap. 8. 29.
[d] Matt. 3. 17; 12. 18; 17. 5. Marc. 1. 11.
[e] Vid. cap. 18. 2.
[f] Vid. cap. 19. 27.
[g] (Gr.) Rom. 3. 4, 6, 31; 6. 2, 15; 7. 7, 13; 9. 14; 11. 1, 11. 1 Cor. 6. 15. Gal. 2. 17; 3. 21; 6. 14.
[h] cap. 22. 61.

[1] . (*pro* ;) WH. [2] —ἕνα LTTrWHR. [3] + τὸ T. [4] Ἰωάνου TrWH. [5] συνελογίζοντο L. [6] + ἡμῖν L. [7] διὰ τί LTrWH. [8] —οὖν TTr[L]WHR. [9] ὁ λαὸς ἅπας L *marg.* TTr (*non marg.*) WHR. [10] Ἰωάνην TrWH. [11] λέγειν πρὸς τὸν λαὸν L. [12] —τις LTTrWHR, *at* Ἀμπελῶνα ἐφύτευσεν ἄνθρωπος L. [13] ἐξέδετο TWH. [14] —ἐν LTTrWHR. [15] δώσουσιν LTTrWHR. [16] ἐξαπέστειλαν αὐτὸν δείραντες TTr *marg.* WH. [17] ἕτερον πέμψαι LTTr (*non marg.*) WH. [18] τρίτον πέμψαι LTTr (*non marg.*) WH. [19] κἀκεῖνον L. [20] —ἰδόντες LTTr[Tr *marg.*]WHR. [21] διελογίσαντο L. [22] ἀλλήλους TTrWHR. [23] —δεῦτε LTTrWHR. [24] ἔσται L *marg.* [25] οἱ δὲ ἀκούσαντες L (*non marg.*). [26] εἶπαν LTTrWH.

αὐτοῖς εἶπε, "Τί οὖν ἐστι τὸ γεγραμμένον τοῦτο,
[a]'Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγε-
νήθη εἰς κεφαλὴν γωνίας'; [b]Πᾶς ὁ πεσὼν ἐπ' ἐκεῖνον 18
τὸν λίθον συνθλασθήσεται· ἐφ' ὃν δ' ἂν πέσῃ, λικ-
μήσει αὐτόν." [c]Καὶ **ἐζήτησαν**[1] οἱ **ἀρχιερεῖς καὶ οἱ** 19 ΟΔ'.
γραμματεῖς[2] ἐπιβαλεῖν ἐπ' αὐτὸν τὰς χεῖρας ἐν αὐτῇ σμβ
τῇ ὥρᾳ, καὶ ἐφοβήθησαν τὸν λαόν· ἔγνωσαν γὰρ α
ὅτι πρὸς αὐτοὺς **τὴν παραβολὴν ταύτην εἶπε**[3].

Καὶ [d]**παρατηρήσαντες**[4] [e]ἀπέστειλαν [5]**ἐγκαθέτους**, ὑπο- 20 σμγ
κρινομένους ἑαυτοὺς δικαίους εἶναι, ἵνα [f]ἐπιλάβωνται β
αὐτοῦ **λόγου**[6], **εἰς τὸ**[7] παραδοῦναι αὐτὸν τῇ [g]ἀρχῇ καὶ
τῇ [g]ἐξουσίᾳ [h]τοῦ ἡγεμόνος. καὶ ἐπηρώτησαν αὐτόν, 21
λέγοντες, "Διδάσκαλε, οἴδαμεν ὅτι ὀρθῶς λέγεις καὶ
διδάσκεις, καὶ οὐ λαμβάνεις πρόσωπον, ἀλλ' ἐπ'
ἀληθείας τὴν ὁδὸν τοῦ Θεοῦ διδάσκεις. ἔξεστιν 22
ἡμῖν[8] Καίσαρι [i]φόρον δοῦναι, ἢ οὔ;" Κατανοήσας 23
δὲ αὐτῶν τὴν [k]πανουργίαν, εἶπε πρὸς αὐτούς, "**Τί με
πειράζετε;**[9] **ἐπιδείξατέ**[10] μοι [l]δηνάριον·[11] τίνος ἔχει 24
εἰκόνα καὶ ἐπιγραφήν;" '**Αποκριθέντες**[12] δὲ **εἶπον**[13],
"Καίσαρος." Ὁ δὲ εἶπεν **αὐτοῖς**[14], "'**Απόδοτε τοί-** 25
νυν[15] τὰ Καίσαρος[16] Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ
Θεῷ." Καὶ οὐκ ἴσχυσαν [f]ἐπιλαβέσθαι **αὐτοῦ**[17] ῥήματος 26
ἐναντίον τοῦ λαοῦ· καὶ θαυμάσαντες ἐπὶ τῇ ἀποκρί-
σει αὐτοῦ, ἐσίγησαν.

Προσελθόντες δέ τινες τῶν Σαδδουκαίων, οἱ **ἀντι-** 27 ΟΒ'.
λέγοντες[18] ἀνάστασιν μὴ εἶναι, ἐπηρώτησαν[19] αὐτόν,
λέγοντες, "Διδάσκαλε, **Μωσῆς**[20] ἔγραψεν ἡμῖν, [m]ἐάν 28
τινος ἀδελφὸς ἀποθάνῃ ἔχων γυναῖκα, καὶ οὗτος
ἄτεκνος **ἀποθάνῃ**[21], ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν
γυναῖκα, καὶ ἐξαναστήσῃ σπέρμα τῷ ἀδελφῷ αὐτοῦ.
ἑπτὰ οὖν ἀδελφοὶ ἦσαν· καὶ ὁ πρῶτος λαβὼν γυναῖ- 29

[a] Ps. 118. 22.
[b] Matt. 21. 44 (var. lect.). Cf. Dan. 2. 34, 35.
[c] Cf. cap. 19. 47, 48.
[d] Marc. 3. 2. Luc. 6. 7; 14. 1. Act. 9. 24.
[e] ver. 20—38, Matt. 22. 15—32. Marc. 12. 13—27.
[f] ver. 26.
[g] cap. 12. 11. 1 Cor. 15. 24.
[h] Matt. 27. 2. Act. 23. 24, 26, 33; 24. 1, 10; 26. 30.
[i] cap. 23. 2. Rom. 13. 6, 7.
[k] 1 Cor. 3. 19. 2 Cor. 4. 2; 11. 3. Eph. 4. 14.
[l] Vid. Matt. 18. 28.
[m] Deut. 25. 6.

[1] ἐζήτουν L (*non marg.*) Tr *marg.* [2] γραμματεῖς καὶ οἱ ἀρχιερεῖς LTTr (*non marg.*) WHR. [3] εἶπεν τὴν παραβολὴν ταύτην LTTrWH. [4] ἀποχωρήσαντες Tr *marg.* WH *marg.* [5] ἐν- TWH. [6] λόγον Tr. [7] ὥστε LTTrWHR. [8] ἡμᾶς TTrWHR. [9] —Τί με πειράζετε; TTr[Tr *marg.*]WHR. [10] δείξατε LTTrWHR. [11] + [οἱ δὲ ἔδειξαν. καὶ εἶπεν] L. [12] οἱ TTr *marg.* WHR. [13] εἶπαν TTrWH. [14] πρὸς αὐτούς TTrWH. [15] Τοίνυν ἀπόδοτε TTrWHR. [16] + τῷ Tr. [17] τοῦ Tr *marg.* WHR. [18] λέγοντες L *marg.* TrWHR. [19] ἐπηρώτων WH *marg.* [20] Μωυσῆς LT(-ϋ-)TrWH. [21] ᾖ L (*non marg.*) TTrWHR.

30 κα ἀπέθανεν ἄτεκνος· καὶ **ἔλαβεν**[1] ὁ δεύτερος **τὴν**
31 **γυναῖκα, καὶ οὗτος ἀπέθανεν ἄτεκνος**[2]· καὶ ὁ τρίτος
ἔλαβεν αὐτήν[3]· ὡσαύτως δὲ καὶ οἱ ἑπτὰ[4] οὐ κατέ-
32 λιπον τέκνα, καὶ ἀπέθανον· ὕστερον **δὲ πάντων**[5]
33 **ἀπέθανε καὶ ἡ γυνή**[6]. **ἐν τῇ** οὖν[7] ἀναστάσει, τίνος
αὐτῶν **γίνεται**[8] γυνή; οἱ γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυ-
34 ναῖκα." Καὶ **ἀποκριθεὶς**[9] εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, [a]"Οἱ
υἱοὶ τοῦ αἰῶνος τούτου **γαμοῦσι καὶ ἐκγαμίσκονται**[10,11]·
35 οἱ δὲ [b]καταξιωθέντες τοῦ αἰῶνος ἐκείνου τυχεῖν καὶ
τῆς ἀναστάσεως τῆς ἐκ νεκρῶν οὔτε γαμοῦσιν οὔτε
36 **ἐκγαμίσκονται**[12]· **οὔτε**[13] γὰρ ἀποθανεῖν ἔτι **δύνανται**[14]·
ἰσάγγελοι γάρ εἰσι, [c]καὶ υἱοί εἰσι **τοῦ**[15] **Θεοῦ**[16], **τῆς**
37 ἀναστάσεως **υἱοὶ** ὄντες. Ὅτι δὲ ἐγείρονται οἱ νεκροί,
καὶ **Μωσῆς**[17] ἐμήνυσεν [d]ἐπὶ τῆς βάτου[18], [e]ὡς λέγει Κύ-
ριον τὸν Θεὸν Ἀβραὰμ καὶ **τὸν**[19] Θεὸν Ἰσαὰκ καὶ
38 **τὸν**[19] Θεὸν Ἰακώβ. Θεὸς δὲ οὐκ ἔστι νεκρῶν, ἀλλὰ
39 ζώντων. πάντες γὰρ [f]αὐτῷ ζῶσιν." Ἀποκριθέντες
δέ τινες τῶν γραμματέων **εἶπον**[20], "Διδάσκαλε, [g]καλῶς
σμδ 40 εἶπας." [h i]Οὐκ ἔτι[21] **δὲ**[22] ἐτόλμων ἐπερωτᾷν αὐτὸν
β οὐδέν.
ΟΓ. 41 [k]Εἶπε δὲ πρὸς αὐτούς, "Πῶς λέγουσι τὸν Χριστὸν
σμε 42 **υἱὸν Δαβὶδ**[23] **εἶναι**[24]; **καὶ αὐτὸς**[25] **Δαβὶδ**[23] λέγει ἐν βί-
β βλῳ[26] ψαλμῶν, [l]'Εἶπεν ὁ[27] Κύριος τῷ κυρίῳ μου,
43 Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου
44 **ὑποπόδιον** τῶν ποδῶν σου.' **Δαβὶδ**[23] οὖν **κύριον αὐ-**
σμς 45 **τὸν**[28] καλεῖ, καὶ πῶς **υἱὸς αὐτοῦ**[29] ἐστιν;" [i]Ἀκούοντος
β **δὲ** παντὸς τοῦ λαοῦ, εἶπε τοῖς μαθηταῖς **αὐτοῦ**[30],
46 [i]"Προσέχετε ἀπὸ τῶν γραμματέων τῶν θελόντων
περιπατεῖν ἐν στολαῖς, καὶ φιλούντων ἀσπασμοὺς ἐν
ταῖς ἀγοραῖς, καὶ [m]πρωτοκαθεδρίας ἐν ταῖς συναγω-

[a] cap. 16. 8.
[b] Act. 5. 41. 2 Thess. 1. 5.
[c] Cf. Rom. 8. 23. 1 Cor. 15. 52.
[d] Marc. 12. 26.
[e] Ex. 3. 6.
[f] Rom. 6. 11; 14. 8. Gal. 2. 19.
[g] Cf. Marc. 12. 28. Cf. etiam Matt. 22. 34.
[h] Matt. 22. 46.
[i] ver. 40, 45, 46, Matt. 23. 1–7. Marc. 12. 34, 38, 39.
[k] ver. 41–44, Matt. 22. 41–45. Marc. 12. 35–37.
[l] Ps. 110. 1.
[m] Vid. cap. 11. 43. Cf. cap. 14. 7, 8.

[1] –ἔλαβεν TTr[Tr *marg.*]WHR. [2] –τὴν γυναῖκα *ad fin. vers.* TTr[Tr *marg.*]WHR. [3] + [ὡσαύτως] L. [4] + καὶ E. [5] –δὲ πάντων LTTrWHR. [6] καὶ ἡ γυνὴ ἀπέθανεν TTr (*non marg.*) WH. [7] ἡ γυνὴ οὖν ἐν τῇ TTr *marg.* WH. [8] ἔσται R. [9] –ἀποκριθεὶς LTTrWHR. [10] γαμίσκονται LTTrWHR, *at* [11] WH *marg.* ⫞ *post* τούτου + γεννῶνται καὶ γεννῶσιν, [12] γαμίζονται LTTrWH *text.* R, γαμίσκονται WH *marg.* [13] οὐδὲ LTrWHR. [14] μέλλουσιν WH *marg.* ⫞ [15] –τοῦ TTrWH. [16] τῷ θεῷ WH *marg.* ⫞ *pro* καὶ...θεοῦ. [17] Μωυσῆς LT(-ϋ-)TrWH. [18] Βάτου R. [19] –τὸν LTTrWHR. [20] εἶπαν LTTrWH. [21] Οὐκέτι LTTrWHR. [22] γὰρ TTr (*non marg.*) WHR. [23] Δαυεὶδ LTTrWH. [24] εἶναι Δαυεὶδ υἱόν TTr *marg.* WH. [25] αὐτὸς γὰρ TTr *marg.* WHR. [26] +τῶν L. [27] –ὁ LTrWH. [28] αὐτὸν κύριον TrWH. [29] αὐτοῦ υἱός TTrWH. [30] –αὐτοῦ TTrWH.

γαῖς, καὶ πρωτοκλισίας ἐν τοῖς δείπνοις· οἳ κατεσθί- 47 σμζ
ουσι[1] τὰς οἰκίας τῶν χηρῶν, καὶ προφάσει μακρὰ[2] η
προσεύχονται[3]. οὗτοι λήψονται[4] περισσότερον κρί-
μα[5].”

[a] ver. 1—4, Marc. 12. 41—44.
[b] Vid. Marc. 12. 41.
[c] Vid. cap. 12. 59.

[a]ʼΑΝΑΒΛΕΨΑΣ δὲ εἶδε τοὺς βάλλοντας τὰ δῶρα 21 ΟΔ'.
αὐτῶν εἰς [b]τὸ γαζοφυλάκιον[6] πλουσίους· εἶδε δὲ καί 2
τινα[7] χήραν πενιχρὰν βάλλουσαν ἐκεῖ δύο [c]λεπτά[8],
καὶ εἶπεν, “Ἀληθῶς λέγω ὑμῖν, ὅτι ἡ χήρα ἡ πτωχὴ 3
αὕτη[9] πλεῖον[10] πάντων ἔβαλεν· ἅπαντες[11] γὰρ οὗτοι ἐκ 4
τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον εἰς τὰ δῶρα τοῦ
Θεοῦ[12], αὕτη δὲ ἐκ τοῦ ὑστερήματος αὐτῆς ἅπαντα[13]
τὸν βίον ὃν εἶχεν ἔβαλε.”

[d] ver. 5—36, Matt. 24. 1—51. Marc. 13. 1—37.
[e] cap. 19. 44.

[d]ΚΑΙ τινων λεγόντων περὶ τοῦ ἱεροῦ, ὅτι λίθοις 5 σμη
καλοῖς καὶ ἀναθήμασι[14] κεκόσμηται, εἶπε, “Ταῦτα ἃ 6 β
θεωρεῖτε, ἐλεύσονται ἡμέραι ἐν αἷς [e]οὐκ ἀφεθήσεται
λίθος ἐπὶ λίθῳ[15], ὃς οὐ καταλυθήσεται.” Ἐπηρώ- 7 σμθ
τησαν δὲ αὐτόν, λέγοντες, “Διδάσκαλε, πότε οὖν β
ταῦτα ἔσται; καὶ τί τὸ σημεῖον, ὅταν μέλλῃ ταῦτα
γίνεσθαι;”

[f] Cf. cap. 17. 23.
[g] Cf. Matt. 3. 2; 4. 17. Marc. 1. 15.
[h] 1 Cor. 14. 33. 2 Cor. 6. 5; 12. 20. Jac. 3. 16.
[i] cap. 24. 37.
[k] Esa. 19. 17 (Septuagint.).
[l] ver. 12—17, Matt. 10. 17—22. Marc. 13. 11—13.

Ὁ δὲ εἶπε, “Βλέπετε μὴ πλανηθῆτε· πολλοὶ γὰρ 8 ΟΕ'.
ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, [f]λέγοντες, Ὅτι[16]
ἐγώ εἰμι· καί, [g]Ὁ καιρὸς ἤγγικε. μὴ οὖν[17] πορευ-
θῆτε ὀπίσω αὐτῶν. ὅταν δὲ ἀκούσητε πολέμους καὶ 9
[h]ἀκαταστασίας, μὴ [i]πτοηθῆτε· δεῖ γὰρ ταῦτα γενέσθαι
πρῶτον, ἀλλ᾽ οὐκ εὐθέως τὸ τέλος.” Τότε ἔλεγεν 10
αὐτοῖς, “Ἐγερθήσεται ἔθνος ἐπὶ[18] ἔθνος, καὶ βασι-
λεία ἐπὶ βασιλείαν· σεισμοί τε μεγάλοι κατὰ τόπους 11
καὶ[19] λιμοὶ καὶ λοιμοὶ[20] ἔσονται, [k]φόβητρά[21] τε καὶ
σημεῖα ἀπ᾽ οὐρανοῦ μεγάλα[22] ἔσται. Πρὸ δὲ τούτων 12 σν
ἁπάντων[23] [l]ἐπιβαλοῦσιν ἐφ᾽ ὑμᾶς τὰς χεῖρας αὐτῶν, α

[1] οἱ κατεσθίοντες L. [2] μακρᾷ S. [3] προσευχόμενοι L. [4] λήμψονται LTTrWH. [5] κρίμα L. [6] εἰς τὸ γαζοφυλάκιον τὰ δῶρα αὐτῶν TTr (*non marg.*) WHR. [7] [καί] τινα L, τινα TTrWHR. [8] λεπτὰ δύο L *marg.* TrWH. [9] αὕτη ἡ πτωχὴ L (*non marg.*) Tr (*non marg.*) WH. [10] πλείω LT. [11] πάντες LTr *marg.* WHR. [12] —τοῦ Θεοῦ T[Tr]WHR. [13] πάντα LTrWHR. [14] ἀναθέμασιν LT. [15] + ὧδε LWHR. [16] —ὅτι T[LTr]WH. [17] —οὖν LTTrWHR. [18] ἐπ᾽ LTTrWH. [19] καὶ κατὰ τόπους TTr (*non marg.*) WHR. [20] λοιμοὶ καὶ λιμοὶ LTr (*non marg.*) WH (*non marg.*). [21] φόβηθρά LTrWH. [22] ἀπ᾽ οὐρανοῦ σημεῖα μεγάλα LWH, *at* WH *marg.* σημεῖα μεγάλα ἀπ᾽ οὐρανοῦ. [23] πάντων LTTrWHR.

καὶ διώξουσι, παραδιδόντες εἰς[1] συναγωγὰς καὶ [a]φυλα-
κάς, **ἀγομένους**[2] ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας, ἕνεκεν
13 τοῦ ὀνόματός μου. [b]ἀποβήσεται **δὲ**[3] ὑμῖν εἰς μαρτύ-
σνα 14 ριον· [c]**θέσθε**[4] οὖν **εἰς τὰς καρδίας**[5] ὑμῶν, μὴ [d]προμε-
β 15 λετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν [e]στόμα
καὶ σοφίαν, ᾗ [f]οὐ δυνήσονται **ἀντειπεῖν οὐδὲ ἀντιστῆ-**
16 **ναι**[6] **πάντες**[7] οἱ ἀντικείμενοι ὑμῖν. παραδοθήσεσθε
δὲ καὶ ὑπὸ γονέων καὶ ἀδελφῶν καὶ συγγενῶν καὶ
17 φίλων, καὶ θανατώσουσιν ἐξ ὑμῶν· καὶ ἔσεσθε μι-
18 σούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ [g]θρὶξ
19 ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. ἐν τῇ [h]ὑπο-
σνβ 20 μονῇ ὑμῶν **κτήσασθε**[8] τὰς ψυχὰς ὑμῶν. [i]Ὅταν δὲ
ι ἴδητε κυκλουμένην ὑπὸ στρατοπέδων **τὴν**[9] Ἱερουσα-
λήμ[10], τότε **γνῶτε**[11] ὅτι ἤγγικεν [k]ἡ ἐρήμωσις αὐτῆς.
σνγ 21 τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη· καὶ
β οἱ ἐν μέσῳ αὐτῆς ἐκχωρείτωσαν· καὶ οἱ ἐν [l]ταῖς
22 χώραις μὴ εἰσερχέσθωσαν εἰς αὐτήν. ὅτι [m]ἡμέραι
ἐκδικήσεως αὗταί εἰσι, [n]τοῦ **πληρωθῆναι**[12] πάντα τὰ
σνδ 23 γεγραμμένα. οὐαὶ **δὲ**[13] ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ
β σνε ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις· ἔσται
β γὰρ [o]ἀνάγκη μεγάλη [p]ἐπὶ τῆς γῆς, καὶ ὀργὴ **ἐν**[14] τῷ
σνϛ 24 λαῷ τούτῳ. καὶ πεσοῦνται [q]στόματι **μαχαίρας**[15], καὶ
ι αἰχμαλωτισθήσονται εἰς **πάντα τὰ ἔθνη**[16]· καὶ [r]Ἱερου-
σαλὴμ[10] ἔσται πατουμένη ὑπὸ ἐθνῶν, [s]**ἄχρι**[17,18] πλη-
σνζ 25 ρωθῶσι[19] καιροὶ ἐθνῶν. Καὶ **ἔσται**[20] σημεῖα ἐν ἡλίῳ
β καὶ σελήνῃ καὶ ἄστροις, καὶ [p]ἐπὶ τῆς γῆς [t]συνοχὴ
ἐθνῶν ἐν ἀπορίᾳ, **ἠχούσης**[21] θαλάσσης καὶ σάλου,
26 ἀποψυχόντων ἀνθρώπων ἀπὸ φόβου καὶ προσδοκίας
τῶν ἐπερχομένων τῇ οἰκουμένῃ· αἱ γὰρ δυνάμεις
σνη 27 τῶν οὐρανῶν σαλευθήσονται. καὶ τότε ὄψονται [u]τὸν
β υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν **νεφέλῃ**[22] μετὰ δυνά-
μεως καὶ δόξης πολλῆς.

[a] 2 Cor. 11. 28. Cf. Act. 4. 3; 5. 18; 12. 4; 16. 24.
[b] Cf. Phil. 1. 13, 14.
[c] cap. 9. 44.
[d] Cf. cap. 12. 11.
[e] Ex. 4. 12.
[f] Act. 6. 10.
[g] Vid. Matt. 10. 30.
[h] Rom. 5. 3, 4. Jac. 1. 3, 4. Cf. Matt. 10. 22; 24. 13.
[i] Vid. cap. 19. 43.
[k] Dan. 9. 27.
[l] Joan. 4. 35. Jac. 5. 4. Cf. cap. 17. 31.
[m] Esa. 63. 4.
[n] Dan. 9. 24—27.
[o] 1 Cor. 7. 26. 2 Cor. 12. 10. 1 Thess. 3. 7.
[p] ver. 25.
[q] Gen. 34. 26. Heb. 11. 34.
[r] Rev. 11. 2. Cf. Esa. 63. 4. Dan. 8. 13.
[s] Cf. Dan. 12. 7. Rom. 11. 25.
[t] 2 Cor. 2. 4.
[u] Dan. 7. 13. Rev. 14. 14.

[1] + τὰς TTrWHR. [2] ἀπαγομένους TTrWHR. [3] —δὲ T[Tr]WHR. [4] θέτε LTTrWHR. [5] ἐν ταῖς καρδίαις LTTrWHR. [6] ἀντιστῆναι οὐδὲ (*at* ἢ TWHR) ἀντειπεῖν LTWHR, ἀντιστῆναι [ἢ ἀντειπεῖν] Tr, [ἀντειπεῖν ἢ] ἀντιστῆναι Tr *marg.* [7] ἅπαντες TTrWH (*non marg.*). [8] κτήσεσθε LTrWHR. [9] —τὴν LTTrWH. [10] Ἰερουσαλήμ WH. [11] γνώσεσθε Tr *marg.* [12] πλησθῆναι LTTrWHR. [13] —δὲ LTTrWHR. [14] —ἐν LTTrWHR. [15] μαχαίρης TTrWH. [16] τὰ ἔθνη πάντα L (*non marg.*) TTr (*non marg.*) WH. [17] ἄχρις L. [18] + οὗ LTTrWH. [19] + [καὶ ἔσονται] WH. [20] ἔσονται LTTrWHR. [21] ἤχους LTTrR, ἠχοῦς WH. [22] νεφέλαις L *marg.*

"Ἀρχομένων δὲ τούτων γίνεσθαι, ἀνακύψατε καὶ 28
ἐπάρατε τὰς κεφαλὰς ὑμῶν· διότι ἐγγίζει [a] ἡ ἀπο-
λύτρωσις ὑμῶν."

Καὶ εἶπε παραβολὴν αὐτοῖς, "Ἴδετε τὴν συκῆν 29
καὶ πάντα τὰ δένδρα. ὅταν προβάλωσιν ἤδη, βλέ- 30
ποντες [b] ἀφ' ἑαυτῶν γινώσκετε ὅτι ἤδη **ἐγγὺς**[1] τὸ θέρος
ἐστίν. οὕτω καὶ ὑμεῖς, ὅταν ἴδητε ταῦτα γινόμενα, 31
γινώσκετε ὅτι ἐγγύς ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ.
ἀμὴν λέγω ὑμῖν, ὅτι οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, 32
ἕως **ἂν**[2] πάντα γένηται. [c] ὁ οὐρανὸς καὶ ἡ γῆ **παρελεύ- 33
σονται**[3], οἱ δὲ λόγοι μου οὐ μὴ **παρέλθωσι**[4]. Προσ- 34 σνθ/ι
έχετε δὲ ἑαυτοῖς, [d] μήποτε **βαρυνθῶσιν**[5] **ὑμῶν αἱ καρ-
δίαι**[6] ἐν **κραιπάλῃ**[7] καὶ [e] μέθῃ καὶ μερίμναις [f] βιωτικαῖς,
καὶ **αἰφνίδιος ἐφ' ὑμᾶς** [g] **ἐπιστῇ**[8] ἡ ἡμέρα **ἐκείνη· ὡς** 35
[h] **παγὶς γὰρ ἐπελεύσεται**[9] ἐπὶ πάντας τοὺς καθημένους
ἐπὶ πρόσωπον πάσης τῆς γῆς. [i] ἀγρυπνεῖτε **οὖν**[10] ἐν 36
[k] παντὶ καιρῷ δεόμενοι, ἵνα **καταξιωθῆτε**[11] ἐκφυγεῖν
ταῦτα πάντα[12] τὰ μέλλοντα γίνεσθαι, καὶ [l] σταθῆναι
ἔμπροσθεν τοῦ υἱοῦ τοῦ ἀνθρώπου."

Ἦν δὲ τὰς ἡμέρας [m] **ἐν τῷ ἱερῷ διδάσκων**[13]· [n] τὰς δὲ 37
νύκτας ἐξερχόμενος ηὐλίζετο [n o] εἰς τὸ ὄρος τὸ καλού-
μενον ἐλαιῶν[14]. καὶ πᾶς ὁ λαὸς [n] ὤρθριζε πρὸς αὐ- 38
τὸν ἐν τῷ ἱερῷ ἀκούειν αὐτοῦ.

[p] ἬΓΓΙΖΕ δὲ ἡ ἑορτὴ τῶν ἀζύμων, ἡ λεγομένη **22** σϛʹ.
πάσχα· καὶ ἐζήτουν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, 2 σξ/α
τό, πῶς ἀνέλωσιν αὐτόν· ἐφοβοῦντο γὰρ τὸν λαόν. σξα/α

[q] Εἰσῆλθε δὲ ὁ[15] [r] Σατανᾶς εἰς Ἰούδαν τὸν **ἐπικαλού- 3
μενον**[16] Ἰσκαριώτην, ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα· σξβ/θ
καὶ ἀπελθὼν συνελάλησε τοῖς ἀρχιερεῦσι[17] **καὶ τοῖς**[18] 4 σξγ/β
[s] στρατηγοῖς, τό, πῶς **αὐτὸν παραδῷ αὐτοῖς**[19]. καὶ ἐχά- 5

[a] Rom. 8. 23. Eph. 4. 30.
[b] cap. 12. 57.
[c] Cf. cap. 16. 17.
[d] Cf. Rom. 13. 13. 1 Thess. 5. 6. 1 Pet. 4. 7.
[e] 1 Thess. 5. 7.
[f] 1 Cor. 6. 3, 4.
[g] 1 Thess. 5. 3. Cf. cap. 12. 40.
[h] Ps. 69. 22. Eccles. 9. 12. Esa. 24. 17. Rom. 11. 9. 1 Tim. 6. 9.
[i] Vid. Marc. 13. 33.
[k] Vid. cap. 18. 1.
[l] Rev. 6. 17.
[m] Vid. Matt. 26. 55.
[n] Joan. 8. 1, 2.
[o] Matt. 21. 17. Marc. 11. 19. cap. 22. 39. Cf. Joan. 18. 2.
[p] ver. 1, 2, Matt. 26. 2—5. Marc. 14. 1, 2.
[q] ver. 3—6, Matt. 26. 14—16. Marc. 14. 10, 11.
[r] Joan. 13. 2, 27. Cf. Act. 5. 3.
[s] ver. 52. Act. 4. 1; 5. 24, 26.

1 ἐγγὺς [ἤδη] Tr *marg.* 2 [ἂν] WH. 3 παρελεύσεται L *marg.* 4 παρελεύσονται LTTrWHR. 5 βαρηθῶσιν LTTrWHR. 6 αἱ καρδίαι ὑμῶν LTr (*non marg.*) WH. 7 κρεπάλῃ WH. 8 ἐπιστῇ ἐφ' ὑμᾶς αἰφνίδιος (ἐφνίδιος WH) L *marg.* TTrWH, *at* αἰφνίδιος ἐπιστῇ ἐφ' ὑμᾶς L. 9 ἐκείνη ὡς παγίς· ἐπεισελεύσεται γὰρ L (*non marg.*) TTrWHR, *at* γὰρ ἐπεισελεύσεται L *marg.*, *at* · ὡς παγὶς γὰρ ἐπ[εισ]ελεύσεται Tr *marg.* 10 δὲ L (*non marg.*) TTr (*non marg.*) WHR. 11 κατισχύσητε TTr (*non marg.*) WHR. 12 πάντα ταῦτα L *marg.* 13 διδάσκων ἐν τῷ ἱερῷ L *marg.* Tr (*non marg.*) WH *marg.* 14 ἐλαιών LTTr. 15 —ὁ LTTrWH. 16 καλούμενον TTrWHR. 17 + καὶ τοῖς γραμματεῦσιν L. 18 —τοῖς TTrWHR. 19 αὐτοῖς παραδῷ αὐτόν L (*non marg.*) TTr (*non marg.*) WH.

6 ρησαν, καὶ συνέθεντο αὐτῷ ἀργύριον δοῦναι· **καὶ**
ἐξωμολόγησε[1], καὶ ἐζήτει εὐκαιρίαν **τοῦ παραδοῦναι**[2]
αὐτὸν **αὐτοῖς** [a]**ἄτερ ὄχλου**[3].
7 [b]Ἦλθε δὲ ἡ ἡμέρα τῶν ἀζύμων, **ἐν**[4] ᾗ ἔδει θύεσθαι
8 τὸ πάσχα· καὶ ἀπέστειλε [c]Πέτρον καὶ [c]**Ἰωάννην**[5], εἰ-
πών, "Πορευθέντες ἑτοιμάσατε ἡμῖν τὸ πάσχα, ἵνα
9 φάγωμεν." Οἱ δὲ **εἶπον**[6] αὐτῷ, "Ποῦ θέλεις ἑτοιμά-
10 σωμεν[7];" Ὁ δὲ εἶπεν αὐτοῖς, "Ἰδού, εἰσελθόντων
ὑμῶν εἰς τὴν πόλιν, συναντήσει ὑμῖν ἄνθρωπος κερά-
μιον ὕδατος βαστάζων· ἀκολουθήσατε αὐτῷ εἰς τὴν
11 οἰκίαν **οὗ**[8] εἰσπορεύεται· καὶ ἐρεῖτε τῷ οἰκοδεσπότῃ
τῆς οἰκίας[9], Λέγει σοι ὁ διδάσκαλος, Ποῦ ἐστι τὸ
[d]κατάλυμα, ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου
12 φάγω; Κἀκεῖνος ὑμῖν δείξει [e]**ἀνώγεον**[10] μέγα ἐστρω-
13 μένον· ἐκεῖ ἑτοιμάσατε." Ἀπελθόντες δὲ εὗρον κα-
θὼς **εἴρηκεν**[11] αὐτοῖς· καὶ ἡτοίμασαν τὸ πάσχα.
14 [f]Καὶ ὅτε ἐγένετο ἡ ὥρα, ἀνέπεσε, καὶ οἱ **δώδεκα**[12]
σξδ 15 [g]ἀπόστολοι σὺν αὐτῷ. καὶ εἶπε πρὸς αὐτούς, "Ἐπι-
ι θυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ'
16 ὑμῶν, πρὸ τοῦ με παθεῖν· λέγω γὰρ ὑμῖν, ὅτι **οὐκ-**
έτι[13] οὐ μὴ φάγω **ἐξ αὐτοῦ**[14], [h]ἕως ὅτου πληρωθῇ ἐν
σξε 17 τῇ βασιλείᾳ τοῦ Θεοῦ." [15]Καὶ δεξάμενος[16] ποτήριον,
β [i]εὐχαριστήσας εἶπε, "Λάβετε τοῦτο, καὶ διαμερίσατε
18 **ἑαυτοῖς**[17]· [k]λέγω γὰρ ὑμῖν, **ὅτι**[18] οὐ μὴ πίω[19] ἀπὸ τοῦ
γεννήματος[20] τῆς ἀμπέλου, [h]ἕως **ὅτου**[21] ἡ βασιλεία τοῦ
σξϛ 19 Θεοῦ ἔλθῃ." Καὶ λαβὼν ἄρτον, [i]εὐχαριστήσας ἔκλα-
α σε, καὶ ἔδωκεν αὐτοῖς, λέγων, "Τοῦτό ἐστι τὸ σῶμά
μου, τὸ ὑπὲρ ὑμῶν διδόμενον· τοῦτο ποιεῖτε εἰς τὴν[22]
σξζ 20 ἐμὴν ἀνάμνησιν." **Ὡσαύτως καὶ τὸ ποτήριον**[23] μετὰ
β τὸ δειπνῆσαι, λέγων, "Τοῦτο τὸ ποτήριον, [l]ἡ καινὴ
διαθήκη ἐν τῷ αἵματί μου, τὸ ὑπὲρ ὑμῶν **ἐκχυνό-**

[a] Cf. Matt. 26. 5. Marc. 14. 2.
[b] ver. 7—13, Matt. 26. 17—19. Marc. 14. 12—16.
[c] Act. 3. 1, 4, 11; 4. 13, 19; 8. 14. Gal. 2. 9.
[d] Vid. Marc. 14. 14.
[e] Marc. 14. 15.
[f] Matt. 26. 20. Marc. 14. 17.
[g] Vid. Marc. 6. 30.
[h] Cf. ver. 18, 30.
[i] ver. 19. Vid. Matt. 15. 36.
[k] ver. (17), 18—20, Matt. 26. 26—29. Marc. 14. 22—25. 1 Cor. 11. 23—25.
[l] Jer. 31. 31. 1 Cor. 11. 25. 2 Cor. 3. 6. Heb. 8. 8, 13; 9. 15.

[1] —καὶ ἐξωμολόγησε L. [2] ἵνα παραδῷ L *marg.* [3] ἄτερ ὄχλου αὐτοῖς L (*non marg.*) TTr (*non marg.*) WH. [4] —ἐν TrWH. [5] Ἰωάνην TrWH. [6] εἶπαν LTTrWH. [7] + [σοι] L. [8] εἰς ἣν LTTrWHR. [9] + λέγοντες WH *marg.* [10] ἀνάγαιον LTTrWH. [11] εἰρήκει L (*non marg.*) TTrWHR. [12] —δώδεκα LTTrWHR. [13] —οὐκέτι [LTr]WHR. [14] αὐτὸ LTTrWHR. [15] *ver.* 17 *et* 18 *forsitan post ver.* 19 *et postea om. ver.* 20 Tr *marg.* [16] + τὸ L. [17] εἰς ἑαυτούς LTTrWHR. [18] —ὅτι TrWH. [19] + ἀπὸ τοῦ νῦν T[Tr]WHR. [20] γενήματος LTTrWH. [21] οὗ TrWH. [22] —τὴν T *errore.* [23] καὶ τὸ ποτήριον ὡσαύτως TTr (*non marg.*) WHR *text.*

μενον[1,2]. [a]Πλὴν ἰδού, ἡ χεὶρ τοῦ παραδιδόντος με 21 σξη
μετ' ἐμοῦ ἐπὶ τῆς τραπέζης. καὶ ὁ μὲν υἱὸς[3] τοῦ 22 β
ἀνθρώπου πορεύεται κατὰ τὸ [b]ὡρισμένον[4]· πλὴν οὐαὶ
τῷ ἀνθρώπῳ ἐκείνῳ, δι' οὗ παραδίδοται." Καὶ αὐτοὶ 23 σξθ
ἤρξαντο [5]συζητεῖν πρὸς ἑαυτούς, τό, τίς ἄρα εἴη ἐξ α
αὐτῶν ὁ τοῦτο μέλλων πράσσειν. [c]Ἐγένετο δὲ καὶ 24 ΟΖ'.
φιλονεικία ἐν αὐτοῖς, τό, τίς αὐτῶν δοκεῖ εἶναι μείζων. σο
[d]ὁ δὲ εἶπεν αὐτοῖς, "Οἱ βασιλεῖς τῶν ἐθνῶν κυριεύ- 25 β
ουσιν αὐτῶν, καὶ οἱ ἐξουσιάζοντες αὐτῶν εὐεργέται
καλοῦνται. [e]ὑμεῖς δὲ οὐχ οὕτως· ἀλλ' ὁ μείζων ἐν 26
ὑμῖν γενέσθω[6] ὡς [f]ὁ νεώτερος· καὶ [g]ὁ ἡγούμενος ὡς ὁ
διακονῶν. τίς γὰρ μείζων, [h]ὁ ἀνακείμενος, ἢ ὁ διακο- 27 σοα
νῶν; οὐχὶ ὁ ἀνακείμενος; [i]ἐγὼ δέ εἰμι ἐν μέσῳ ὑμῶν[7] ι
ὡς ὁ διακονῶν. Ὑμεῖς δέ ἐστε οἱ διαμεμενηκότες 28
μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου· [k]κἀγὼ διατίθεμαι 29
ὑμῖν, καθὼς διέθετό μοι ὁ πατήρ μου, [l]βασιλείαν[8],
[m]ἵνα ἐσθίητε[9] καὶ πίνητε ἐπὶ τῆς τραπέζης μου ἐν τῇ 30
βασιλείᾳ μου, καὶ [n]καθίσησθε[10] ἐπὶ θρόνων, κρίνοντες σοβ
[o]τὰς δώδεκα φυλὰς[11] τοῦ Ἰσραήλ." Εἶπε δὲ [p]ὁ Κύριος[12], 31 ΟΗ' ε
"Σίμων, Σίμων, ἰδού, ὁ Σατανᾶς [pp]ἐξῃτήσατο ὑμᾶς, σογ
[q]τοῦ σινιάσαι ὡς τὸν σῖτον· [r]ἐγὼ δὲ ἐδεήθην περὶ 32 ι
σοῦ, ἵνα μὴ ἐκλείπῃ[13] ἡ πίστις σου· καὶ σύ ποτε σοδ θ
[s]ἐπιστρέψας στήριξον[14] τοὺς ἀδελφούς σου." [t]Ὁ δὲ 33 σοε
εἶπεν[15] αὐτῷ, "Κύριε, μετὰ σοῦ ἕτοιμός εἰμι καὶ εἰς α
φυλακὴν καὶ εἰς θάνατον πορεύεσθαι." Ὁ δὲ εἶπε, 34
"Λέγω σοι, Πέτρε, οὐ μὴ[16] φωνήσει σήμερον ἀλέκ-
τωρ, [u]πρὶν ἢ[17] τρὶς ἀπαρνήσῃ μὴ εἰδέναι με[18]." Καὶ 35 σος ι
εἶπεν αὐτοῖς, "Ὅτε ἀπέστειλα ὑμᾶς ἄτερ [x]βαλαν-
τίου[19] καὶ [x]πήρας καὶ [x]ὑποδημάτων, μή τινος ὑστερή-
σατε;" Οἱ δὲ εἶπον[20], "Οὐδενός[21]." Εἶπεν οὖν[22] αὐ- 36
τοῖς, "Ἀλλὰ νῦν ὁ ἔχων βαλάντιον[23] ἀράτω, ὁμοίως

[a] ver. 21—23, Matt. 26. 21—24. Marc. 14. 18—21. Cf. Joan. 13. 18, 21, 22, 26. [b] Act. 2. 23; 4. 28; 10. 42; 17. 31. Rom. 1. 4. [c] Marc. 9. 33, 34. cap. 9. 46. [d] ver. 25—27, cf. Matt. 20. 25—28. Marc. 10. 42—45. [e] cap. 9. 48. Marc. 9. 35. [f] 1 Pet. 5. 5. [g] Act. 15. 22. Heb. 13. 7, 17, 24. [h] Cf. cap. 12. 37. [i] Cf. Joan. 13. 4, 5. [k] Cf. Matt. 24. 47. [l] Vid. Matt. 25. 34. [m] Cf. ver. 16. cap. 14. 15. Rev. 19. 9. [n] Vid. Matt. 19. 28. [o] Act. 26. 7. Jac. 1. 1. [p] Vid. cap. 7. 19. [pp] Job 1. 6—12; 2. 1—6. 2 Cor. 2. 11. 1 Pet. 5, 8. [q] Amos 9. 9. [r] Joan. 17. 9, 11. [s] Vid. Matt. 13. 15. [t] ver. 33, 34, Matt. 26. 33—35. Marc. 14. 29, 31. Joan. 13. 38. [u] ver. 61. [x] Matt. 10. 10. Marc. 6. 8. cap. 9. 3; 10. 4.

[1] ἐκχυννόμενον LTTrWH. [2] *Ab* τὸ ὑπὲρ ὑμῶν διδόμενον *ver.* 19 *usque ad* ἐκχυν. *ver.* 20 *inter duplices uncos ponit* WH (⟦ ⟧). *Omittit* R *marg.* [3] ὅτι ὁ υἱὸς μὲν TTrWHR, *at* καὶ ὁ υἱὸς μὲν L *marg.* Tr *marg.* [4] κατὰ τὸ ὡρισμένον πορεύεται LTTrWHR. [5] συν- LTTrWH. [6] γινέσθω TTrWHR. [7] ἐν μέσῳ ὑμῶν εἰμὶ TTrWHR. [8] μου βασιλείαν, WH (*non marg.*) R *marg.* [9] ἔσθητε LTTrWH. [10] καθίσεσθε LR, καθήσεσθε TTrWH *marg.*, καθῆσθε Tr *marg.* (*corr.*) WH *text.* [11] τὰς δώδεκα φυλὰς κρίνοντες Tr *marg.* WH. [12] —Εἶπε δὲ ὁ κύριος T[Tr]WHR. [13] ἐκλίπῃ LTTrWHR. [14] στήρισον LTTrWH. [15] εἶπεν δὲ αὐτῷ L *marg.* [16] —μὴ TTrWHR. [17] ἕως LTTrWHR. [18] με ἀπαρνήσῃ εἰδέναι LTrWHR. [19] βαλλαντίου LTTrWH. [20] εἶπαν LTTrWH. [21] Οὐθενός TTrWH. [22] ὁ δὲ εἶπεν TR, εἶπεν δὲ Tr (*non marg.*) WH. [23] βαλλάντιον LTTrWH.

καὶ πήραν· καὶ ὁ μὴ ἔχων[1] πωλησάτω τὸ ἱμάτιον
σοζ 37 αὐτοῦ, καὶ ἀγορασάτω[1] μάχαιραν. λέγω γὰρ ὑμῖν,
η ὅτι ἔτι[2] τοῦτο τὸ γεγραμμένον δεῖ τελεσθῆναι ἐν
ἐμοί, τό[3], [a]‘Καὶ μετὰ ἀνόμων ἐλογίσθη·’ καὶ γὰρ[4]
σοη 38 [b]τὰ[5] περὶ ἐμοῦ τέλος ἔχει.” Οἱ δὲ εἶπον[6], “Κύριε,
ι ἰδού, [c]μάχαιραι ὧδε δύο.” Ὁ δὲ εἶπεν αὐτοῖς, “Ἱκα-
νόν ἐστι.”
σοθ 39 ΚΑΙ ἐξελθὼν ἐπορεύθη [d]κατὰ τὸ ἔθος [e]εἰς τὸ ὄρος
α τῶν ἐλαιῶν· ἠκολούθησαν δὲ αὐτῷ καὶ[7] οἱ μαθηταὶ
σπ 40 αὐτοῦ[8]. [f]γενόμενος δὲ ἐπὶ τοῦ τόπου, εἶπεν αὐτοῖς,
β σπα 41 [g]“Προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμόν.” Καὶ
α αὐτὸς [h]ἀπεσπάσθη ἀπ' αὐτῶν ὡσεὶ λίθου βολήν, καὶ
42 [i]θεὶς τὰ γόνατα προσηύχετο, λέγων, “Πάτερ, εἰ βού-
σπβ λει παρενεγκεῖν[9] τὸ ποτήριον τοῦτο[10] ἀπ' ἐμοῦ· πλὴν
α σπγ 43 μὴ τὸ θέλημά μου, [k]ἀλλὰ τὸ σὸν γενέσθω[11, 12].” Ὤφθη
ι 44 δὲ αὐτῷ [l]ἄγγελος ἀπ'[13] οὐρανοῦ ἐνισχύων αὐτόν. καὶ
[m]γενόμενος ἐν ἀγωνίᾳ, [n]ἐκτενέστερον προσηύχετο. ἐγένετο
δὲ[14] ὁ ἱδρὼς αὐτοῦ ὡσεὶ θρόμβοι αἵματος καταβαίνοντες[15]
σπδ 45 ἐπὶ τὴν γῆν[16]. Καὶ ἀναστὰς ἀπὸ τῆς προσευχῆς,
β ἐλθὼν πρὸς τοὺς μαθητάς[17], εὗρεν αὐτοὺς κοιμωμέν-
46 ους[18] ἀπὸ τῆς λύπης, καὶ εἶπεν αὐτοῖς, “Τί καθεύ-
δετε; ἀναστάντες [g]προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε
εἰς πειρασμόν.”
σπε 47 [o]Ἔτι δὲ[19] αὐτοῦ λαλοῦντος, ἰδού, ὄχλος, καὶ ὁ λεγό-
α μενος Ἰούδας, εἷς τῶν δώδεκα, προήρχετο αὐτῶν[20],
σπϛ 48 καὶ ἤγγισε τῷ Ἰησοῦ φιλῆσαι αὐτόν. ὁ δὲ Ἰησοῦς[21]
β εἶπεν αὐτῷ, “Ἰούδα, φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώ-
σπζ 49 που παραδίδως;” Ἰδόντες δὲ οἱ περὶ αὐτὸν τὸ ἐσό-
α μενον εἶπον[22] αὐτῷ[23], “Κύριε, εἰ πατάξομεν [c]ἐν μα-
50 χαίρᾳ[24];” Καὶ ἐπάταξεν εἷς τις ἐξ αὐτῶν τὸν δοῦλον
τοῦ ἀρχιερέως[25], καὶ ἀφεῖλεν αὐτοῦ τὸ οὖς[26] τὸ δεξιόν.

[a] Esa. 53. 12. [b] Cf. Joan. 19. 30. [c] ver. 49. Cf. Matt. 26. 51. [d] cap. 21. 37. Joan. 18. 2. [e] Matt. 21. 1; 26. 30. Marc. 14. 26. [f] ver. 40—46, Matt. 26. 36—46. Marc. 14. 32—42. [g] ver. 46. Vid. Matt. 6. 13. [h] Act. 21. 1. [i] Act. 7. 60; 9. 40; 20. 36; 21. 5. Cf. Eph. 3. 14. [k] Vid. Matt. 6. 10. [l] Cf. Matt. 4. 11. [m] Joan. 12. 27. Heb. 5. 7. [n] Act. 12. 5; 26. 7. 1 Pet. 1. 22; 4. 8. [o] ver. 47—53, Matt. 26. 47—56. Marc. 14. 43—50. Joan. 18. 3—11.

[1] ἔχων,...ἀγορασάτω, R marg. [2] —ἔτι LTTrWHR. [3] ὅτι L (non marg.). [4] [γὰρ] LTr. [5] τὸ TTrWHR. [6] εἶπαν LTTrWH. [7] [καὶ] WH. [8] —αὐτοῦ TTrWHR. [9] παρένεγκε LTrWH, παρενέγκαι T. [10] τοῦτο τὸ ποτήριον TTrWHR. [11] γινέσθω TTrWHR. [12] WH marg. habet (post Πάτερ,) μὴ τὸ θέλημά μου ἀλλὰ τὸ σὸν γενέσθω· εἰ βούλει παρένεγκε τοῦτο τὸ ποτήριον ἀπ' ἐμοῦ. [13] ἀπὸ τοῦ LTrWH (non marg.). [14] καὶ ἐγένετο TWH (non marg.). [15] καταβαίνοντος T. [16] vv. 43, 44, uncinis includit L (ἱδρῶς Tr, etiam ἐπὶ τῆς γῆς Tr marg.), inter duplices uncos ponit WH: omittit R marg. [17] + αὐτοῦ E. [18] κοιμωμένους αὐτοὺς TTrWH. [19] —δὲ LTTrWHR. [20] αὐτοὺς LTTrWH. [21] Ἰησοῦς δὲ TTrWH. [22] εἶπαν LTTrWH. [23] —αὐτῷ TTrWHR. [24] μαχαίρῃ TTrWH. [25] τοῦ ἀρχιερέως τὸν δοῦλον TTr (non marg.) WH. [26] τὸ οὖς αὐτοῦ LTTrWH.

ἀποκριθεὶς δὲ ὁ[1] Ἰησοῦς εἶπεν, "Ἐᾶτε ἕως τούτου." 51 σπη
Καὶ ἁψάμενος τοῦ ὠτίου **αὐτοῦ**[2], ἰάσατο αὐτόν. ι
Εἶπε δὲ ὁ[3] Ἰησοῦς πρὸς τοὺς παραγενομένους **ἐπ'**[4] 52 σπθ
αὐτὸν ἀρχιερεῖς καὶ [a]στρατηγοὺς τοῦ ἱεροῦ καὶ πρεσ- α
βυτέρους, "Ὡς ἐπὶ λῃστὴν **ἐξεληλύθατε**[5] μετὰ μα-
χαιρῶν καὶ ξύλων;* καθ' ἡμέραν ὄντος μου μεθ' ὑμῶν 53
ἐν τῷ ἱερῷ, οὐκ ἐξετείνατε τὰς χεῖρας ἐπ' ἐμέ. **ἀλλ'**[6]
αὕτη **ὑμῶν ἐστιν**[7] [b]ἡ ὥρα, καὶ [c]ἡ ἐξουσία τοῦ σκότους."
[d]ΣΥΛΛΑΒΟΝΤΕΣ δὲ αὐτὸν ἤγαγον, **καὶ εἰσήγα-** 54 σϛ
γον[8] **αὐτὸν**[9] εἰς **τὸν οἶκον**[10] τοῦ ἀρχιερέως· [e]ὁ δὲ Πέ- α
τρος ἠκολούθει μακρόθεν. **ἁψάντων**[11] δὲ πῦρ ἐν μέσῳ 55 σϛα
[f]τῆς αὐλῆς, καὶ **συγκαθισάντων**[12] **αὐτῶν**[13], ἐκάθητο ὁ α
Πέτρος **ἐν μέσῳ**[14] αὐτῶν. [g]ἰδοῦσα δὲ αὐτὸν παιδίσκη 56
τις καθήμενον πρὸς τὸ φῶς, καὶ ἀτενίσασα αὐτῷ,
εἶπε, "Καὶ οὗτος σὺν αὐτῷ ἦν." Ὁ δὲ ἠρνήσατο 57 σϛβ
αὐτόν[15], λέγων, "**Γύναι, οὐκ οἶδα αὐτόν**[16]." Καὶ μετὰ 58 α
βραχὺ [h]ἕτερος ἰδὼν αὐτὸν ἔφη, "Καὶ σὺ ἐξ αὐτῶν
εἶ." Ὁ δὲ Πέτρος **εἶπεν**[17], "Ἄνθρωπε, οὐκ εἰμί."
Καὶ διαστάσης ὡσεὶ ὥρας μιᾶς, [i]ἄλλος τις [k]διϊσχυρί- 59
ζετο†, λέγων, "Ἐπ' ἀληθείας καὶ οὗτος μετ' αὐτοῦ
ἦν· καὶ γὰρ Γαλιλαῖός ἐστιν." Εἶπε δὲ ὁ Πέτρος, 60
"Ἄνθρωπε, οὐκ οἶδα ὃ λέγεις." Καὶ παραχρῆμα,
ἔτι λαλοῦντος αὐτοῦ, ἐφώνησεν ὁ[18] ἀλέκτωρ· καὶ 61 σϛγ
στραφεὶς [l]ὁ Κύριος [m]ἐνέβλεψε τῷ Πέτρῳ· καὶ ὑπε- β
μνήσθη ὁ Πέτρος τοῦ **λόγου**[19] [l]τοῦ Κυρίου, ὡς εἶπεν
αὐτῷ, "Ὅτι, [n]πρὶν[20] ἀλέκτορα φωνῆσαι[21], ἀπαρνήσῃ
με τρίς." **Καὶ ἐξελθὼν ἔξω ὁ Πέτρος**[22] **ἔκλαυσε** 62
πικρῶς[23].
[o]Καὶ οἱ ἄνδρες οἱ συνέχοντες **τὸν Ἰησοῦν**[24] ἐνέπαι- 63 σϛδ
ζον αὐτῷ, δέροντες· καὶ περικαλύψαντες αὐτόν, **ἔτυπ-** 64 α
τον αὐτοῦ τὸ πρόσωπον, καὶ[25] ἐπηρώτων **αὐτόν**[26], λέ-

[a] Vid. ver. 4.
[b] Marc. 14. 35, 41. Joan. 12. 27; 16. 4.
[c] Col. 1. 13. Cf. Act. 26. 18. Eph. 6. 12.
[d] Matt. 26. 57. Marc. 14. 53.
[e] Matt. 26. 58. Marc. 14. 54. Joan. 18. 15.
[f] Vid. Matt. 26. 3.
[g] ver. 56—62, Matt. 26. 69—75. Marc. 14. 66—72. Joan. 18. 16—18, 25—27.
[h] Cf. Joan. 18. 26.
[i] Cf. Matt. 26. 73.
[k] Act. 12. 15.
[l] Vid. cap. 7. 19.
[m] cap. 20. 17.
[n] ver. 34.
[o] ver. 63—65, cf. Matt. 26. 67, 68. Marc. 14. 65. Joan. 18. 22, 23.

[1] [ὁ] WH. [2] —αὐτοῦ TTrWHR. [3] —ὁ LTTrWH. [4] πρὸς T. [5] ἐξήλθατε LTrWH (ἐξήλθετε R). [6] ἀλλὰ Tr. [7] ἐστὶν ὑμῶν LTTrWH. [8] [καὶ εἰσήγαγον] Tr *marg.* [9] —αὐτὸν LTTrWHR. [10] τὴν οἰκίαν TTrWH. [11] περιαψάντων TTr (*non marg.*) WHR. [12] περικαθισάντων L (*non marg.*), συνκαθισάντων TWH. [13] —αὐτῶν LTTrWHR. [14] μέσος TTrWH. [15] —αὐτὸν LTrWHR. [16] Οὐκ οἶδα αὐτόν, γύναι TTr (*non marg.*) WHR. [17] ἔφη TTrWHR. [18] —ὁ LTTrWHR. [19] ῥήματος Tr *marg.* WHR. [20] + [ἢ] Tr *marg.* [21] + σήμερον TTrWHR. [22] —ὁ Πέτρος TTrWHR. [23] [καὶ ἐξελθὼν ἔξω ἔκλαυσεν πικρῶς] WH. [24] αὐτὸν LTTrWHR. [25] —ἔτυπτον αὐτοῦ τὸ πρόσωπον, καὶ TTr[L]WHR. [26] —αὐτόν TTrWH. * · *pro* ; T. † διισχ. LWH.

γοντες, "Προφήτευσον, τίς ἐστιν ὁ παίσας σε;"
65 Καὶ ἕτερα πολλὰ [a] βλασφημοῦντες ἔλεγον εἰς αὐτόν.
σξε β 66 [b] Καὶ ὡς ἐγένετο ἡμέρα, συνήχθη τὸ [c] πρεσβυτέριον
τοῦ λαοῦ, ἀρχιερεῖς τε καὶ γραμματεῖς, καὶ **ἀνήγαγον**[1]
σξς ι 67 αὐτὸν εἰς τὸ [d] συνέδριον **ἑαυτῶν**[2], [e] λέγοντες, "Εἰ σὺ εἶ
ὁ Χριστός,* **εἰπὲ**[3] ἡμῖν." Εἶπε δὲ αὐτοῖς, "Ἐὰν ὑμῖν
68 εἴπω, οὐ μὴ πιστεύσητε· ἐὰν δὲ **καὶ**[4] ἐρωτήσω, οὐ
σξζ α 69 μὴ ἀποκριθῆτέ **μοι**[5], **ἢ ἀπολύσητε**[6]. ἀπὸ τοῦ νῦν[7]
ἔσται ὁ υἱὸς τοῦ ἀνθρώπου [f] καθήμενος ἐκ δεξιῶν
σξη ι 70 τῆς δυνάμεως τοῦ Θεοῦ." **Εἶπον**[8] δὲ πάντες, "Σὺ
οὖν εἶ [g] ὁ υἱὸς τοῦ Θεοῦ;" Ὁ δὲ πρὸς αὐτοὺς ἔφη,
σξθ β 71 [h] "Ὑμεῖς λέγετε, ὅτι ἐγώ εἰμι.[9]" Οἱ δὲ **εἶπον**[10], "Τί
ἔτι **χρείαν ἔχομεν μαρτυρίας**[11]; αὐτοὶ γὰρ ἠκούσαμεν
ἀπὸ τοῦ στόματος αὐτοῦ."

τ α **23** [b] ΚΑΙ ἀναστὰν ἅπαν τὸ πλῆθος αὐτῶν, **ἤγαγεν**[12]
τα ι 2 αὐτὸν ἐπὶ τὸν **Πιλάτον**[13]. [i] ἤρξαντο δὲ κατηγορεῖν αὐ-
τοῦ, λέγοντες, "Τοῦτον **εὕρομεν**[14] [k] διαστρέφοντα τὸ
ἔθνος[15], καὶ [l] κωλύοντα **Καίσαρι φόρους**[16] διδόναι,[17] [k] λέ-
τβ β 3 γοντα **ἑαυτὸν**[18] Χριστὸν† βασιλέα εἶναι." Ὁ δὲ **Πιλά-
τος**[19] **ἐπηρώτησεν**[20] αὐτόν, λέγων, "Σὺ εἶ ὁ βασιλεὺς
τῶν Ἰουδαίων;" Ὁ δὲ ἀποκριθεὶς αὐτῷ ἔφη, [h] "Σὺ
τγ θ 4 λέγεις.[21]" Ὁ δὲ **Πιλάτος**[19] εἶπε πρὸς τοὺς ἀρχιερεῖς
καὶ τοὺς ὄχλους, [m] "Οὐδὲν εὑρίσκω αἴτιον ἐν τῷ ἀν-
θρώπῳ τούτῳ."
τδ ι 5 Οἱ δὲ ἐπίσχυον, λέγοντες, "Ὅτι ἀνασείει τὸν
λαόν, διδάσκων καθ' ὅλης τῆς Ἰουδαίας,[22] [n] ἀρξάμενος
6 ἀπὸ τῆς Γαλιλαίας ἕως ὧδε." **Πιλάτος**[19] δὲ ἀκούσας
Γαλιλαίαν[23] ἐπηρώτησεν εἰ **ὁ**[24] ἄνθρωπος Γαλιλαῖός
7 ἐστι· καὶ ἐπιγνοὺς ὅτι ἐκ τῆς ἐξουσίας [o] Ἡρώδου[25]
ἐστίν, ἀνέπεμψεν αὐτὸν πρὸς[26] Ἡρώδην[27], ὄντα καὶ
8 αὐτὸν ἐν Ἱεροσολύμοις[28] ἐν ταύταις ταῖς ἡμέραις. ὁ
δὲ Ἡρώδης[29] ἰδὼν τὸν Ἰησοῦν ἐχάρη λίαν· [p] ἦν γὰρ

[a] Vid. Matt. 27. 39.
[b] Cf. Matt. 27. 1, 2. Marc. 15. 1. cap. 23. 1. Joan. 18. 24, 28.
[c] Act. 22. 5. 1 Tim. 4. 14.
[d] Vid. Matt. 5. 22.
[e] ver. 67—71, Matt. 26. 63—66. Marc. 14. 61—63. Joan. 18. 19—21.
[f] Cf. Heb. 1. 3.
[g] Vid. Matt. 14. 33.
[h] Matt. 27. 11. cap. 23. 3. Cf. Matt. 26. 64.
[i] ver. 2, 3, Matt. 27. 11—14. Marc. 15. 2, 3. Joan. 18. 29—38; 19. 12.
[k] ver. 14. Cf. Act. 17. 7.
[l] Vid. cap. 20. 22.
[m] ver. 14, 22. Joan. 18. 38; 19. 4, 6. Cf. Act. 3. 13. 1 Pet. 2. 22.
[n] Matt. 4. 12, 23. Marc. 1. 14. Joan. 1. 44; 2. 11.
[o] cap. 8. 2. Vid. Matt. 22. 16.
[p] cap. 9. 9.

[1] ἀπήγαγον TTrWHR. [2] αὐτῶν TTrWHR. [3] εἰπὸν TTrWH. [4] —καὶ LTTrWHR. [5] —μοι T[Tr]WHR. [6] —ἢ ἀπολύσητε T[Tr] WH (*non marg.*) R. [7] + δὲ LTTrWHR. [8] εἶπαν TTrWH. [9] εἰμι; WH *marg.* [10] εἶπαν LTTrWH. [11] ἔχομεν μαρτυρίας χρείαν TTrWH. [12] ἤγαγον LTTrWHR. [13] Πειλᾶτον TWH. [14] εὕραμεν TTrWH. [15] + ἡμῶν LTTrWHR. [16] φόρους Καίσαρι LTTrWH. [17] + καὶ TTr[L]WHR. [18] αὐτὸν Tr *marg.*, αὑτὸν WH. [19] Πειλᾶτος TWH. [20] ἠρώτησεν TTrWHR. [21] λέγεις; WH *marg.* [22] + καὶ TTrWHR. [23] —Γαλιλαίαν T[Tr *marg.*]WHR. [24] [ὁ] WH. [25] Ἡρῴδου WH. [26] + τὸν L. [27] Ἡρῴδην WH. [28] Ἰεροσολύμοις WH. [29] Ἡρῴδης WH.

* ; *pro* , SBE. † χρ. *pro* Χρ. R *marg.*

θέλων [a]ἐξ ἱκανοῦ[1] ἰδεῖν αὐτόν, [b]διὰ τὸ ἀκούειν **πολλὰ**[2]
περὶ αὐτοῦ· καὶ ἤλπιζέ τι σημεῖον ἰδεῖν ὑπ' αὐτοῦ
γινόμενον. ἐπηρώτα δὲ αὐτὸν ἐν λόγοις ἱκανοῖς· 9
αὐτὸς δὲ οὐδὲν ἀπεκρίνατο αὐτῷ. **εἱστήκεισαν**[3] δὲ οἱ 10 τε β
ἀρχιερεῖς καὶ οἱ γραμματεῖς, [c]εὐτόνως κατηγοροῦντες
αὐτοῦ. [d]ἐξουθενήσας δὲ αὐτὸν[4] ὁ Ἡρώδης[5] σὺν τοῖς 11 ΟΘ'.
στρατεύμασιν αὐτοῦ, καὶ ἐμπαίξας, [e]περιβαλὼν **αὐ-** τς
τὸν[6] ἐσθῆτα[7] [f]λαμπράν, ἀνέπεμψεν αὐτὸν τῷ **Πιλά-** ι
τῳ[8]. ἐγένοντο δὲ φίλοι ὅ τε [g]**Πιλάτος**[9] **καὶ ὁ Ἡρώδης**[5,10] 12
ἐν αὐτῇ τῇ ἡμέρᾳ μετ' ἀλλήλων· προϋπῆρχον γὰρ
ἐν ἔχθρᾳ ὄντες πρὸς **ἑαυτούς**[11]. **Πιλάτος**[9] δὲ [12]**συγκαλε-** 13 τζ
σάμενος τοὺς ἀρχιερεῖς καὶ τοὺς [h]ἄρχοντας καὶ τὸν θ
λαόν, εἶπε πρὸς αὐτούς, "Προσηνέγκατέ μοι τὸν 14
ἄνθρωπον τοῦτον, ὡς [i]ἀποστρέφοντα τὸν λαόν· καὶ
ἰδού, ἐγὼ ἐνώπιον ὑμῶν [k]ἀνακρίνας [l]**οὐδὲν**[13] εὗρον ἐν τῷ
ἀνθρώπῳ τούτῳ αἴτιον, ὧν κατηγορεῖτε κατ' αὐτοῦ·
ἀλλ' οὐδὲ Ἡρώδης[5]· **ἀνέπεμψα**[14] γὰρ ὑμᾶς **πρὸς αὐτόν**[15], 15 τη
καὶ ἰδού, οὐδὲν ἄξιον θανάτου ἐστὶ πεπραγμένον ι
αὐτῷ. [m]παιδεύσας οὖν αὐτὸν ἀπολύσω." [n]**Ἀνάγκην** 16 17 τθ
δὲ εἶχεν ἀπολύειν αὐτοῖς κατὰ ἑορτὴν ἕνα.[16] **ἀνέκραξαν**[17] 18 β τι
δὲ [18]**παμπληθεί**, λέγοντες, [o p]"Αἶρε τοῦτον, ἀπόλυσον α
δὲ ἡμῖν τὸν Βαραββᾶν·" ὅστις ἦν διὰ στάσιν τινὰ 19
γενομένην ἐν τῇ πόλει καὶ [q]φόνον **βεβλημένος εἰς φυ-**
λακήν[19]. Πάλιν **οὖν**[20] ὁ **Πιλάτος**[9] προσεφώνησε[21], 20 τια
θέλων ἀπολῦσαι τὸν Ἰησοῦν. οἱ δὲ ἐπεφώνουν, 21 α
λέγοντες, "**Σταύρωσον, σταύρωσον**[22] αὐτόν." Ὁ δὲ 22 τιβ
τρίτον εἶπε πρὸς αὐτούς, "Τί γὰρ κακὸν ἐποίησεν θ
οὗτος; [l]οὐδὲν αἴτιον θανάτου εὗρον ἐν αὐτῷ· παιδεύ-
σας οὖν αὐτὸν ἀπολύσω." Οἱ δὲ ἐπέκειντο φωναῖς 23 τιγ
μεγάλαις, αἰτούμενοι αὐτὸν **σταυρωθῆναι**[23]· καὶ κατ- α
ίσχυον αἱ φωναὶ αὐτῶν **καὶ τῶν ἀρχιερέων**[24]. Ὁ **δὲ**[25] 24 τιδ α

[a] cap. 8. 27. [b] Matt. 14. 1. Marc. 6. 14.
[c] Act. 18. 28.
[d] Vid. Marc. 9. 12.
[e] Cf. Matt. 27. 28. Marc. 15. 17.
[f] Act. 10. 30. Jac. 2. 2, 3.
[g] Act. 4. 27. Cf. Ps. 2. 2.
[h] cap. 24. 20.
[i] ver. 2.
[k] Act. 4. 9; 12. 19; 24. 8; 28. 18.
[l] ver. 4, 22.
[m] Cf. Matt. 27. 26. Joan. 19. 1.
[n] (var. lect.) Matt. 27. 15. Marc. 15. 6. Joan. 18. 39.
[o] ver. 18—25, Matt. 27. 16—26. Marc. 15. 2—5. Cf. Joan. 18. 39—19. 16.
[p] Act. 21. 36; 22. 22.
[q] Act. 3. 14.

[1] *ἐξ ἱκανῶν χρόνων θέλων* LTTrWHR. [2] *—πολλὰ* TTrWHR. [3] *ἱστήκεισαν* WH. [4] *+ καὶ* TWH *marg.* [5] *Ἡρῴδης* WH. [6] *—αὐτὸν* T[LTr]WHR. [7] *ἐσθῆτα* E. [8] *Πειλάτῳ* TWH. [9] *Πειλᾶτος* TWH. [10] *Ἡρώδης καὶ ὁ Πιλᾶτος* L *marg.* TTrWHR. [11] *αὑτούς* TTr, *αὐτούς* WH. [12] *συν-* TWH. [13] *οὐθὲν* TTrWH. [14] *ἀνέπεμψεν* TTr *marg.* WHR. [15] *αὐτὸν πρὸς ἡμᾶς* TTr *marg.* WHR. [16] *Deest v.* 17 *in* TTrWHR, *uncinis includit* L, *post ver.* 19 *ponunt* [Tr *marg.*] R *marg. alter, alter hoc loco, at κατὰ ἑορτὴν ἀπολύειν αὐτοῖς ἕνα* [Tr *marg.*]. [17] *ἀνέκραγον* TTr (*non marg.*) WH. [18] *παν-* TWH. [19] *βληθεὶς* (*βεβλημένος* Tr *marg.*) *ἐν τῇ φυλακῇ* TTrWHR. [20] *δὲ* LTTrWHR. [21] *προσεφώνησεν αὐτοῖς* LWHR. [22] *Σταύρου, σταύρου* LTTrWH. [23] *σταυρῶσαι* WH *marg.* [24] *—καὶ τῶν ἀρχιερέων* TTr *marg.* [LTr]WHR. [25] *καὶ* LTTrWHR.

25 **Πιλάτος**[1] ἐπέκρινε γενέσθαι τὸ αἴτημα αὐτῶν· ἀπέ-
λυσε δὲ **αὐτοῖς**[2] τὸν διὰ στάσιν καὶ φόνον βεβλη-
μένον εἰς **τὴν**[3] φυλακήν, ὃν ᾐτοῦντο· [a]τὸν δὲ Ἰησοῦν
παρέδωκε τῷ θελήματι αὐτῶν.
τιε 26 [b]Καὶ ὡς **ἀπήγαγον**[4] αὐτόν, ἐπιλαβόμενοι **Σίμωνός**
α **τινος Κυρηναίου τοῦ ἐρχομένου**[5] **ἀπ'**[6] ἀγροῦ, ἐπέθηκαν
Π'. 27 αὐτῷ τὸν σταυρόν, φέρειν ὄπισθεν τοῦ Ἰησοῦ. Ἠκο-
τις λούθει δὲ αὐτῷ πολὺ πλῆθος τοῦ λαοῦ, καὶ γυναι-
ι 28 κῶν αἳ **καὶ**[7] [c]ἐκόπτοντο καὶ ἐθρήνουν αὐτόν. στρα-
φεὶς δὲ πρὸς αὐτὰς **ὁ**[8] Ἰησοῦς εἶπε, [d]"Θυγατέρες
Ἱερουσαλήμ[9], μὴ κλαίετε ἐπ' ἐμέ, πλὴν ἐφ' ἑαυτὰς
29 κλαίετε καὶ ἐπὶ τὰ τέκνα ὑμῶν. ὅτι ἰδού, ἔρχονται
ἡμέραι ἐν αἷς ἐροῦσι, [e]Μακάριαι αἱ στεῖραι, καὶ[10] κοι-
λίαι αἳ οὐκ ἐγέννησαν, καὶ μαστοὶ οἳ οὐκ **ἐθήλασαν**[11].
30 τότε [f]ἄρξονται [g]λέγειν τοῖς ὄρεσι, **Πέσετε**[12] ἐφ' ἡμᾶς·
31 καὶ τοῖς βουνοῖς, Καλύψατε ἡμᾶς. ὅτι, [h]εἰ ἐν **τῷ**[13]
[i]ὑγρῷ ξύλῳ ταῦτα ποιοῦσιν, ἐν τῷ [i]ξηρῷ τί γένηται;"
τιζ 32 [k]Ἤγοντο δὲ καὶ ἕτεροι **δύο κακοῦργοι**[14] σὺν αὐτῷ
α ἀναιρεθῆναι.
τιη 33 [l]Καὶ ὅτε **ἀπῆλθον**[15] ἐπὶ τὸν τόπον τὸν καλούμενον
α Κρανίον, ἐκεῖ ἐσταύρωσαν αὐτόν, καὶ τοὺς κακούρ-
τιθ α 34 γους, ὃν μὲν ἐκ δεξιῶν, ὃν δὲ ἐξ[16] ἀριστερῶν. [17][m]**ὁ δὲ**
τκ ι **Ἰησοῦς ἔλεγε,** [n]**"Πάτερ, ἄφες αὐτοῖς·** [o]**οὐ γὰρ οἴδασι τί**
τκα **ποιοῦσι."** [p]Διαμεριζόμενοι δὲ τὰ ἱμάτια αὐτοῦ, ἔβα-
α 35 λον **κλῆρον**[18]. καὶ [q]**εἱστήκει**[19] ὁ λαὸς θεωρῶν. [r]Ἐξεμυ-
τκβ κτήριζον δὲ **καὶ**[20] οἱ ἄρχοντες **σὺν αὐτοῖς**[21], [s]λέγοντες,
β "Ἄλλους ἔσωσε, σωσάτω ἑαυτόν, εἰ οὗτός ἐστιν ὁ
τκγ 36 Χριστός, **ὁ τοῦ Θεοῦ** [t]**ἐκλεκτός**[22]." **Ἐνέπαιζον**[23] δὲ αὐτῷ
β καὶ οἱ στρατιῶται, προσερχόμενοι [u]**καὶ**[24] ὄξος προσ-
37 φέροντες αὐτῷ, καὶ λέγοντες, "**Εἰ**[25] σὺ εἶ [x]ὁ βασιλεὺς
1 ποιήσω LTrWHR. 2 τετράμηνός LTTrWHR. 3 . (· WH.R marg.) ἤδη TTr marg. WH.R marg. 4 —καὶ TTr[L]WHR. 5 —καὶ TrWHR. 6 —ὁ BTTrWHR. 7 ἀπέσταλκα T. 8 Σαμαριτῶν T. 9 ἃ TTr (non marg.) WHR. 10 ἦλθον οὖν Tr marg. 11 Σαμαρῖται T. 12 [ὅτι] LWH. 13 οὐκ ἔτι S. 14 λαλιάν σου Tr marg. WH marg. 15 —ὁ Χριστός LTTrWHR. 16 —καὶ ἀπῆλθεν TTr[L]WHR. 17 —ὁ LTTrWH. 18 ὡς T. 19 ὅσα LTrWHR. 20 Ἱεροσολύμοις WH. 21 —ὁ Ἰησοῦς LTTrWHR. 22 Κανὰ WH. 23 Ἦν δέ τις TWH marg.

[a] ver. 49. [b] Luc. 4. 23. [c] ver. 3, 54. [d] ver. 49, 51. cap. 2. 12. [e] Dan. 4. 2, 3; 6. 27. Matt. 24. 24. Marc. 13. 22. Act. 2. 19, 22, 43; 4. 30; 5. 12; 6. 8; 7. 36; 14. 3; 15. 12. Rom. 15. 19. 2 Cor. 12. 12. 2 Thess. 2. 9. Heb. 2. 4. [f] Cf. Marc. 5. 35. Luc. 8. 49. cap. 11. 21, 32. [g] cap. 2. 11. [h] ver. 45, 46. [i] (var. lect.) Vid. cap. 2. 13. [k] Neh. 3. 32; 12. 39. [l] cap. 19. 13, 17, 20; 20. 16 (var. lect.). Rev. 9. 11; 16. 16. Cf. Act. 21. 40. [m] Matt. 12. 10. Luc. 6. 6, 8. [n] ver. 7.

[a] **βασιλικὸς**[1], οὗ ὁ υἱὸς ἠσθένει [b] ἐν **Καπερναούμ**[2]. οὗτος 47
ἀκούσας ὅτι [c] Ἰησοῦς ἥκει ἐκ τῆς Ἰουδαίας εἰς τὴν
Γαλιλαίαν, ἀπῆλθε πρὸς αὐτόν, καὶ ἠρώτα **αὐτὸν**[3]
ἵνα [d] καταβῇ καὶ ἰάσηται αὐτοῦ τὸν υἱόν· ἤμελλε γὰρ
ἀποθνήσκειν. εἶπεν οὖν ὁ Ἰησοῦς πρὸς αὐτόν, "Ἐὰν 48
μὴ [e] σημεῖα καὶ [e] τέρατα ἴδητε, οὐ μὴ πιστεύσητε.[4]"
Λέγει πρὸς αὐτὸν ὁ [a] **βασιλικός**[1], "Κύριε, [d] κατάβηθι 49
[f] πρὶν ἀποθανεῖν τὸ παιδίον μου." Λέγει αὐτῷ ὁ 50
Ἰησοῦς, "Πορεύου· ὁ υἱός σου ζῇ." **Καὶ**[5] ἐπίστευ-
σεν ὁ ἄνθρωπος τῷ λόγῳ **ᾧ**[6] εἶπεν αὐτῷ [7] Ἰησοῦς,
καὶ ἐπορεύετο. ἤδη δὲ αὐτοῦ [d] καταβαίνοντος, οἱ 51
δοῦλοι **αὐτοῦ**[8] **ἀπήντησαν**[9] αὐτῷ, **καὶ ἀπήγγειλαν**[10] **λέ-
γοντες**[11], "Ὅτι ὁ παῖς **σου**[12] ζῇ." Ἐπύθετο οὖν **παρ'** 52
αὐτῶν τὴν ὥραν[13] ἐν ᾗ κομψότερον ἔσχε· **καὶ εἶπον**[14]
αὐτῷ, "Ὅτι **χθὲς**[15] ὥραν ἑβδόμην ἀφῆκεν αὐτὸν ὁ
πυρετός." Ἔγνω οὖν ὁ πατήρ, ὅτι **ἐν**[16] ἐκείνῃ τῇ ὥρᾳ, 53
ἐν ᾗ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, "**Ὅτι**[17] ὁ υἱός σου ζῇ."
Καὶ ἐπίστευσεν αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ ὅλη. τοῦτο[18] 54
πάλιν [g] δεύτερον σημεῖον ἐποίησεν ὁ Ἰησοῦς, [c h] ἐλθὼν
ἐκ τῆς Ἰουδαίας εἰς τὴν Γαλιλαίαν.

ΜΕΤΑ ταῦτα ἦν[19] [i] ἑορτὴ τῶν Ἰουδαίων, καὶ ἀνέβη 5 λη
ὁ[20] Ἰησοῦς εἰς Ἱεροσόλυμα[21]. Ἔστι δὲ ἐν τοῖς Ἱερο- 2 α
σολύμοις[21] ἐπὶ [k] τῇ προβατικῇ κολυμβήθρα[22], **ἡ ἐπιλε-
γομένη**[23] [l] Ἑβραϊστὶ[24] **Βηθεσδά**[25], πέντε στοὰς ἔχουσα.
ἐν ταύταις κατέκειτο πλῆθος **πολὺ**[26] τῶν ἀσθενούντων, 3
τυφλῶν, χωλῶν, [m] ξηρῶν, [27] **ἐκδεχομένων τὴν τοῦ ὕδατος
κίνησιν. ἄγγελος γὰρ**[28] **κατὰ καιρὸν κατέβαινεν ἐν τῇ** 4
κολυμβήθρᾳ, [n] **καὶ ἐτάρασσε τὸ**[29] **ὕδωρ· ὁ οὖν πρῶτος ἐμ-
βὰς μετὰ τὴν ταραχὴν τοῦ ὕδατος, ὑγιὴς ἐγίνετο, ᾧ
δήποτε**[30] **κατείχετο νοσήματι.** Ἦν δέ τις ἄνθρωπος 5 Ζ'.
ἐκεῖ **τριακονταοκτὼ**[31] ἔτη ἔχων ἐν τῇ ἀσθενείᾳ[32]. τοῦτον 6

[1] βασιλίσκος WH *marg.* [2] Καφαρναούμ LTTrWH. [3] —αὐτὸν TTr[L]WHR. [4] ; WH *marg.* [5] —Καὶ T[LTr]WHR. [6] ὃν LTTrWH. [7] + ὁ LTTrWH. [8] —αὐτοῦ T. [9] ὑπήντησαν LTTrWHR. [10] καὶ ἤγγειλαν T, — καὶ ἀπήγγειλαν [Tr] WHR. [11] —λέγοντες T. [12] αὐτοῦ LTTrWHR. [13] τὴν ὥραν παρ' αὐτῶν LTTrWH. [14] εἶπον οὖν TTr (*non marg.*) WHR (εἶπαν WH). [15] ἐχθὲς LTTrWH. [16] —ἐν T[Tr]WHR. [17] —Ὅτι LTTrWHR. [18] + δὲ Tr[Tr *marg.* WH]. [19] + ἡ TR *marg.* [20] —ὁ LTTrWH. [21] Ἰεροσ-. WH. [22] *qu.* κολυμβήθρᾳ Tr *marg.* [23] τὸ λεγόμενον T. [24] Ἐβραϊστὶ WH. [25] Βηθσαϊδά L *marg.*, Βηθζαθά T WH *text.*, Βηθσαιδά WH *marg.*, Βηθσαϊδά *vel* Βηθζαθά R *marg.* [26] —πολὺ TTr[L]WHR. [27] *Ab* ἐκδεχομένων *v.* 3 *usque ad fin. v.* 4 *omittunt* TTrWH.R (*non marg.*). [28] + κυρίου [L] R *marg.* [29] ἐταράσσετο τὸ L *marg.* [30] οἱῳδηποτοῦν L. [31] τριάκοντα καὶ (—καὶ Tr[LTr *marg.* WH]) ὀκτὼ LTTrWH. [32] + αὐτοῦ TTr[L]WHR.

ἰδὼν ὁ Ἰησοῦς κατακείμενον, καὶ γνοὺς ὅτι πολὺν
ἤδη χρόνον ἔχει, λέγει αὐτῷ, "Θέλεις ὑγιὴς γενέσ-
7 θαι;" ἀπεκρίθη αὐτῷ ὁ ἀσθενῶν, "Κύριε, ἄνθρωπον
οὐκ ἔχω, ἵνα [a]ὅταν ταραχθῇ τὸ ὕδωρ, **βάλλῃ**[1] με εἰς — [a] ver. 4 (var. lect.).
τὴν κολυμβήθραν· ἐν ᾧ δὲ ἔρχομαι ἐγώ, ἄλλος πρὸ[2]
8 ἐμοῦ καταβαίνει." Λέγει αὐτῷ ὁ Ἰησοῦς, [b]"**Ἔγει-** — [b] Matt. 9. 6. Marc. 2. 11. Luc. 5. 24.
ραι[3], [4]ἆρον τὸν **κράββατόν**[5] σου, καὶ περιπάτει."
9 Καὶ **εὐθέως**[6] ἐγένετο ὑγιὴς ὁ ἄνθρωπος, καὶ ἦρε τὸν
κράββατον[5] αὐτοῦ, καὶ περιεπάτει. [c]ἦν δὲ σάββατον — [c] cap. 9. 14.
10 ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. Ἔλεγον οὖν οἱ Ἰουδαῖοι τῷ
τεθεραπευμένῳ, "Σάββατόν ἐστιν· [7][d]οὐκ ἔξεστί σοι — [d] Neh. 13. 19. Jer. 17. 21, 22. cap. 7. 23; 9. 16. Vid. Matt. 12. 2.
λθ 11 ἆραι τὸν **κράββατον**[5,8]." [9]Ἀπεκρίθη αὐτοῖς, "Ὁ
ι ποιήσας με ὑγιῆ, ἐκεῖνός μοι εἶπεν, Ἆρον τὸν **κράβ-**
12 **βατόν**[5] σου, καὶ περιπάτει." Ἠρώτησαν **οὖν**[10] αὐ-
τόν, "Τίς ἐστιν ὁ ἄνθρωπος ὁ εἰπών σοι, Ἆρον **τὸν**
13 **κράββατόν**[5] **σου**[11], καὶ περιπάτει;" Ὁ δὲ **ἰαθεὶς**[12] οὐκ
ᾔδει τίς ἐστιν· ὁ γὰρ Ἰησοῦς ἐξένευσεν, ὄχλου ὄντος
14 ἐν τῷ τόπῳ. Μετὰ ταῦτα εὑρίσκει αὐτὸν ὁ[13] Ἰησοῦς
ἐν τῷ ἱερῷ, καὶ εἶπεν αὐτῷ, "Ἴδε ὑγιὴς γέγονας·
[e]μηκέτι ἁμάρτανε, [f]ἵνα μὴ χεῖρόν **τί σοι**[14] γένηται." — [e] cap. 8. 11. [f] Cf. Ezra 9. 14. 1 Cor. 11. 30.
15 [15]Ἀπῆλθεν ὁ ἄνθρωπος, καὶ **ἀνήγγειλε**[16] τοῖς Ἰου-
δαίοις, ὅτι Ἰησοῦς ἐστιν ὁ ποιήσας αὐτὸν ὑγιῆ.
16 Καὶ διὰ τοῦτο ἐδίωκον **τὸν Ἰησοῦν οἱ Ἰουδαῖοι**[17],
[g]**καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι**[18], ὅτι ταῦτα ἐποίει ἐν — [g] (var. lect.) cap. 7. 1, 19.
17 σαββάτῳ. ὁ δὲ **Ἰησοῦς**[19] ἀπεκρίνατο αὐτοῖς, "Ὁ
πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι."
18 Διὰ τοῦτο **οὖν**[20] μᾶλλον ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι
ἀποκτεῖναι, ὅτι οὐ μόνον ἔλυε τὸ σάββατον, ἀλλὰ
καὶ πατέρα ἴδιον ἔλεγε τὸν Θεόν, [h]ἴσον ἑαυτὸν ποιῶν — [h] Phil. 2. 6. Cf. cap. 19. 7.
19 τῷ Θεῷ. ἀπεκρίνατο οὖν ὁ **Ἰησοῦς**[21] καὶ **εἶπεν**[22] αὐτοῖς,
"Ἀμὴν ἀμὴν λέγω ὑμῖν, οὐ δύναται ὁ υἱὸς [i]ποιεῖν — [i] ver. 30. cap. 8. 28.

[1] βάλῃ LTTrWHR. [2] πρὸς S. [3] Ἔγειρε LTTrWH. [4] + [καὶ] L. [5] κράβαττον LTTrWH. [6] —εὐθέως T. [7] + καὶ T[LTr]WHR. [8] + σου L. [9] + ὃς δὲ LTrWHR. [10] —οὖν TTr *marg.* [LTr]WHR. [11] —τὸν κράββατόν σου T[Tr]WHR. [12] ἀσθενῶν T. [13] [ὁ] WH. [14] σοί τι LTTrWHR. [15] + [καὶ] L. [16] εἶπεν L *marg.* TWH (*non marg.*). [17] οἱ Ἰουδαῖοι τὸν Ἰησοῦν L (*non marg.*) TTrWHR. [18] —καὶ ἐζήτουν αὐτὸν ἀποκτεῖναι TTr[L]WHR. [19] —Ἰησοῦς TWH. [20] —οὖν T. [21] [ὁ Ἰησοῦς] WH. [22] ἔλεγεν TTr *marg.* WH.

ἀφ᾽ ἑαυτοῦ οὐδέν, **ἐὰν**[1] μή τι βλέπῃ τὸν πατέρα
ποιοῦντα· ἃ γὰρ **ἂν ἐκεῖνος ποιῇ**[2], ταῦτα καὶ ὁ υἱὸς
ὁμοίως ποιεῖ[3]. [a]ὁ γὰρ πατὴρ **φιλεῖ**[4] τὸν υἱόν, καὶ 20
πάντα δείκνυσιν αὐτῷ ἃ αὐτὸς ποιεῖ· καὶ [b]μείζονα
τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς **θαυμάζητε**[5]. ὥσ- 21
περ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ [c]ζωοποιεῖ,
οὕτω καὶ [d]ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. οὐδὲ γὰρ ὁ 22
πατὴρ κρίνει οὐδένα, ἀλλὰ [e]τὴν κρίσιν πᾶσαν δέδωκε
τῷ υἱῷ· ἵνα πάντες τιμῶσι τὸν υἱόν, [f]καθὼς τιμῶσι 23
τὸν πατέρα. ὁ μὴ τιμῶν τὸν υἱόν, οὐ τιμᾷ τὸν πα- μ̄
τέρα [g]τὸν πέμψαντα αὐτόν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, 24 α/μα
ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ [h]πιστεύων τῷ πέμ- ι
ψαντί με, [h]ἔχει ζωὴν αἰώνιον· καὶ [i]εἰς κρίσιν οὐκ ἔρ-
χεται, ἀλλὰ [k]μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν
ζωήν. Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι [l]ἔρχεται ὥρα καὶ 25
νῦν ἐστίν, ὅτε οἱ νεκροὶ **ἀκούσονται**[6] τῆς φωνῆς τοῦ
υἱοῦ τοῦ Θεοῦ, καὶ οἱ ἀκούσαντες **ζήσονται**[7]. ὥσπερ 26
γὰρ ὁ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, [m]οὕτως **ἔδωκε καὶ τῷ
υἱῷ**[8] ζωὴν ἔχειν ἐν ἑαυτῷ· καὶ [e]ἐξουσίαν ἔδωκεν αὐτῷ 27
καὶ[9] κρίσιν ποιεῖν, ὅτι [n]υἱὸς ἀνθρώπου ἐστί. [o]μὴ 28
θαυμάζετε τοῦτο· ὅτι [l]ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν
τοῖς μνημείοις **ἀκούσονται**[6] τῆς φωνῆς αὐτοῦ, [p]καὶ 29
ἐκπορεύσονται, [q]οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστα-
σιν ζωῆς· [q]οἱ **δὲ**[10] τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν
κρίσεως. οὐ δύναμαι ἐγὼ [r]ποιεῖν ἀπ᾽ ἐμαυτοῦ οὐδέν. 30
καθὼς ἀκούω, κρίνω· καὶ [s]ἡ κρίσις ἡ ἐμὴ δικαία
ἐστίν· ὅτι [t]οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ [u]τὸ μ̄β
θέλημα τοῦ πέμψαντός με **πατρός**[11]. [x]Ἐὰν ἐγὼ μαρ- 31 α/μγ
τυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀλη- ι
θής. [y]ἄλλος ἐστὶν ὁ μαρτυρῶν περὶ ἐμοῦ, καὶ **οἶδα**[12] 32
[z]ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία ἣν μαρτυρεῖ περὶ ἐμοῦ.
[a]“Ὑμεῖς ἀπεστάλκατε πρὸς **Ἰωάννην**[13], καὶ μεμαρ- 33
τύρηκε τῇ ἀληθείᾳ· ἐγὼ δὲ οὐ παρὰ ἀνθρώπου τὴν 34

[a] Vid. cap. 3. 35.
[b] cap. 14. 12.
[c] Rom. 4. 17; 8. 11.
[d] 1 Cor. 15. 45. Cf. cap. 11. 25.
[e] ver. 27. cap. 9. 39. Act. 10. 42; 17. 31.
[f] Cf. cap. 8. 49.
[g] Luc. 10. 16.
[h] Vid. cap. 3. 15.
[i] cap. 3. 18.
[k] 1 Joan. 3. 14.
[l] ver. 28. Vid. cap. 4. 21.
[m] Vid. cap. 1. 4. Cf. cap. 6. 57.
[n] Vid. cap. 1. 52.
[o] 1 Joan. 3. 13.
[p] 1 Cor. 15. 52.
[q] Dan. 12. 2. Vid. Matt. 25. 46.
[r] ver. 19.
[s] cap. 8. 16.
[t] cap. 6. 38. Vid. Matt. 26. 39.
[u] Vid. cap. 4. 34. Cf. Rom. 15. 3.
[x] Cf. cap. 8. 14.
[y] ver. 37.
[z] cap. 7. 28, 29.
[a] Vid. cap. 1. 7.

[1] ἂν TWH. [2] ἐκεῖνος ποιεῖ L *marg.*, *at* [ἂν] *tantum* Tr. [3] ποιεῖ ὁμοίως T. [4] ἀγαπᾷ L *marg.* [5] θαυμάζετε T. [6] ἀκούσουσιν TTrWH. [7] ζήσουσιν LTTrWH. [8] καὶ τῷ υἱῷ ἔδωκεν L *marg.* TTr (*non marg.*) WHR. [9] —καὶ LTTrWHR. [10] —δὲ T[LTr]WH (*non marg.*). [11] —πατρός LTTrWHR. [12] οἴδατε T. [13] Ἰωάνην TrWH.

[a]μαρτυρίαν λαμβάνω, ἀλλὰ ταῦτα λέγω ἵνα ὑμεῖς
35 σωθῆτε. ἐκεῖνος ἦν ὁ λύχνος ὁ καιόμενος καὶ [b]φαί-
νων, [c]ὑμεῖς δὲ ἠθελήσατε ἀγαλλιασθῆναι[1] [d]πρὸς ὥραν
36 ἐν τῷ φωτὶ αὐτοῦ. ἐγὼ δὲ ἔχω τὴν μαρτυρίαν μείζω[2]
τοῦ Ἰωάννου[3]· [e]τὰ γὰρ ἔργα ἃ ἔδωκέ[4] μοι ὁ πατὴρ
[f]ἵνα τελειώσω αὐτά, αὐτὰ τὰ ἔργα ἃ ἐγὼ[5] ποιῶ, μαρ-
37 τυρεῖ περὶ ἐμοῦ ὅτι ὁ πατήρ με ἀπέσταλκε· καὶ [g]ὁ
πέμψας με πατήρ, [h]αὐτὸς[6] μεμαρτύρηκε περὶ ἐμοῦ.
μδ οὔτε φωνὴν αὐτοῦ ἀκηκόατε πώποτε[7], [i]οὔτε εἶδος αὐ-
γ/με 38 τοῦ ἑωράκατε. καὶ [k]τὸν λόγον αὐτοῦ οὐκ ἔχετε μέ-
ι νοντα ἐν ὑμῖν[8], ὅτι [l]ὃν ἀπέστειλεν ἐκεῖνος, τούτῳ
39 ὑμεῖς οὐ πιστεύετε. [m]Ἐρευνᾶτε[9] τὰς γραφάς, ὅτι
ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν, καὶ [n]ἐκεῖ-
40 ναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ· καὶ οὐ θέλετε
41 ἐλθεῖν πρός με, [o]ἵνα ζωὴν ἔχητε. [p]Δόξαν παρὰ ἀν-
42 θρώπων οὐ λαμβάνω· ἀλλ'[10] ἔγνωκα ὑμᾶς, ὅτι τὴν
43 ἀγάπην τοῦ Θεοῦ οὐκ ἔχετε[11] ἐν ἑαυτοῖς. ἐγὼ ἐλή-
λυθα ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβά-
νετέ με· [q]ἐὰν ἄλλος ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ,
44 ἐκεῖνον λήψεσθε[12]. πῶς δύνασθε ὑμεῖς πιστεῦσαι,
δόξαν παρὰ*ἀλλήλων λαμβάνοντες, καὶ [p]τὴν δόξαν
45 τὴν παρὰ [r]τοῦ μόνου Θεοῦ[13] οὐ ζητεῖτε; μὴ δοκεῖτε
ὅτι ἐγὼ κατηγορήσω ὑμῶν πρὸς τὸν πατέρα· ἔστιν
ὁ κατηγορῶν ὑμῶν, [s]Μωσῆς[14], [t]εἰς ὃν ὑμεῖς ἠλπίκατε.
46 [t]εἰ γὰρ ἐπιστεύετε Μωσῇ[15], ἐπιστεύετε ἂν ἐμοί· [u]περὶ
47 γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. [x]εἰ δὲ τοῖς ἐκείνου [x]γράμ-
μασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασι πιστεύ-
σετε[16];"

μς α 6 ΜΕΤΑ ταῦτα ἀπῆλθεν [y]ὁ Ἰησοῦς πέραν [z]τῆς θα-
2 λάσσης τῆς Γαλιλαίας [a]τῆς Τιβεριάδος· καὶ ἠκολού-
θει[17] αὐτῷ ὄχλος πολύς, ὅτι ἑώρων[18] αὐτοῦ[19] τὰ σημεῖα
μζ γ 3 ἃ ἐποίει ἐπὶ τῶν ἀσθενούντων. ἀνῆλθε δὲ εἰς τὸ ὄρος

[a] 1 Joan. 5. 9.
[b] 2 Pet. 1. 19.
[c] Cf. cap. 3. 24.
[d] Cf. Matt. 13. 21.
[e] cap. 10. 25, 38; 14. 11; 15. 24.
[f] Vid. cap. 4. 34.
[g] ver. 32.
[h] cap. 8. 18. Cf. Matt. 3. 17; 17. 5.
[i] Vid. cap. 1. 18.
[k] cap. 8. 37. 1 Joan. 1. 10.
[l] ver. 46, 47.
[m] Cf. Act. 17. 11.
[n] Cf. Luc. 24. 27.
[o] cap. 10. 10.
[p] ver. 44. cap. 7. 18; 8. 50, 54; 12. 43. Cf. 1 Thess. 2. 6.
[q] Cf. Matt. 24. 5.
[r] cap. 17. 3. 1 Tim. 1. 17. Jud. 25.
[s] Cf. Luc. 16. 29.
[t] Cf. Rom. 2. 17.
[u] Deut. 18. 15. Luc. 24. 27, 44.
[x] cap. 7. 15. Act. 26. 24. 2 Tim. 3. 15.
[y] ver. 1—13, Matt. 14. 13—21. Marc. 6. 32—44. Luc. 9. 10—17.
[z] Matt. 4. 18; 15. 29.
[a] cap. 21. 1. Cf. ver. 23.

1 ἀγαλλιαθῆναι LTTr (*non marg.*) WH, *at* πρὸς ὥραν ἀγαλλιαθῆναι L *marg.* 2 μείζων LTr. 3 Ἰωάνου TrWH. 4 δέδωκέν TTrWHR. 5 —ἐγὼ LTTrWHR. 6 ἐκεῖνος L *marg.* TTr (*non marg.*) WHR. 7 πώποτε ἀκηκόατε LTTrWHR. 8 ἐν ὑμῖν μένοντα L *marg.* TTr (*non marg.*) WHR. 9 ἐραυνᾶτε TTrWH. 10 ἀλλὰ LTTrWH. 11 οὐκ ἔχετε τὴν ἀγάπην τοῦ θεοῦ T. 12 λήμψεσθε LTTrWH. 13 —Θεοῦ [LTr *marg.* WH]R *marg.* 14 Μωυσῆς LT(-ϋ-)TrWH. 15 Μωυσεῖ LT(-ϋ-)TrWH. 16 πιστεύετε *seu* πιστεύσητε Tr *marg.*, πιστεύσετε WH *text.*, πιστεύετε WH *marg.* 17 ἠκολούθει δὲ LTTrWHR. 18 ἐθεώρουν LTrWHR. 19 —αὐτοῦ LTTrWHR. * παρ' WH.

ὁ[1] Ἰησοῦς, καὶ ἐκεῖ **ἐκάθητο**[2] μετὰ τῶν μαθητῶν αὐ-
τοῦ. ἦν δὲ ἐγγὺς [a]**τὸ πάσχα**[3] ἡ ἑορτὴ τῶν Ἰουδαίων. 4 μη/α
[b]ἐπάρας οὖν **ὁ Ἰησοῦς τοὺς ὀφθαλμούς**[4], καὶ θεασά- 5 Η'.
μενος ὅτι πολὺς ὄχλος ἔρχεται πρὸς αὐτόν, λέγει μθ/α
πρὸς **τὸν**[5] [c]Φίλιππον, [d]"Πόθεν **ἀγοράσομεν**[6] ἄρτους,
ἵνα φάγωσιν οὗτοι;" Τοῦτο δὲ ἔλεγε [e]πειράζων αὐ- 6
τόν· αὐτὸς γὰρ ᾔδει τί ἔμελλε ποιεῖν. **ἀπεκρίθη**[7] 7
αὐτῷ[8] [c]Φίλιππος, "Διακοσίων [f]δηναρίων ἄρτοι οὐκ
ἀρκοῦσιν αὐτοῖς, ἵνα ἕκαστος **αὐτῶν**[9] βραχύ **τι**[10]
λάβῃ." Λέγει αὐτῷ εἷς ἐκ τῶν μαθητῶν αὐτοῦ, 8
[g]Ἀνδρέας ὁ ἀδελφὸς Σίμωνος Πέτρου, "Ἔστι παιδά- 9
ριον **ἓν**[11] ὧδε, ὃ[12] ἔχει πέντε ἄρτους κριθίνους καὶ δύο
[h]ὀψάρια· ἀλλὰ ταῦτα τί ἐστιν εἰς τοσούτους;" Εἶπε 10
δὲ[13] ὁ Ἰησοῦς, "Ποιήσατε τοὺς ἀνθρώπους ἀναπε-
σεῖν." [i]ἦν δὲ **χόρτος πολὺς**[14] ἐν τῷ τόπῳ. **ἀνέπεσον**[15]
οὖν **οἱ**[16] ἄνδρες τὸν ἀριθμὸν **ὡσεὶ**[17] πεντακισχίλιοι.
ἔλαβε **δὲ**[18] τοὺς ἄρτους ὁ Ἰησοῦς, καὶ [k]**εὐχαριστήσας** 11
διέδωκε[19] **τοῖς μαθηταῖς, οἱ δὲ μαθηταὶ**[20] τοῖς ἀνακειμέ-
νοις· ὁμοίως καὶ ἐκ τῶν ὀψαρίων ὅσον ἤθελον. ὡς 12
δὲ ἐνεπλήσθησαν, λέγει τοῖς μαθηταῖς αὐτοῦ, "Συν-
αγάγετε τὰ περισσεύσαντα κλάσματα, ἵνα μή τι
ἀπόληται." Συνήγαγον οὖν, καὶ ἐγέμισαν δώδεκα 13
[l]κοφίνους κλασμάτων ἐκ τῶν πέντε ἄρτων τῶν κρι-
θίνων, ἃ **ἐπερίσσευσε**[21] τοῖς βεβρωκόσιν. οἱ οὖν ἄν- 14 ν/ι
θρωποι ἰδόντες **ὃ ἐποίησε σημεῖον**[22] **ὁ Ἰησοῦς**[23], ἔλεγον,
"Ὅτι οὗτός ἐστιν ἀληθῶς [m]ὁ προφήτης [n]ὁ **ἐρχόμενος**
εἰς τὸν κόσμον[24]." Ἰησοῦς οὖν γνοὺς ὅτι μέλλουσιν 15
ἔρχεσθαι καὶ ἁρπάζειν αὐτόν, [o]ἵνα ποιήσωσιν **αὐτὸν**[25]
βασιλέα, [p]**ἀνεχώρησε**[26] πάλιν εἰς [q]τὸ ὄρος αὐτὸς μόνος.

Ὡς δὲ ὀψία ἐγένετο, κατέβησαν οἱ μαθηταὶ αὐτοῦ 16 Θ'.
ἐπὶ τὴν θάλασσαν, καὶ ἐμβάντες εἰς **τὸ**[27] πλοῖον, ἤρ- 17 να/δ

[a] Vid. cap. 2. 13.
[b] Luc. 6. 20. cap. 17. 1.
[c] ver. 7. Vid. cap. 1. 44.
[d] Cf. Marc. 6. 37.
[e] 2 Cor. 13. 5. Rev. 2. 2.
[f] Vid. Matt. 18. 28.
[g] cap. 1. 41.
[h] cap. 21. 9, 10, 13.
[i] Cf. ver. 4.
[k] ver. 23. Vid. Matt. 15. 36.
[l] Vid. Matt. 14. 20.
[m] Vid. Matt. 21. 11. Cf. Luc. 9. 19.
[n] cap. 11. 27 (var. lect.). Vid. Matt. 11. 3.
[o] cap. 18. 36, 37.
[p] ver. 15—21, Matt. 14. 22—33. Marc. 6. 45—51.
[q] ver. 3.

[1] —ὁ LTTrWH. [2] ἐκαθέζετο T. [3] τὸ πάσχα WH *dub.* [4] τοὺς ὀφθαλμοὺς ὁ Ἰησοῦς LTTrWH. [5] —τὸν LTTrWH. [6] ἀγοράσωμεν BLTTrWHR. [7] ἀποκρίνεται T. [8] + ὁ T. [9] —αὐτῶν LTTrWHR. [10] —τι Tr[LTr *marg.*]WH. [11] —ἓν TTr[L]WHR. [12] ὃς LTTrWH. [13] —δὲ TTr[L]WHR. [14] πολὺς χόρτος L *marg.* [15] ἀνέπεσαν LTTrWH. [16] —οἱ WH *marg.* [17] ὡς TTrWHR. [18] (ν) οὖν LTTrWHR. [19] εὐχαρίστησεν καὶ ἔδωκεν T. [20] —τοῖς μαθηταῖς, οἱ δὲ μαθηταὶ LTTrWHR. [21] ἐπερίσσευσαν LTTrWH. [22] ἃ ἐποίησεν σημεῖα L *marg.* Tr *marg.* WH (*non marg.*) R *marg.* [23] —ὁ Ἰησοῦς TTrWHR. [24] εἰς τὸν κόσμον ἐρχόμενος T. [25] —αὐτὸν LTTrWH. [26] φεύγει T. [27] —τὸ TTrWHR.

χοντο πέραν τῆς θαλάσσης [a] εἰς **Καπερναούμ**[1]. **καὶ**
σκοτία ἤδη ἐγεγόνει[2], καὶ **οὐκ**[3] ἐληλύθει **πρὸς αὐτοὺς**
18 **ὁ Ἰησοῦς**[4], ἥ τε θάλασσα ἀνέμου μεγάλου πνέοντος
19 **διηγείρετο**[5]. ἐληλακότες οὖν **ὡς**[6] **σταδίους**[7] εἰκοσι-
πέντε[8] ἢ τριάκοντα, θεωροῦσι τὸν Ἰησοῦν περιπα-
τοῦντα ἐπὶ τῆς θαλάσσης, καὶ ἐγγὺς τοῦ πλοίου
20 γινόμενον· καὶ ἐφοβήθησαν. ὁ δὲ λέγει αὐτοῖς,
21 "Ἐγώ εἰμι· μὴ φοβεῖσθε." Ἤθελον οὖν λαβεῖν
αὐτὸν εἰς τὸ πλοῖον, καὶ εὐθέως **τὸ πλοῖον ἐγένετο**[9]
ἐπὶ **τῆς γῆς**[10] εἰς ἣν ὑπῆγον.
νβ 22 Τῇ ἐπαύριον [b] ὁ ὄχλος ὁ ἑστηκὼς πέραν τῆς θαλάσ-
ι σης, **ἰδὼν**[11] ὅτι πλοιάριον ἄλλο οὐκ ἦν ἐκεῖ εἰ μὴ [c] ἓν
ἐκεῖνο εἰς ὃ ἐνέβησαν οἱ μαθηταὶ αὐτοῦ[12], καὶ ὅτι [d] οὐ
συνεισῆλθε τοῖς μαθηταῖς αὐτοῦ ὁ Ἰησοῦς εἰς τὸ
πλοιάριον[13], ἀλλὰ μόνοι οἱ μαθηταὶ αὐτοῦ ἀπῆλθον,
23 ἄλλα[14] **δὲ**[15] **ἦλθε**[16] **πλοιάρια**[17] [e] ἐκ Τιβεριάδος ἐγγὺς τοῦ
τόπου ὅπου ἔφαγον τὸν ἄρτον, [f] εὐχαριστήσαντος τοῦ
24 Κυρίου· ὅτε οὖν εἶδεν ὁ ὄχλος ὅτι Ἰησοῦς οὐκ ἔστιν
ἐκεῖ οὐδὲ οἱ μαθηταὶ αὐτοῦ, ἐνέβησαν **καὶ**[18] αὐτοὶ εἰς
τὰ **πλοῖα**[19], [g] καὶ ἦλθον εἰς **Καπερναούμ**[1], ζητοῦντες
25 τὸν Ἰησοῦν. καὶ εὑρόντες αὐτὸν πέραν τῆς θαλάσ-
σης, εἶπον αὐτῷ, [h] "**Ῥαββί**[20], πότε ὧδε γέγονας;"
26 Ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς καὶ εἶπεν, "Ἀμὴν ἀμὴν
λέγω ὑμῖν, [i] ζητεῖτέ με, οὐχ ὅτι εἴδετε σημεῖα, ἀλλ'
27 ὅτι ἐφάγετε ἐκ τῶν ἄρτων καὶ ἐχορτάσθητε. [k] ἐργά-
ζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ τὴν
βρῶσιν τὴν μένουσαν [l] εἰς ζωὴν αἰώνιον, ἣν ὁ υἱὸς
τοῦ ἀνθρώπου **ὑμῖν δώσει**[21]· τοῦτον γὰρ ὁ πατὴρ
28 [m] **ἐσφράγισεν** ὁ Θεός." Εἶπον οὖν πρὸς αὐτόν, "Τί
29 **ποιοῦμεν**[22], ἵνα ἐργαζώμεθα τὰ ἔργα τοῦ Θεοῦ;" Ἀπε-
κρίθη **ὁ**[23] Ἰησοῦς καὶ εἶπεν αὐτοῖς, [n] "Τοῦτό ἐστι τὸ
ἔργον τοῦ Θεοῦ, ἵνα **πιστεύσητε**[24] [o] εἰς ὃν ἀπέστειλεν

[a] Cf. Marc. 6. 45. ver. 21. Vid. cap. 2. 12.
[b] ver. 2.
[c] Marc. 8. 9. cap. 21. 8.
[d] ver. 15, 16.
[e] Cf. ver. 1.
[f] ver. 11.
[g] ver. 24, 25, vid. Matt. 14. 34. Cf. ver. 59. Marc. 6. 53.
[h] Vid. cap. 1. 38.
[i] ver. 24.
[k] Esa. 55. 2. Cf. Luc. 10. 42.
[l] ver. 40, 47, 54. cap. 3. 16; 4. 14.
[m] Vid. cap. 3. 33. Cf. Ezek. 9. 4. Rom. 4. 11. 1 Cor. 9. 2. 2 Tim. 2. 19.
[n] 1 Cor. 15. 58. Rev. 2. 26.
[o] cap. 8. 17.

[1] Καφαρναούμ LTTrWH. [2] *κατέλαβεν δὲ αὐτοὺς ἡ σκοτία* T. [3] οὔπω L (*non marg.*) TTrWHR. [4] Ἰησοῦς πρὸς αὐτούς TWH *marg.* [5] διεγείρετο TrWH. [6] ὡσεὶ L. [7] *στάδια* T. [8] εἴκοσι πέντε LTTrWH. [9] ἐγένετο τὸ πλοῖον LTTrWH. [10] τὴν γῆν T. [11] εἶδον LTTrWH (*non marg.*) R. [12] —ἐκεῖνο εἰς ὃ ἐνέβησαν οἱ μαθηταὶ αὐτοῦ LTTrWHR. [13] πλοῖον LTTrWHR. [14] ἀλλὰ WHR. [15] —δὲ TTrWHR. [16] ἦλθον T. [17] πλοῖα LTr *marg.* WH. [18] —καὶ LTTrWHR. [19] πλοιάρια LTTrWHR. [20] Ῥαββεί TWH. [21] δίδωσιν ὑμῖν T. [22] ποιῶμεν BELTTrWHR. [23] —ὁ T. [24] πιστεύητε TTrWHR.

ἐκεῖνος." Εἶπον οὖν αὐτῷ, [a]"Τί οὖν ποιεῖς σὺ ση- 30 νγ δ
μεῖον, ἵνα ἴδωμεν καὶ πιστεύσωμέν σοι; τί ἐργάζῃ;
[b]οἱ πατέρες ἡμῶν τὸ μάννα ἔφαγον ἐν τῇ ἐρήμῳ, 31 νδ ι
καθώς ἐστι γεγραμμένον, [c]"Ἄρτον ἐκ τοῦ οὐρανοῦ ἔδω-
κεν αὐτοῖς φαγεῖν'." Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς, 32
"Ἀμὴν ἀμὴν λέγω ὑμῖν, Οὐ **Μωσῆς**[1] **δέδωκεν**[2] ὑμῖν
τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ· ἀλλ' ὁ πατήρ μου δί-
δωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν.
ὁ γὰρ ἄρτος[3] τοῦ Θεοῦ ἐστιν [d]ὁ καταβαίνων ἐκ τοῦ 33
οὐρανοῦ, καὶ **ζωὴν διδοὺς**[4] τῷ κόσμῳ." Εἶπον οὖν 34
πρὸς αὐτόν, [e]"Κύριε, πάντοτε δὸς ἡμῖν τὸν ἄρτον
τοῦτον." Εἶπε **δὲ**[5] αὐτοῖς ὁ Ἰησοῦς, [d s]"Ἐγώ εἰμι ὁ 35 νε α
ἄρτος τῆς ζωῆς· ὁ ἐρχόμενος πρός **με**[6], οὐ μὴ **πεινά-
σῃ**[7]· [f]καὶ ὁ πιστεύων εἰς ἐμέ, οὐ μὴ **διψήσῃ**[8] πώ-
ποτε. ἀλλ' [g]εἶπον ὑμῖν ὅτι καὶ ἑωράκατέ **με**[9], καὶ οὐ 36
πιστεύετε. [h]πᾶν ὃ δίδωσί μοι ὁ πατήρ, [i]πρὸς ἐμὲ 37 νϛ ι
ἥξει· καὶ [i]τὸν ἐρχόμενον πρός **με**[10] οὐ μὴ ἐκβάλω ἔξω·
ὅτι [k s]καταβέβηκα **ἐκ**[11] τοῦ οὐρανοῦ, [l]οὐχ ἵνα **ποιῶ**[12] τὸ 38 νζ α
θέλημα τὸ ἐμόν, ἀλλὰ [m]τὸ θέλημα τοῦ πέμψαντός με.
τοῦτο δέ ἐστι τὸ θέλημα τοῦ πέμψαντός με **πατρός**[13], 39 νη ι
ἵνα [h m]πᾶν ὃ δέδωκέ μοι, [n]μὴ ἀπολέσω ἐξ αὐτοῦ, ἀλλὰ
[o]ἀναστήσω αὐτὸ **ἐν**[14] τῇ ἐσχάτῃ ἡμέρᾳ. τοῦτο **δέ**[15] 40
ἐστι τὸ θέλημα τοῦ **πέμψαντός με**[16], ἵνα πᾶς [p]ὁ θεωρῶν
τὸν υἱὸν καὶ πιστεύων εἰς αὐτόν, [q]ἔχῃ ζωὴν αἰώνιον,
καὶ [o]ἀναστήσω αὐτὸν **ἐγὼ**[17,18] τῇ ἐσχάτῃ ἡμέρᾳ."
[r]Ἐγόγγυζον οὖν οἱ Ἰουδαῖοι περὶ αὐτοῦ, ὅτι εἶπεν, 41 νθ
[s]"Ἐγώ εἰμι ὁ ἄρτος [k]ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ." καὶ 42 α
ἔλεγον, [t]"**Οὐχ**[19] οὗτός ἐστιν Ἰησοῦς ὁ υἱὸς Ἰωσήφ,
[u]οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; πῶς
οὖν[20] λέγει **οὗτος**[21], [d]Ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέ-
βηκα;" Ἀπεκρίθη **οὖν**[22] **ὁ**[23] Ἰησοῦς καὶ εἶπεν αὐ- 43 ξ
τοῖς, "Μὴ γογγύζετε **μετ'**[24] ἀλλήλων. οὐδεὶς δύναται 44 ι

[a] Vid. Marc. 8. 11.
[b] Ex. 16. 15. Num. 11. 7—9. Rev. 2. 17. ver. 49, 58.
[c] Neh. 9. 15. Ps. 78. 24, 25; 105. 40. Cf. 1 Cor. 10. 3.
[d] ver. 35, 42, 48, 50, 58.
[e] Cf. cap. 4. 15.
[f] cap. 4. 14.
[g] ver. 26.
[h] ver. 39. cap. 17. 2, 3, 6, 9. 24.
[i] cap. 10. 28, 29.
[k] ver. 42, 62. Vid. cap. 3. 13.
[l] Vid. cap. 5. 30. Marc. 14. 36.
[m] Vid. cap. 4. 34.
[n] cap. 17. 12; 18. 9.
[o] ver. 40, 44, 54. Cf. 1 Cor. 6. 14.
[p] cap. 12. 45.
[q] ver. 47. Vid. ver. 27.
[r] ver. 52.
[s] ver. 35, 38, 48, 50, 58.
[t] cap. 1. 46. Cf. Matt. 13. 54, 55. Marc. 6. 2, 3. Luc. 4. 22.
[u] cap. 7. 27, 28.

1 Μωυσῆς LT(-ϋ-)TrWH. 2 ἔδωκεν LTrWH (*non marg.*) R. 3 + ὁ T. 4 διδοὺς ζωὴν L *marg.* 5 οὖν T, —δὲ Tr[L]WHR. 6 ἐμὲ TTr (*non marg.*) WH. 7 πεινάσει LTr *marg.* 8 διψήσει LTTrWHR. 9 —με T[LWH]. 10 ἐμὲ T. 11 ἀπὸ LTTrWHR. 12 ποιήσω T. 13 —πατρός LTTrWHR. 14 —ἐν TrWHR. 15 γάρ LTTrWHR. 16 πατρός μου L (*non marg.*) TTrWHR. 17 [ἐγὼ] L. 18 + ἐν LT. 19 Οὐχὶ Tr (*non marg.*) WH (*non marg.*). 20 νῦν TTr (*non marg.*) WHR. 21 —οὗτος Tr[L]WHR. 22 —οὖν TTr[L]WHR. 23 —ὁ TTrWH. 24 μετὰ Tr.

ἐλθεῖν πρός **με**[1], ἐὰν μὴ ὁ πατὴρ ὁ πέμψας με
[a]ἑλκύσῃ αὐτόν, [b]**καὶ ἐγὼ**[2] ἀναστήσω αὐτὸν[3] τῇ ἐσχάτῃ
45 ἡμέρᾳ· ἔστι γεγραμμένον [c]ἐν τοῖς προφήταις, [d]'Καὶ
ἔσονται πάντες [e]διδακτοὶ **τοῦ**[4] Θεοῦ.' Πᾶς **οὖν**[5] ὁ
ἀκούσας παρὰ τοῦ πατρὸς καὶ μαθών, ἔρχεται πρός
ξα 46 **με**[6]· [f]οὐχ ὅτι τὸν πατέρα **τις ἑώρακεν**[7], εἰ μὴ [g]ὁ ὢν
γ/ξβ 47 παρὰ **τοῦ**[8] Θεοῦ, οὗτος ἑώρακε τὸν **πατέρα**[9]. ἀμὴν
ι ἀμὴν λέγω ὑμῖν, ὁ πιστεύων **εἰς ἐμέ**[10], [h]ἔχει ζωὴν
ξγ 48 αἰώνιον. [i]ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. [k]οἱ πατέρες
α/ξδ 49 ὑμῶν ἔφαγον **τὸ μάννα ἐν τῇ ἐρήμῳ**[11], καὶ ἀπέθανον·
ι 50 [i]οὗτός ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων,
ξε 51 ἵνα τις ἐξ αὐτοῦ φάγῃ [l]καὶ μὴ **ἀποθάνῃ**[12]. ἐγώ [im]εἰμι ὁ
α ἄρτος ὁ ζῶν, ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς· [n]ἐάν τις
φάγῃ ἐκ **τούτου τοῦ**[13] ἄρτου, **ζήσεται**[14] εἰς τὸν αἰῶνα.
καὶ ὁ ἄρτος δὲ ὃν ἐγὼ δώσω, [o]**ἡ σάρξ μου ἐστίν**[15], **ἣν**
ξς 52 **ἐγὼ δώσω**[16] [p]ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς." [q]'Εμάχοντο
ι οὖν **πρὸς ἀλλήλους οἱ 'Ιουδαῖοι**[17] λέγοντες, [r]"Πῶς δύ-
53 ναται **οὗτος ἡμῖν**[18] δοῦναι τὴν σάρκα[19] φαγεῖν;" Εἶπεν
οὖν αὐτοῖς **ὁ**[20] 'Ιησοῦς, "'Αμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν
μὴ φάγητε [o]τὴν σάρκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ
54 πίητε αὐτοῦ τὸ αἷμα, οὐκ ἔχετε ζωὴν ἐν ἑαυτοῖς. ὁ
τρώγων μου [o]τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, [s]ἔχει
ζωὴν αἰώνιον, [b]**καὶ ἐγὼ**[21] ἀναστήσω αὐτὸν[22] τῇ ἐσχάτῃ
ξζ 55 ἡμέρᾳ. [o]ἡ γὰρ σάρξ μου **ἀληθῶς**[23] ἐστι βρῶσις, καὶ
α/ξη 56 τὸ αἷμά μου **ἀληθῶς**[23] ἐστι πόσις. [o]ὁ τρώγων μου
ι τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, [t]ἐν ἐμοὶ μένει,
57 **κἀγὼ** ἐν αὐτῷ. καθὼς ἀπέστειλέ με [u]ὁ ζῶν πατήρ,
κἀγὼ ζῶ διὰ τὸν πατέρα· καὶ ὁ τρώγων με, κἀκεῖνος
58 [p]**ζήσεται**[24] δι' ἐμέ. οὗτός ἐστιν [i]ὁ ἄρτος ὁ **ἐκ τοῦ**[25]
οὐρανοῦ καταβάς· οὐ καθὼς [k]ἔφαγον οἱ πατέρες
ὑμῶν[26] **τὸ μάννα**[27], καὶ ἀπέθανον· [n]ὁ τρώγων τοῦτον

[a] Hos. 11. 4. cap. 12. 32. ver. 65.
[b] ver. 39, 40, 54.
[c] Act. 13. 40; 15. 15.
[d] Esa. 54. 13.
[e] 1 Thess. 4. 9.
[f] Vid. cap. 1. 18.
[g] cap. 7. 29.
[h] ver. 40. Vid. ver. 27.
[i] ver. 33, 35, 41, 50, 51, 58.
[k] ver. 31, 58.
[l] cap. 11. 26.
[m] Cf. cap. 4. 10.
[n] ver. 58.
[o] ver. 53—56.
[p] ver. 57. Luc. 22. 19.
[q] Cf. ver. 41. cap. 10. 19.
[r] ver. 60. Cf. cap. 8. 9.
[s] Cf. cap. 4. 13, 14. Vid. ver. 27.
[t] cap. 15. 4, 5. 1 Joan. 3. 24; 4. 15, 16.
[u] Cf. Luc. 24. 5. Cf. cap. 5. 26.

[1] ἐμὲ Tr (*non marg.*) WH *marg.* [2] κἀγὼ LTTrWH. [3] + ἐν LTTrWHR. [4] —τοῦ LTTrWH. [5] —οὖν LTTrWHR. [6] ἐμέ TTr (*non marg.*) WH. [7] ἑώρακέν τις LTTrWH. [8] [τοῦ] WH. [9] Θεόν T. [10] —εἰς ἐμέ, T[Tr]WHR. [11] ἐν τῇ ἐρήμῳ τὸ μάννα L (*non marg.*) TTrWHR. [12] ἀποθνήσκῃ Tr *marg.* WH *marg.* [13] τοῦ ἐμοῦ T. [14] ζήσει TWH. [15] *Transfert* T ἡ σάρξ μου ἐστίν *ad fin. vers.* [16] —ἣν ἐγὼ δώσω LTTrWHR. [17] οἱ 'Ιουδαῖοι πρὸς ἀλλήλους L (*non marg.*) Tr *marg.* [18] ἡμῖν οὗτος T. [19] + αὐτοῦ L[Tr *marg.* WH]. [20] [ὁ] WH. [21] κἀγὼ LTTrWH. [22] + [ἐν] L. [23] ἀληθής LTTrWHR. [24] ζήσει LTTrWH. [25] ἐξ LTTrWH. [26] —ὑμῶν LTTrWHR. [27] —τὸ μάννα TTrWHR.

τὸν ἄρτον, ζήσεται[1] εἰς τὸν αἰῶνα." Ταῦτα εἶπεν 59
[a] ἐν συναγωγῇ διδάσκων ἐν [b] **Καπερναούμ**[2,3].

[c] Πολλοὶ οὖν ἀκούσαντες ἐκ τῶν μαθητῶν αὐτοῦ 60
[d] εἶπον[4], [e] "Σκληρός ἐστιν **οὗτος ὁ λόγος**[5]· τίς δύναται
αὐτοῦ ἀκούειν;" [f] Εἰδὼς δὲ ὁ Ἰησοῦς ἐν ἑαυτῷ, ὅτι 61
γογγύζουσι περὶ τούτου οἱ μαθηταὶ αὐτοῦ, εἶπεν
αὐτοῖς, "Τοῦτο ὑμᾶς [g] σκανδαλίζει; ἐὰν οὖν θεωρῆτε 62 ξθ
τὸν υἱὸν τοῦ ἀνθρώπου [h] ἀναβαίνοντα ὅπου [i] ἦν τὸ α
πρότερον; [k] τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν, ἡ σὰρξ 63 ο δ
οὐκ ὠφελεῖ οὐδέν· [l] τὰ ῥήματα ἃ ἐγὼ **λαλῶ**[6] ὑμῖν, οα
πνεῦμά ἐστι καὶ ζωή ἐστιν. [c] **ἀλλ'**[7] εἰσὶν ἐξ ὑμῶν 64 ι
τινὲς οἳ οὐ πιστεύουσιν." [f] Ἤιδει γὰρ ἐξ ἀρχῆς ὁ οβ
Ἰησοῦς, τίνες εἰσὶν οἱ μὴ πιστεύοντες, καὶ [m] τίς ἐστιν δ
ὁ παραδώσων αὐτόν. Καὶ ἔλεγε, "Διὰ τοῦτο εἴρηκα 65 ογ
ὑμῖν, ὅτι [n] οὐδεὶς δύναται ἐλθεῖν πρός **με**[8], [n] ἐὰν μὴ ᾖ ι
δεδομένον αὐτῷ ἐκ τοῦ πατρός **μου**[9]." [o] Ἐκ τούτου[10] 66
[c] **πολλοὶ ἀπῆλθον τῶν μαθητῶν αὐτοῦ**[11] εἰς τὰ ὀπίσω,
καὶ οὐκ ἔτι[12] μετ' αὐτοῦ περιεπάτουν. εἶπεν οὖν 67
ὁ Ἰησοῦς [p] τοῖς δώδεκα, "Μὴ καὶ ὑμεῖς θέλετε ὑπά-
γειν;" Ἀπεκρίθη **οὖν**[13] αὐτῷ [q] Σίμων Πέτρος, "Κύριε, 68 οδ
πρὸς τίνα ἀπελευσόμεθα; [lr] ῥήματα ζωῆς αἰωνίου ἔχεις· α
καὶ ἡμεῖς πεπιστεύκαμεν, καὶ ἐγνώκαμεν ὅτι σὺ εἶ 69
[s] **ὁ Χριστὸς ὁ υἱὸς**[14] τοῦ Θεοῦ **τοῦ ζῶντος**[15]." Ἀπε- 70 οε
κρίθη αὐτοῖς ὁ Ἰησοῦς[16], [t] "Οὐκ ἐγὼ ὑμᾶς τοὺς δώ- ι
δεκα [t] ἐξελεξάμην,[17] καὶ ἐξ ὑμῶν εἷς [u] διάβολός ἐστιν;[17]"
Ἔλεγε δὲ [x] τὸν Ἰούδαν Σίμωνος [y] **Ἰσκαριώτην**[18]· **οὗτος** 71
γὰρ **ἤμελλεν**[19] **αὐτὸν παραδιδόναι**[20], [p] εἷς **ὢν**[21] ἐκ τῶν
δώδεκα.

ΚΑΙ[22] **περιεπάτει ὁ Ἰησοῦς μετὰ ταῦτα**[23] ἐν τῇ Γαλι- 7
λαίᾳ· [z] οὐ γὰρ ἤθελεν ἐν τῇ Ἰουδαίᾳ περιπατεῖν, ὅτι
[a] ἐζήτουν αὐτὸν οἱ Ἰουδαῖοι ἀποκτεῖναι. Ἦν δὲ ἐγγὺς 2

[a] Vid. Matt. 4. 23. [b] ver. 24. [c] ver. 66. Cf. ver. 64. [d] ver. 52. [e] Jud. 15. [f] ver. 64. Vid. cap. 2. 25. [g] Vid. Matt. 11. 6 & 17. 27. [h] Vid. Marc. 16. 19. [i] ver. 38. [k] 2 Cor. 3. 6. [l] ver. 68. [m] cap. 13. 11. [n] ver. 44. cap. 3. 27. [o] cap. 19. 12. [p] ver. 70, 71. Matt. 10. 2. [q] cap. 1. 42, 43. Cf. Matt. 16. 16. Luc. 9. 20. [r] Act. 5. 20. [s] (var. lect.) Luc. 4. 34. Vid. Marc. 1. 24. [t] cap. 13. 18; 15. 16, 19. [u] cap. 13. 2, 27. Cf. cap. 17. 12. [x] cap. 13. 26. [y] Vid. Matt. 26. 14. [z] cap. 11. 54. [a] ver. 19. cap. 5. 16 (var. lect.).

[1] *ζήσει* TTrWH. [2] Καφαρναούμ LTTrWH. [3] + *σαββάτῳ* WH *marg.* [4] *εἶπαν* WH. [5] ὁ λόγος οὗτος LTTrWH. [6] *λελάληκα* LTTrWHR. [7] *ἀλλὰ* TrWH. [8] *ἐμέ* T. [9] —*μου* LTTrWHR. [10] + οὖν T. [11] *ἐκ* (—*ἐκ* T[L]) *τῶν μαθητῶν αὐτοῦ ἀπῆλθον* LTTrWH. [12] οὐκέτι BELTTrWH. [13] —οὖν LTTrWHR. [14] ὁ ἅγιος LTTrWHR. [15] —*τοῦ ζῶντος* LTTrWHR. [16] —ὁ Ἰησοῦς T *mero errore*. [17] *ἐξελεξάμην;...ἐστιν* WH. [18] Ἰσκαριώτου LTTrWHR. [19] *ἔμελλεν* LTTrWH. [20] *παραδιδόναι αὐτόν* LTrWH. [21] —*ὢν* LTrWHR. [22] —Καὶ T. [23] *μετὰ ταῦτα περιεπάτει ὁ* ([ὁ]TrWH) Ἰησοῦς LTTrWHR.

3 ἡ ἑορτὴ τῶν Ἰουδαίων [a]ἡ σκηνοπηγία. εἶπον οὖν
πρὸς αὐτὸν [b]οἱ ἀδελφοὶ αὐτοῦ, "Μετάβηθι ἐντεῦθεν,
καὶ ὕπαγε εἰς τὴν Ἰουδαίαν, ἵνα καὶ [c]οἱ μαθηταί σου
4 **θεωρήσωσι**[1] **τὰ ἔργα σου**[2] ἃ ποιεῖς· οὐδεὶς γὰρ **ἐν**
κρυπτῷ τι[3] ποιεῖ, καὶ ζητεῖ **αὐτὸς**[4] ἐν παρρησίᾳ εἶναι.
εἰ ταῦτα ποιεῖς, [d]φανέρωσον σεαυτὸν τῷ κόσμῳ."
5 [e]Οὐδὲ γὰρ [b]οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς αὐτόν.
6 Λέγει **οὖν**[5] αὐτοῖς ὁ Ἰησοῦς, "Ὁ καιρὸς ὁ ἐμὸς οὔπω
πάρεστιν· [f]ὁ δὲ καιρὸς ὁ ὑμέτερος πάντοτέ ἐστιν
7 ἕτοιμος. οὐ δύναται ὁ κόσμος μισεῖν ὑμᾶς· [g]ἐμὲ δὲ
μισεῖ, ὅτι ἐγὼ μαρτυρῶ περὶ αὐτοῦ, ὅτι [h]τὰ ἔργα
8 αὐτοῦ πονηρά ἐστιν. ὑμεῖς ἀνάβητε εἰς τὴν ἑορτὴν
ταύτην[6]· ἐγὼ **οὔπω**[7] [i]ἀναβαίνω εἰς τὴν ἑορτὴν ταύτην,
9 ὅτι [f]ὁ **καιρὸς ὁ ἐμὸς**[8] [k]οὔπω πεπλήρωται." ταῦτα **δὲ**[9]
εἰπὼν **αὐτοῖς**[10], ἔμεινεν ἐν τῇ Γαλιλαίᾳ.
10 Ὡς δὲ [i]ἀνέβησαν [b]οἱ ἀδελφοὶ αὐτοῦ, **τότε καὶ αὐτὸς**
ἀνέβη εἰς τὴν ἑορτήν[11], οὐ φανερῶς, **ἀλλ'**[12] **ὡς**[13] ἐν
11 κρυπτῷ. Οἱ οὖν Ἰουδαῖοι [l]ἐζήτουν αὐτὸν ἐν τῇ
12 ἑορτῇ, καὶ ἔλεγον, "Ποῦ ἐστιν ἐκεῖνος;" Καὶ γογ-
γυσμὸς **πολὺς περὶ αὐτοῦ ἦν**[14] ἐν **τοῖς ὄχλοις**[15]. [m]οἱ μὲν
ἔλεγον, "Ὅτι ἀγαθός ἐστιν·" ἄλλοι **δὲ**[16] ἔλεγον,
13 "Οὔ· ἀλλὰ πλανᾷ τὸν ὄχλον." Οὐδεὶς μέντοι
παρρησίᾳ ἐλάλει περὶ αὐτοῦ, [n]διὰ τὸν φόβον τῶν
Ἰουδαίων.
14 Ἤδη δὲ τῆς ἑορτῆς μεσούσης, [i]ἀνέβη **ὁ**[17] Ἰησοῦς
15 εἰς τὸ ἱερόν, [o]καὶ ἐδίδασκε. **καὶ ἐθαύμαζον**[18] οἱ Ἰου-
δαῖοι λέγοντες, "Πῶς οὗτος [p]γράμματα οἶδε, μὴ με-
16 μαθηκώς;" Ἀπεκρίθη[19] αὐτοῖς **ὁ**[20] Ἰησοῦς καὶ εἶπεν,
"Ἡ ἐμὴ [q]διδαχὴ οὐκ ἔστιν ἐμή, ἀλλὰ τοῦ πέμψαν-
17 τός με· ἐάν τις [r]θέλῃ τὸ θέλημα αὐτοῦ ποιεῖν, [s]γνώ-
σεται περὶ τῆς διδαχῆς, πότερον ἐκ **τοῦ**[21] Θεοῦ ἐστιν,
18 ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ. ὁ ἀφ' ἑαυτοῦ λαλῶν,

[a] Lev. 23. 34.
[b] ver. 5, 10. Vid. Matt. 12. 46.
[c] Cf. cap. 6. 66.
[d] Cf. cap. 1. 31.
[e] Matt. 13. 57. Marc. 3. 21.
[f] cap. 2. 4. Cf. ver. 8, 30. Matt. 26. 18. cap. 8. 20.
[g] cap. 15. 18, 23, 24. Cf. cap. 17. 14.
[h] cap. 3. 19.
[i] Luc. 2. 4.
[k] Vid. Marc. 1. 15.
[l] cap. 11. 56.
[m] Cf. ver. 40, 43.
[n] cap. 19. 38; 20. 19. Cf. cap. 9. 22; 12. 42.
[o] Vid. ver. 28.
[p] Vid. cap. 5. 47.
[q] Act. 17. 19. Cf. cap. 1. 18. Vid. cap. 3. 11.
[r] cap. 8. 44.
[s] Ps. 25. 9. Dan. 12. 10. Phil. 3. 15. Cf. cap. 8. 43.

[1] *θεωρήσουσιν* TTrWH. [2] *σου* ([*σοῦ*] WH) *τὰ ἔργα* LWH (*non marg.*). [3] *τι ἐν κρυπτῷ* LTTrWH. [4] *αὐτὸ* LTr *marg.* WH *marg.* R *marg.* [5] —*οὖν* T. [6] —*ταύτην* LTTrWHR. [7] *οὐκ* TTrWH *marg.* R *marg.* [8] *ἐμὸς καιρὸς* LTTrWH. [9] —*δὲ* TTr. [10] *αὐτὸς* TTr *marg.* WH *marg.* [11] *εἰς τὴν ἑορτήν, τότε καὶ αὐτὸς ἀνέβη* LTTrWHR. [12] *ἀλλὰ* LTrWH. [13] —*ὡς* T. [14] *περὶ αὐτοῦ ἦν πολὺς* LTrWHR, *ἦν περὶ αὐτοῦ πολὺς* T. [15] *τῷ ὄχλῳ* T. [16] —*δὲ* T[Tr *marg.* WH]. [17] —*ὁ* LTTrWH. [18] *ἐθαύμαζον οὖν* LTTrWHR. [19] + *οὖν* LTTrWHR. [20] —*ὁ* TTrWH. [21] —*τοῦ* T.

[a]τὴν δόξαν τὴν ἰδίαν ζητεῖ· ὁ δὲ ζητῶν τὴν δόξαν
τοῦ πέμψαντος αὐτόν, οὗτος ἀληθής ἐστι, καὶ ἀδικία
ἐν αὐτῷ οὐκ ἔστιν. [b]οὐ **Μωσῆς**[1] **δέδωκεν**[2] ὑμῖν τὸν 19
νόμον,*καὶ οὐδεὶς ἐξ ὑμῶν ποιεῖ τὸν νόμον;†[c]τί με
ζητεῖτε ἀποκτεῖναι;" Ἀπεκρίθη ὁ ὄχλος **καὶ εἶπε**[3], 20
[d]"Δαιμόνιον ἔχεις· τίς σε ζητεῖ ἀποκτεῖναι;" Ἀπε- 21
κρίθη **ὁ**[4] Ἰησοῦς καὶ εἶπεν αὐτοῖς, [e]"Ἓν ἔργον
ἐποίησα, καὶ πάντες θαυμάζετε. **διὰ τοῦτο**[5] [f]**Μωσῆς**[1] 22
δέδωκεν ὑμῖν τὴν περιτομήν, οὐχ ὅτι ἐκ τοῦ **Μω-
σέως**[6] ἐστίν, [g]ἀλλ' ἐκ τῶν πατέρων· καὶ [h]**ἐν**[7] σαβ-
βάτῳ περιτέμνετε ἄνθρωπον. εἰ περιτομὴν λαμβά- 23
νει[8] ἄνθρωπος ἐν σαββάτῳ, ἵνα μὴ λυθῇ [f][i]ὁ νόμος[9]
Μωσέως[6], [k]ἐμοὶ χολᾶτε ὅτι [e]ὅλον ἄνθρωπον ὑγιῆ
ἐποίησα ἐν σαββάτῳ; [l]μὴ κρίνετε κατ' ὄψιν, ἀλλὰ 24
[m]τὴν δικαίαν κρίσιν **κρίνατε**[10]." Ἔλεγον οὖν τινὲς ἐκ 25
τῶν **Ἱεροσολυμιτῶν**[11], "Οὐχ οὗτός ἐστιν ὃν ζητοῦσιν
ἀποκτεῖναι; καὶ ἴδε παρρησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ 26
λέγουσι. [n]μήποτε ἀληθῶς ἔγνωσαν [o]οἱ ἄρχοντες, ὅτι
οὗτός ἐστιν **ἀληθῶς**[12] ὁ Χριστός; ἀλλὰ [p]τοῦτον οἴ- 27
δαμεν [q]πόθεν ἐστίν· ὁ δὲ Χριστὸς ὅταν ἔρχηται[13],
[q]οὐδεὶς γινώσκει πόθεν ἐστίν." Ἔκραξεν οὖν [r]ἐν τῷ 28 οϛ
ἱερῷ διδάσκων **ὁ**[14] Ἰησοῦς καὶ λέγων, "Κἀμὲ οἴδατε, γ
καὶ οἴδατε πόθεν εἰμί· καὶ ἀπ' ἐμαυτοῦ οὐκ ἐλή-
λυθα, [s]ἀλλ' ἔστιν ἀληθινὸς ὁ πέμψας με, ὃν ὑμεῖς
οὐκ οἴδατε· ἐγὼ **δὲ**[15] οἶδα αὐτόν, ὅτι [t]παρ' αὐτοῦ εἰμί, 29
κἀκεῖνός με **ἀπέστειλεν**[16]." [u]Ἐζήτουν οὖν αὐτὸν πιά- 30 οζ
σαι· καὶ [x]οὐδεὶς **ἐπέβαλεν**[17] ἐπ' αὐτὸν τὴν χεῖρα, ὅτι α
[y]οὔπω **ἐληλύθει**[18] ἡ ὥρα αὐτοῦ. [z]**Πολλοὶ δὲ ἐκ τοῦ** 31 οη
ὄχλου ἐπίστευσαν[19] εἰς αὐτόν, καὶ ἔλεγον, "**Ὅτι**[20] ὁ ι
Χριστὸς ὅταν ἔλθῃ, [n][a]**μήτι**[21] πλείονα σημεῖα **τούτων**[22]
ποιήσει ὧν οὗτος **ἐποίησεν**[23];" Ἤκουσαν οἱ Φαρισαῖοι 32
τοῦ ὄχλου γογγύζοντος περὶ αὐτοῦ **ταῦτα**[24]· καὶ ἀπέ- οθ
α

[a] Vid. cap. 5. 41.
[b] cap. 1. 17.
[c] ver. 1. Vid. Marc. 11. 18.
[d] cap. 8. 48, 52; 10. 20. Matt. 11. 18.
[e] ver. 23. cap. 5. 2—9.
[f] Lev. 12. 3.
[g] Gen. 17. 10.
[h] Vid. Matt. 12. 5.
[i] Vid. cap. 5. 10. Matt. 12. 2.
[k] cap. 5. 16.
[l] Esa. 11. 3. cap. 8. 15. Cf. 2 Cor. 10. 1.
[m] Luc. 12. 57.
[n] ver. 31, 48. Matt. 12. 23.
[o] ver. 48. Vid. Luc. 24. 20.
[p] cap. 6. 42. Cf. ver. 42.
[q] cap. 19. 9.
[r] ver. 14. cap. 8. 20; 18. 20. Vid. Matt. 26. 55.
[s] Cf. cap. 5. 32; 8. 26, 55.
[t] cap. 6. 46. Vid. Matt. 11. 27.
[u] Vid. Matt. 21. 46.
[x] ver. 44.
[y] ver. 6.
[z] cap. 8. 30; 10. 42; 11. 45; 12. 11.
[a] Matt. 12. 23.

1 Μωυσῆς LT(-ϋ-)TrWH. 2 ἔδωκεν LTrWH (*non marg.*) R. 3 —καὶ εἶπε LTTrWHR. 4 —ὁ TTrWH. 5 ὁ T (*jungunt* LTr *marg.* R *marg.* θαυμάζετε διὰ τοῦτο). 6 Μωυσέως LT(-ϋ-)TrWH. 7 [ἐν] LWH. 8 + [ὁ] Tr *marg.* WH. 9 + ὁ T. 10 κρίνετε LTrWH. 11 Ἱεροσολυμειτῶν T, Ἰεροσολυμειτῶν WH. 12 —ἀληθῶς LTTrWHR. 13 ἔρχεται E. 14 [ὁ] WH. 15 —δὲ LTTrWHR. 16 ἀπέσταλκεν T. 17 ἔβαλεν L *marg.* 18 ἐλήλυθεν Tr *marg.* 19 Ἐκ τοῦ ὄχλου δὲ πολλοὶ ἐπίστευσαν LTrWHR, *at* Πολλοὶ δὲ ἐπίστευσαν ἐκ τοῦ ὄχλου T. 20 —Ὅτι LTTrWHR. 21 μὴ LTTrWHR. 22 —τούτων LTTrWHR. 23 ποιεῖ T. 24 [ταῦτα] Tr *marg.* * ; *pro* , LTTrWH. † · *pro* ; LTr, . TWH.

στειλαν οἱ **Φαρισαῖοι καὶ οἱ ἀρχιερεῖς**[1] [a]**ὑπηρέτας**[2], ἵνα
π 33 πιάσωσιν αὐτόν. εἶπεν οὖν **αὐτοῖς**[3] ὁ Ἰησοῦς, [b]"Ἔτι
ι **μικρὸν χρόνον**[4] μεθ' ὑμῶν εἰμί, καὶ [c]ὑπάγω πρὸς τὸν
πα 34 πέμψαντά με. [d]ζητήσετέ με, καὶ οὐχ εὑρήσετε[5]· καὶ
ι 35 [e]ὅπου εἰμὶ ἐγώ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν." Εἶπον οὖν
οἱ Ἰουδαῖοι πρὸς ἑαυτούς, [f]"Ποῦ **οὗτος μέλλει**[6] πο-
ρεύεσθαι, ὅτι **ἡμεῖς**[7] οὐχ εὑρήσομεν αὐτόν; μὴ εἰς
τὴν [g]διασπορὰν [h]τῶν Ἑλλήνων μέλλει πορεύεσθαι,
36 καὶ διδάσκειν τοὺς Ἕλληνας; τίς ἐστιν **οὗτος ὁ**
λόγος[8] ὃν εἶπε, [d]Ζητήσετέ με, καὶ οὐχ εὑρήσετε[9]·
καί, Ὅπου εἰμὶ ἐγώ, ὑμεῖς οὐ δύνασθε ἐλθεῖν;"
37 Ἐν δὲ [i]τῇ ἐσχάτῃ ἡμέρᾳ [i]τῇ μεγάλῃ τῆς ἑορτῆς
εἱστήκει[10] ὁ Ἰησοῦς, καὶ **ἔκραξε**[11] λέγων, [k]"Ἐάν τις
38 διψᾷ, ἐρχέσθω **πρός με**[12] καὶ πινέτω· ὁ πιστεύων εἰς
ἐμέ, [l]καθὼς εἶπεν ἡ γραφή, ποταμοὶ [m]ἐκ τῆς κοιλίας
39 αὐτοῦ ῥεύσουσιν[13] [n]ὕδατος ζῶντος." Τοῦτο δὲ εἶπε
[o]περὶ τοῦ Πνεύματος [p]**οὗ**[14] **ἔμελλον**[15] λαμβάνειν οἱ **πισ-**
τεύοντες[16] εἰς αὐτόν· [q]οὔπω γὰρ [r]ἦν Πνεῦμα **Ἅγιον**[17,18],
πβ 40 ὅτι [s]**ὁ**[19] Ἰησοῦς **οὐδέπω**[20] [t]ἐδοξάσθη. **πολλοὶ οὖν ἐκ**
ζ **τοῦ ὄχλου**[21] ἀκούσαντες **τὸν λόγον**[22,23], ἔλεγον[24], "Οὗ-
41 τός ἐστιν ἀληθῶς [u]ὁ προφήτης." Ἄλλοι[25] ἔλεγον,
πγ "Οὗτός ἐστιν ὁ Χριστός." **Ἄλλοι**[26] **δὲ**[27] ἔλεγον, [x]"Μὴ
ζ 42 γὰρ ἐκ τῆς Γαλιλαίας ὁ Χριστὸς ἔρχεται; **οὐχὶ**[28] ἡ
γραφὴ εἶπεν, ὅτι ἐκ τοῦ σπέρματος **Δαβίδ**[29], [y]καὶ ἀπὸ
Βηθλεέμ, τῆς κώμης [z]ὅπου ἦν **Δαβίδ**[29], **ὁ Χριστὸς ἔρ-**
πδ 43 **χεται**[30];" [a]Σχίσμα οὖν **ἐν τῷ ὄχλῳ ἐγένετο**[31] δι' αὐτόν.
ι / πε 44 τινὲς δὲ ἤθελον ἐξ αὐτῶν πιάσαι αὐτόν, [b]ἀλλ' οὐδεὶς
α / πϛ 45 **ἐπέβαλεν**[32] ἐπ' αὐτὸν τὰς χεῖρας. ἦλθον οὖν οἱ [c]ὑπη-
ι ρέται πρὸς τοὺς ἀρχιερεῖς καὶ Φαρισαίους· καὶ εἶπον
46 αὐτοῖς ἐκεῖνοι, "**Διατί**[33] οὐκ ἠγάγετε αὐτόν;" Ἀπε-

[a] ver. 45, 46. Vid. Matt. 26. 58.
[b] cap. 12. 35; 13. 33; 14. 19; 16. 16—19.
[c] cap. 16. 5, 10, 17, 28. Cf. cap. 14. 12, 28; 20. 17.
[d] ver. 36. cap. 8. 21; 13. 33.
[e] Cf. cap. 3. 13.
[f] Cf. cap. 8. 22.
[g] Jac. 1. 1. 1 Pet. 1. 1. Cf. Ps. 147. 2. Esa. 11. 12; 56. 8. Zeph. 3. 10.
[h] cap. 12. 20. Act. 14. 1. Rom. 1. 16. 1 Cor. 1. 22, 24.
[i] Lev. 23. 36. Num. 29. 35. Neh. 8. 18.
[k] Cf. Matt. 11. 28. cap. 4. 14.
[l] Cf. Esa. 12. 3. Ezek. 47. 1.
[m] Cf. Prov. 18. 4.
[n] Vid. cap. 4. 10.
[o] Esa. 44. 3. Cf. 1 Cor. 12. 13. Gal. 3. 14.
[p] Joel 2. 28. Act. 2. 16—18.
[q] Act. 2. 4, 33.
[r] Act. 19. 2.
[s] Cf. cap. 14. 16, 17; 16. 7.
[t] cap. 12. 16, 23; 13. 31; 17. 1. Act. 3. 13.
[u] Cf. ver. 12. Vid. Matt. 21. 11.
[x] ver. 52. Cf. cap. 1. 47.
[y] Luc. 2. 4. Vid. Matt. 2. 6.
[z] 1 Sam. 16. 1.
[a] cap. 10. 19.
[b] Cf. ver. 27.
[c] Cf. ver. 30.

[1] ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι LTTrWHR. [2] ὑπηρέτας *post* ἀπέστειλαν T. [3] —αὐτοῖς LTTrWHR. [4] χρόνον μικρὸν LTTrWH. [5] + με L[Tr *marg.*]WHR. [6] μέλλει οὗτος T. [7] —ἡμεῖς T. [8] ὁ λόγος οὗτος LTTrWH. [9] + με L[Tr *marg.*]WHR. [10] ἵστήκει WH. [11] ἔκραζεν T. [12] —πρός με T. [13] ῥεύσουσι E. [14] ὃ Tr *marg.* WH *marg.* [15] ἤμελλον T. [16] πιστεύσαντες LTrWHR. [17] —Ἅγιον LT[Tr]WH.R (*non marg.*). [18] + δεδομένον LR *marg.* [19] —ὁ LTTrWH. [20] οὔπω LTrWHR. [21] ἐκ τοῦ ὄχλου οὖν LTTrWHR. [22] τῶν λόγων LTTrWHR. [23] + τούτων LTTrWHR. [24] + [ὅτι] Tr *marg.* WH. [25] + [δὲ] L. [26] οἱ LTrWHR. [27] —δὲ T. [28] οὐχ LTrWH. [29] Δαυείδ LTTrWH. [30] ἔρχεται ὁ Χριστὸς LTrWHR. [31] ἐγένετο ἐν τῷ ὄχλῳ LTTrWHR. [32] ἔβαλεν LT (*errore*) TrWH. [33] Διὰ τί LTrWH.

κρίθησαν [a]οἱ ὑπηρέται, [b]"Οὐδέποτε οὕτως ἐλάλησεν[1]
ἄνθρωπος, ὡς οὗτος ὁ ἄνθρωπος[2]." Ἀπεκρίθησαν 47
οὖν[3] αὐτοῖς[4] οἱ Φαρισαῖοι, "Μὴ καὶ ὑμεῖς [c]πεπλά-
νησθε; [d]μή τις ἐκ τῶν ἀρχόντων ἐπίστευσεν εἰς αὐ- 48
τόν, ἢ ἐκ τῶν Φαρισαίων; ἀλλ'[5] ὁ ὄχλος οὗτος ὁ 49
μὴ γινώσκων τὸν νόμον, ἐπικατάρατοί[6] εἰσι." Λέ- 50
γει [e]Νικόδημος πρὸς αὐτούς, ὁ ἐλθὼν νυκτὸς[7] πρὸς
αὐτόν[8,9], εἷς ὢν ἐξ αὐτῶν, [f]"Μὴ ὁ νόμος ἡμῶν κρίνει 51
τὸν ἄνθρωπον, ἐὰν μὴ [g]ἀκούσῃ παρ' αὐτοῦ πρότερον[10],
καὶ γνῷ τί ποιεῖ;" Ἀπεκρίθησαν καὶ εἶπον[11] αὐτῷ, 52
[h]"Μὴ καὶ σὺ ἐκ τῆς Γαλιλαίας εἶ; ἐρεύνησον[12] καὶ
ἴδε,[13] ὅτι [i]προφήτης ἐκ τῆς Γαλιλαίας[14] οὐκ ἐγήγερται[15]."
[16]**Καὶ ἐπορεύθη[17] ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ.** 53

ἸΗΣΟΥΣ δὲ ἐπορεύθη εἰς [k l]τὸ ὄρος τῶν ἐλαιῶν· 8
[l]ὄρθρου δὲ πάλιν παρεγένετο[18] εἰς τὸ ἱερόν, καὶ πᾶς ὁ 2
λαὸς ἤρχετο πρὸς αὐτόν· [m]καὶ [n]καθίσας ἐδίδασκεν αὐτούς[19].
ἄγουσι δὲ οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι πρὸς αὐτὸν[20] 3
γυναῖκα ἐν[21] μοιχείᾳ[22] κατειλημμένην, καὶ στήσαντες αὐ-
τὴν ἐν μέσῳ, λέγουσιν[23] αὐτῷ, "Διδάσκαλε, αὕτη ἡ γυνὴ 4
κατελήφθη[24] [o]ἐπαυτοφώρῳ[25] μοιχευομένη. [p]ἐν δὲ τῷ νόμῳ 5
Μωσῆς ἡμῖν[26] ἐνετείλατο τὰς τοιαύτας [q]λιθοβολεῖσθαι[27]·
σὺ οὖν[28] τί λέγεις[29];" Τοῦτο δὲ ἔλεγον [r]πειράζοντες αὐτόν, 6
ἵνα [s]ἔχωσι κατηγορεῖν αὐτοῦ[30]. ὁ δὲ Ἰησοῦς κάτω κύψας,
τῷ δακτύλῳ ἔγραφεν[31] εἰς τὴν γῆν· ὡς δὲ ἐπέμενον ἐρωτῶν- 7
τες αὐτόν[32], [t]ἀνακύψας[33] εἶπε πρὸς αὐτούς[34], [u]"Ὁ ἀναμάρ-
τητος ὑμῶν, πρῶτος [x]τὸν[35] λίθον ἐπ' αὐτῇ βαλέτω[36]." καὶ 8
πάλιν κάτω κύψας[37,38] ἔγραφεν εἰς τὴν γῆν. οἱ δέ, ἀκού- 9
σαντες, καὶ ὑπὸ τῆς συνειδήσεως ἐλεγχόμενοι[39], ἐξήρχοντο[40]
[y]εἷς καθεῖς[41], ἀρξάμενοι ἀπὸ τῶν πρεσβυτέρων ἕως τῶν
ἐσχάτων[42]· καὶ κατελείφθη μόνος ὁ Ἰησοῦς[43], καὶ ἡ γυνὴ
ἐν μέσῳ ἑστῶσα[44]. [t]ἀνακύψας δὲ ὁ Ἰησοῦς, καὶ μηδένα 10

[a] ver. 32. [b] Vid. Matt. 7. 29. [c] Cf. ver. 12. [d] ver. 26. Cf. 1 Cor. 1. 20, 26, 28. [e] cap. 3. 1; 19. 39. [f] Deut. 17. 6; 19. 15. Cf. Act. 23. 3. [g] Deut. 1. 16. Prov. 18. 13. [h] ver. 41. [i] Cf. 2 Reg. 14. 25 cum Josh. 19. 13. [k] Vid. Matt. 21. 1. [l] Cf. Luc. 21. 37, 38. [m] ver. 20. Vid. Matt. 26. 55. Cf. cap. 7. 14. Act. 5. 21. [n] Matt. 5. 1. [o] Num. 5. 13. [p] Lev. 20. 10. Deut. 22. 22. [q] Deut. 22. 24. Ezek. 16. 38, 40. [r] Matt. 16. 1; 19. 3; 22. 18, 35. Marc. 8. 11; 10. 2; 12. 15. Luc. 10. 25; 11. 16. [s] Vid. Luc. 11. 54. [t] ver. 10. Cf. Luc. 13. 11. [u] Rom. 2. 22. [x] (var. lect.) Deut. 17. 7. [y] Marc. 14. 19.

[1] ἐλάλησεν οὕτως LTTrWHR. [2] —ὡς οὗτος ὁ ἄνθρωπος L[Tr]WHR, *at* + λαλεῖ *post* οὗτος T. [3] —οὖν T. [4] [αὐτοῖς] TrWH. [5] ἀλλὰ LTTrWH. [6] ἐπάρατοί LTTrWHR. [7] —νυκτὸς LTrWHR. [8] —ὁ ἐλθὼν νυκτὸς πρὸς αὐτόν T. [9] + πρότερον LTrWHR. [10] πρῶτον παρ' αὐτοῦ LTTrWHR. [11] εἶπαν LTTrWH. [12] ἐραύνησον TTrWH. [13] ἴδε· ὅτι R *marg.* [14] ἐκ τῆς Γαλιλαίας προφήτης LTrWHR. [15] ἐγείρεται LTTrWHR. [16] *A cap.* vii. *v.* 53 *usque ad cap.* viii. *v.* 11 *in textu prorsus omittunt* LTTr, *at in notis criticis* LTr *textum Stephani e codicibus emendant, inter duplices uncos* (⟦ ⟧) *ad finem Evangelii ablegat* WH, *inter uncos* ([ ]) *ponit* R *text.*, *recusat marg.* [17] ἐπορεύθησαν LTrWHR. [18] ἦλθεν WH *marg.*, παραγείνεται L. [19] [καὶ πᾶς...αὐτούς] WH. [20] —πρὸς αὐτὸν LTrWHR. [21] ἐπὶ LTrWHR. [22] ἐπὶ ἁμαρτίᾳ γυναῖκα WH *marg.* [23] εἶπον WH *marg.* [24] κατειλήφθη SBE, κατείληπται LTrWHR, εἴληπται WH *marg.* [25] ἐπ' αὐτοφώρῳ WH. [26] [ἡμῖν] WH, Μωυσῆς TrWH. [27] λιθάζειν LTrWHR. [28] δὲ νῦν L, δὲ WH *marg.* [29] + περὶ αὐτῆς WH *marg.* R. [30] [τοῦτο δὲ...κατηγορεῖν αὐτοῦ] —LWH. [31] κατέγραφεν LTrWH (*non marg.*) R. [32] —αὐτόν L[WH]. [33] ἀνέκυψεν καὶ LTrWH. [34] αὐτοῖς LTr[WH]. [35] —τὸν LTr[WH *marg.*]R. [36] ἐπ' αὐτὴν βαλέτω λίθον LWH, ἐπ' αὐτὴν [τὸν] λίθον βαλέτω WH *marg.*, λίθον ἐπ' αὐτὴν βαλέτω Tr. [37] κατακύψας LWH (*non marg.*). [38] + τῷ δακτύλῳ LWH *marg.* R. [39] —, καὶ ὑπὸ τῆς συνειδήσεως ἐλεγχόμενοι LTrWHR, *at* ἕκαστος δὲ τῶν Ἰουδαίων L. [40] ἐξήρχετο L. [41] καθ' εἷς BEWH, *at* —εἷς καθεῖς LTr. [42] —ἕως τῶν ἐσχάτων L[Tr]WH, *at substituit* L ὥστε πάντας ἐξελθεῖν. [43] —ὁ Ἰησοῦς LWH (*non marg.*). [44] οὖσα LTTrWHR.

θεασάμενος πλὴν τῆς γυναικός[1], εἶπεν αὐτῇ[2], "Ἡ γυνή[3],
ποῦ εἰσιν ἐκεῖνοι οἱ κατήγοροί σου[4], οὐδείς σε κατέ-
11 κρινεν;" Ἡ δὲ εἶπεν, "Οὐδείς, Κύριε." Εἶπε δὲ αὐτῇ[5]
ὁ Ἰησοῦς[6], [a]"Οὐδὲ ἐγώ σε κατακρίνω· πορεύου[7] καὶ[8]
[b]μηκέτι ἁμάρτανε."
12 Πάλιν οὖν ὁ Ἰησοῦς αὐτοῖς ἐλάλησε[9] λέγων, [c]"Ἐγώ
εἰμι τὸ φῶς τοῦ κόσμου· [d]ὁ ἀκολουθῶν ἐμοί[10], οὐ μὴ
περιπατήσει[11] ἐν τῇ σκοτίᾳ, ἀλλ' ἕξει τὸ φῶς τῆς
13 ζωῆς." Εἶπον οὖν αὐτῷ οἱ Φαρισαῖοι, [e]"Σὺ περὶ
σεαυτοῦ μαρτυρεῖς· ἡ μαρτυρία σου οὐκ ἔστιν ἀλη-
14 θής." Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν αὐτοῖς, "Κἂν
ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, [f]ἀληθής ἐστιν ἡ μαρτυρία
μου[12]· ὅτι οἶδα [g]πόθεν ἦλθον, καὶ ποῦ ὑπάγω· ὑμεῖς
15 δὲ[13] [h]οὐκ οἴδατε πόθεν ἔρχομαι, καὶ[14] ποῦ ὑπάγω. [i]ὑμεῖς
16 κατὰ τὴν σάρκα κρίνετε· [a][k]ἐγὼ οὐ κρίνω οὐδένα. καὶ
ἐὰν κρίνω δὲ ἐγώ, [l]ἡ κρίσις ἡ ἐμὴ ἀληθής[15] ἐστιν· ὅτι
[m]μόνος οὐκ εἰμί, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με πατήρ[16].
17 καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ γέγραπται[17], ὅτι [n]δύο
18 ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν. ἐγώ εἰμι ὁ
μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ [o]μαρτυρεῖ περὶ ἐμοῦ ὁ
19 πέμψας με πατήρ." Ἔλεγον οὖν αὐτῷ, "Ποῦ ἐστιν
πζ ὁ πατήρ σου;" Ἀπεκρίθη ὁ[18] Ἰησοῦς, [p]"Οὔτε ἐμὲ
γ οἴδατε, οὔτε τὸν πατέρα μου· [q]εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν
πη 20 πατέρα μου ᾔδειτε ἄν[19]." Ταῦτα τὰ ῥήματα ἐλάλη-
α σεν ὁ Ἰησοῦς[20] ἐν τῷ [r]γαζοφυλακίῳ, [s]διδάσκων ἐν τῷ
ἱερῷ· καὶ οὐδεὶς ἐπίασεν αὐτόν, ὅτι [t]οὔπω ἐληλύθει
ἡ ὥρα αὐτοῦ.
πθ 21 Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς[20], "Ἐγὼ ὑπά-
ι γω, καὶ [u]ζητήσετέ με, καὶ [x]ἐν τῇ ἁμαρτίᾳ ὑμῶν ἀπο-
θανεῖσθε· ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς οὐ δύνασθε
22 ἐλθεῖν." Ἔλεγον οὖν οἱ Ἰουδαῖοι, [y]"Μήτι ἀπο-
κτενεῖ ἑαυτόν, ὅτι λέγει, [q]Ὅπου ἐγὼ ὑπάγω, ὑμεῖς
23 οὐ δύνασθε ἐλθεῖν;" Καὶ εἶπεν[21] αὐτοῖς, [z]"Ὑμεῖς ἐκ

[1] —καὶ μηδένα θεασάμενος πλην τῆς γυναικός L[Tr]WHR. [2] τῇ γυναικί (-εί L) LWH marg. [3] Γύναι TrWH text., —Ἡ γυνή LWH marg. [4] —ἐκεῖνοι οἱ κατήγοροί σου L[Tr]WHR. [5] —αὐτῇ LTrWHR. [6] —ὁ Ἰησοῦς L (ὁ δὲ εἶπε). [7] ὕπαγε L. [8] , ἀπὸ τοῦ νῦν (pro καὶ) LWHR. [9] αὐτοῖς ἐλάλησεν ὁ ([ὁ] TrWH) Ἰησοῦς LTTrWH. [10] μοι LTrWH. [11] περιπατήσῃ LTTrWHR. [12] ἡ μαρτυρία μου ἀληθής ἐστιν L marg. Tr marg. WH marg. [13] —δὲ T. [14] ἢ TTrWHR. [15] ἀληθινή LTTrWH. [16] —πατήρ T[WH]. [17] γεγραμμένον ἐστὶν T. [18] —ὁ LTTrWH. [19] ἂν ᾔδειτε LTTrWH. [20] —ὁ Ἰησοῦς LTTrWHR. [21] ἔλεγεν LTTrWHR.

[a] Cf. ver. 15. Vid. cap. 3. 17.
[b] cap. 5. 14.
[c] Vid. cap. 1. 4. Cf. Ps. 36. 9. Esa. 9. 2; 42. 6. Mal. 4. 2. Luc. 1. 79; 2. 32. cap. 12. 35. Act. 26. 18. 2 Cor. 4. 4, 6; 6. 14. Eph. 5. 8. Col. 1. 12, 13. 1 Thess. 5. 5. 1 Pet. 2. 9.
[d] Vid. Matt. 16. 24.
[e] Cf. cap. 5. 31.
[f] Rev. 3. 14.
[g] ver. 42. cap. 13. 3; 16. 28, 30; 17. 8.
[h] cap. 7. 28; 9. 29.
[i] Vid. cap. 7. 24. Cf. 1 Sam. 16. 7. Job 10. 4.
[k] cap. 12. 47.
[l] cap. 5. 30.
[m] ver. 29. cap. 16. 32.
[n] Num. 35. 30. Deut. 19. 15. Vid. Matt. 18. 16.
[o] cap. 5. 37. Cf. 1 Joan. 5. 9.
[p] cap. 7. 28, 29; 16. 3. Cf. ver. 55.
[q] cap. 14. 7. Vid. Matt. 11. 27.
[r] Vid. Marc. 12. 41.
[s] ver. 2. Vid. cap. 7. 28.
[t] Cf. cap. 2. 4; 7. 6, 8, 30.
[u] cap. 7. 34; 13. 33.
[x] ver. 24. Ezek. 3. 18; 33. 8.
[y] Cf. cap. 7. 35.
[z] cap. 3. 31.

τῶν κάτω ἐστέ, ἐγὼ ἐκ τῶν ἄνω εἰμί· [a]ὑμεῖς ἐκ τοῦ
κόσμου τούτου[1] ἐστέ, [b]ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου
τούτου. εἶπον οὖν ὑμῖν ὅτι [c]ἀποθανεῖσθε ἐν ταῖς 24
ἁμαρτίαις ὑμῶν· ἐὰν γὰρ μὴ πιστεύσητε ὅτι [d]**ἐγώ**
εἰμι[2], [c]ἀποθανεῖσθε ἐν ταῖς ἁμαρτίαις ὑμῶν." Ἔλε- 25
γον οὖν αὐτῷ, "Σὺ τίς εἶ;" **Καὶ**[3] εἶπεν αὐτοῖς **ὁ**[4]
Ἰησοῦς, "Τὴν ἀρχὴν ὅ τι[5] καὶ λαλῶ ὑμῖν.[6] πολλὰ 26
ἔχω περὶ ὑμῶν λαλεῖν καὶ κρίνειν· ἀλλ' [e]ὁ πέμψας
με ἀληθής ἐστι, κἀγὼ [f]ἃ ἤκουσα παρ' αὐτοῦ, ταῦτα
λέγω[7] εἰς τὸν κόσμον." Οὐκ ἔγνωσαν ὅτι τὸν πα- 27
τέρα αὐτοῖς ἔλεγεν. Εἶπεν οὖν **αὐτοῖς**[8] ὁ Ἰησοῦς, 28
"Ὅταν [g]ὑψώσητε τὸν υἱὸν τοῦ ἀνθρώπου, τότε γνώ-
σεσθε ὅτι [d]**ἐγώ εἰμι**[2]· καὶ [h]ἀπ' ἐμαυτοῦ ποιῶ οὐδέν,
ἀλλὰ καθὼς ἐδίδαξέ με ὁ πατήρ **μου**[9], ταῦτα λαλῶ.
καὶ [i]ὁ πέμψας με, μετ' ἐμοῦ ἐστιν· [k]οὐκ ἀφῆκέ με 29
μόνον **ὁ πατήρ**[10], ὅτι ἐγὼ τὰ ἀρεστὰ αὐτῷ ποιῶ πάν-
τοτε." Ταῦτα αὐτοῦ λαλοῦντος [l]πολλοὶ ἐπίστευσαν 30
εἰς αὐτόν.

Ἔλεγεν οὖν ὁ Ἰησοῦς πρὸς τοὺς πεπιστευκότας 31
αὐτῷ Ἰουδαίους, [m]"Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ
τῷ ἐμῷ, [m]ἀληθῶς μαθηταί μου ἐστέ· καὶ γνώσεσθε 32
[n]τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια [o]ἐλευθερώσει ὑμᾶς."
Ἀπεκρίθησαν **αὐτῷ**[11], [p]"Σπέρμα Ἀβραάμ ἐσμεν, καὶ 33
οὐδενὶ δεδουλεύκαμεν πώποτε· πῶς σὺ λέγεις, Ὅτι
ἐλεύθεροι γενήσεσθε;" Ἀπεκρίθη αὐτοῖς **ὁ**[12] Ἰησοῦς, 34
"Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι [q]πᾶς ὁ ποιῶν τὴν ἁμαρ-
τίαν, δοῦλός ἐστι **τῆς ἁμαρτίας**[13]. [r]ὁ δὲ δοῦλος οὐ 35
μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα· ὁ [r][s]υἱὸς μένει εἰς τὸν
αἰῶνα. ἐὰν οὖν ὁ υἱὸς ὑμᾶς [o]ἐλευθερώσῃ, ὄντως ἐλεύ- 36
θεροι ἔσεσθε. οἶδα [p]ὅτι σπέρμα Ἀβραάμ ἐστε· 37
ἀλλὰ [t]ζητεῖτέ με ἀποκτεῖναι, ὅτι [u]ὁ λόγος ὁ ἐμὸς οὐ
χωρεῖ ἐν ὑμῖν. [x]**ἐγὼ ὃ**[14] ἑώρακα παρὰ τῷ πατρί **μου**[15], 38
λαλῶ· καὶ ὑμεῖς οὖν ὃ **ἑωράκατε**[16] παρὰ [y]**τῷ πατρὶ**[17]

[a] 1 Joan. 4. 5. [b] cap. 17. 14, 16. [c] Vid. ver. 21. [d] ver. 28, 58. Marc. 13. 6. cap. 4. 26; 13. 19. Cf. Ex. 3. 14. Esa. 43. 12, 13. [e] Cf. cap. 7. 28. Cf. Rom. 3. 4. [f] ver. 40, 55. cap. 15. 15. [g] Vid. cap. 3. 14. [h] cap. 5. 19, 30. Cf. cap. 1. 18. [i] Cf. cap. 10. 38. [k] ver. 16. [l] Vid. cap. 7. 31. [m] cap. 15. 7, 8. Cf. Col. 3. 16. [n] Vid. cap. 1. 14. [o] ver. 36. Rom. 6. 18, 22; 8. 2. Cf. 1 Cor. 7. 22. 2 Cor. 3. 17. Gal. 5. 1, 13. Jac. 1. 25; 2. 12. [p] ver. 37, 39. Matt. 3. 9. Cf. Rom. 9. 7. [q] Rom. 6. 16, 20. 2 Pet. 2. 19. [r] Gen. 21. 10. Gal. 4. 30. [s] Luc. 15. 31. [t] ver. 40. Cf. cap. 5. 16, 18. [u] cap. 5. 38. 1 Joan. 1. 10. [x] Cf. cap. 5. 19. [y] ver. 41, 44.

[1] τούτου τοῦ κόσμου LTrWH. [2] ἐγώ εἰμί WH *marg.* [3] —Καὶ LTTrWHR. [4] [ὁ] TrWH. [5] ὅτι LWH.R *marg.* [6] ; LWH (*non marg.*) R *marg.* [7] λαλῶ LTTrWHR. [8] —αὐτοῖς LTTrWHR, *at* [αὐτοῖς] Tr *marg.* [9] —μου LTTrWHR. [10] —ὁ πατήρ LTTrWHR. [11] πρὸς αὐτόν LTTrWHR. [12] —ὁ L[TrWH]. [13] [τῆς ἁμαρτίας] WH. [14] ἃ ἐγὼ LT (*ita vult*) TrWHR, ἐγὼ ἃ Tr *marg.* [15] —μου LTTrWHR. [16] ἃ ἠκούσατε LTTrWHR. [17] τοῦ πατρὸς LTTrWHR.

39 ὑμῶν[1], ποιεῖτε[2]." Ἀπεκρίθησαν καὶ εἶπον[3] αὐτῷ,
[a]"Ὁ πατὴρ ἡμῶν Ἀβραάμ ἐστι." Λέγει αὐτοῖς ὁ[4]
Ἰησοῦς, [b]"Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε[5], τὰ ἔργα τοῦ
40 Ἀβραὰμ ἐποιεῖτε[6] ἄν[7]. νῦν δὲ [c]ζητεῖτέ με ἀπο-
κτεῖναι, ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα,
[d]ἣν ἤκουσα παρὰ τοῦ Θεοῦ· τοῦτο Ἀβραὰμ οὐκ
41 ἐποίησεν. ὑμεῖς ποιεῖτε [e]τὰ ἔργα τοῦ πατρὸς ὑμῶν."
Εἶπον[8] οὖν[9] αὐτῷ, "Ἡμεῖς [f]ἐκ πορνείας οὐ γεγεννή-
42 μεθα[10]· [g]ἕνα πατέρα ἔχομεν, τὸν Θεόν." Εἶπεν οὖν[11]
αὐτοῖς ὁ[12] Ἰησοῦς, "Εἰ ὁ Θεὸς[13] πατὴρ ὑμῶν ἦν,
[h]ἠγαπᾶτε ἂν ἐμέ· [i]ἐγὼ γὰρ ἐκ τοῦ Θεοῦ ἐξῆλθον καὶ
ἥκω· [k]οὐδὲ γὰρ ἀπ' ἐμαυτοῦ ἐλήλυθα, ἀλλ' ἐκεῖνός
43 με ἀπέστειλε. [l]διατί[14] τὴν λαλιὰν τὴν ἐμὴν οὐ γινώ-
σκετε; ὅτι οὐ δύνασθε ἀκούειν τὸν λόγον τὸν ἐμόν.
44 ὑμεῖς ἐκ[15] πατρὸς [m]τοῦ διαβόλου ἐστέ, καὶ τὰς ἐπι-
θυμίας [e]τοῦ πατρὸς ὑμῶν [l]θέλετε ποιεῖν. [n]ἐκεῖνος ἀν-
θρωποκτόνος ἦν ἀπ' ἀρχῆς, καὶ [o]ἐν τῇ ἀληθείᾳ οὐχ
ἕστηκεν[16]· ὅτι οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ. [p]ὅταν λαλῇ
τὸ ψεῦδος, ἐκ [q]τῶν ἰδίων λαλεῖ· ὅτι ψεύστης ἐστὶ καὶ
45 ὁ πατὴρ αὐτοῦ. ἐγὼ δὲ ὅτι τὴν ἀλήθειαν λέγω[17],
46 οὐ πιστεύετέ μοι. τίς ἐξ ὑμῶν [r]ἐλέγχει με περὶ
ἁμαρτίας; εἰ δὲ[18] ἀλήθειαν λέγω, διατί[14] ὑμεῖς οὐ
47 πιστεύετέ μοι; [s]ὁ ὢν ἐκ τοῦ Θεοῦ τὰ ῥήματα τοῦ
Θεοῦ ἀκούει· διὰ τοῦτο ὑμεῖς οὐκ ἀκούετε, ὅτι ἐκ
48 τοῦ Θεοῦ οὐκ ἐστέ." Ἀπεκρίθησαν οὖν[19] οἱ Ἰουδαῖοι
καὶ εἶπον[3] αὐτῷ, "Οὐ καλῶς λέγομεν ἡμεῖς, ὅτι
49 [t]Σαμαρείτης[20] εἶ σύ, καὶ [u]δαιμόνιον ἔχεις;" Ἀπεκρίθη
Ἰησοῦς, "Ἐγὼ [u]δαιμόνιον οὐκ ἔχω, ἀλλὰ [x]τιμῶ τὸν
50 πατέρα μου, καὶ ὑμεῖς ἀτιμάζετέ με. ἐγὼ δὲ [y]οὐ
ζητῶ τὴν δόξαν μου· ἔστιν ὁ ζητῶν καὶ κρίνων.
51 ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐάν τις [z]τὸν λόγον τὸν ἐμὸν[21]
τηρήσῃ, [a]θάνατον οὐ μὴ θεωρήσῃ εἰς τὸν αἰῶνα."

[a] ver. 33.
[b] Cf. Gal. 3. 7, 9.
[c] ver. 37.
[d] ver. 26.
[e] ver. 38, 44.
[f] Cf. Ose. 2. 4.
[g] Deut. 32. 6. Esa. 63. 16; 64. 8.
[h] Cf. 1 Joan. 5. 1.
[i] Vid. ver. 14.
[k] cap. 7. 28.
[l] Cf. cap. 7. 17.
[m] Vid. Matt. 13. 39.
[n] Gen. 4. 8, 9. 1 Joan. 3. 12, 15.
[o] 1 Joan. 2. 4.
[p] Gen. 3. 4. 2 Cor. 11. 3.
[q] Cf. cap. 1. 11; 16. 32.
[r] cap. 16. 8. Cf. Heb. 4. 15.
[s] Cf. cap. 18. 37.
[t] Vid. cap. 4. 9.
[u] ver. 52. Vid. cap. 7. 20.
[x] Cf. cap. 5. 23.
[y] ver. 54. Vid. cap. 5. 41.
[z] cap. 14. 23; 15. 20; 17. 6. Cf. ver. 55.
[a] Cf. ver. 52.

[1] —ὑμῶν LTTrWHR. [2] WH marg. sic habet: ἐγὼ ἃ ἑώρακα παρὰ τῷ πατρί μου [ταῦτα] λαλῶ· καὶ ὑμεῖς οὖν ἃ ἑωράκατε παρὰ τῷ πατρὶ ὑμῶν ποιεῖτε. [3] εἶπαν LTTrWH. [4] [ὁ] TrWH. [5] ἐστε LTTrWHR. [6] ποιεῖτε WH (non marg.) R marg. [7] —ἂν TTrWHR. [8] εἶπαν TWH. [9] —οὖν LTTrWHR. [10] οὐκ ἐγεννήθημεν LTrWH (non marg.) R. [11] —οὖν LTTrWHR. [12] —ὁ L[TrWH]. [13] + ὁ L. [14] διὰ τί LTrWH. [15] + τοῦ LTTrWHR. [16] οὐκ ἔστηκεν WHR (non marg.). Cf. Rev. 12. 4 WH. [17] + [ὑμῖν] L. [18] —δὲ LTTrWHR. [19] —οὖν LTTrWHR. [20] Σαμαρίτης T. [21] ἐμὸν λόγον LTTrWH.

Εἶπον[1] **οὖν**[2] αὐτῷ οἱ Ἰουδαῖοι, "Νῦν ἐγνώκαμεν ὅτι 52
[a]δαιμόνιον ἔχεις. Ἀβραὰμ ἀπέθανε καὶ οἱ προφῆται,
καὶ σὺ λέγεις, [b]Ἐάν τις τὸν λόγον μου τηρήσῃ, [c]οὐ
μὴ **γεύσεται**[3] θανάτου εἰς τὸν αἰῶνα. μὴ σὺ μείζων 53
εἶ τοῦ πατρὸς ἡμῶν Ἀβραάμ, [d]ὅστις ἀπέθανε; καὶ
[d]οἱ προφῆται ἀπέθανον· τίνα σεαυτὸν **σὺ**[4] ποιεῖς;"
Ἀπεκρίθη Ἰησοῦς, "Ἐὰν ἐγὼ [e]**δοξάζω**[5] ἐμαυτόν, ἡ 54
δόξα μου οὐδέν ἐστιν· [f]ἔστιν ὁ πατήρ μου ὁ δοξάζων
με, ὃν ὑμεῖς λέγετε, ὅτι Θεὸς **ὑμῶν**[6] ἐστι, [g]καὶ οὐκ 55
ἐγνώκατε αὐτόν, [h]ἐγὼ δὲ οἶδα αὐτόν· **καὶ ἐὰν**[7] εἴπω
ὅτι οὐκ οἶδα αὐτόν, ἔσομαι ὅμοιος **ὑμῶν**[8], [i]ψεύστης·
ἀλλ'[9] οἶδα αὐτόν, καὶ [k]τὸν λόγον αὐτοῦ τηρῶ.
Ἀβραὰμ ὁ πατὴρ ὑμῶν [l]ἠγαλλιάσατο ἵνα **ἴδῃ**[10] [m]τὴν 56
ἡμέραν τὴν ἐμήν· καὶ εἶδε καὶ ἐχάρη." **Εἶπον**[1] οὖν 57
οἱ Ἰουδαῖοι πρὸς αὐτόν, "Πεντήκοντα ἔτη οὔπω
ἔχεις, καὶ Ἀβραὰμ **ἑώρακας**[11];" Εἶπεν αὐτοῖς **ὁ**[12] Ἰη- 58
σοῦς, "Ἀμὴν ἀμὴν λέγω ὑμῖν, πρὶν Ἀβραὰμ γε-
νέσθαι, [n]ἐγώ εἰμι." [o]Ἦραν οὖν λίθους ἵνα βάλωσιν 59
ἐπ' αὐτόν· [p]Ἰησοῦς δὲ ἐκρύβη, καὶ ἐξῆλθεν ἐκ τοῦ
ἱεροῦ, [13][q]**διελθὼν διὰ μέσου αὐτῶν· καὶ** [r]**παρῆγεν οὕτω**[14].

Καὶ [r]παράγων εἶδεν ἄνθρωπον τυφλὸν ἐκ γενετῆς. 9 I'.
καὶ ἠρώτησαν αὐτὸν οἱ μαθηταὶ αὐτοῦ λέγοντες, 2
[s]"**Ῥαββί**[15], τίς ἥμαρτεν, οὗτος ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα
τυφλὸς γεννηθῇ;" Ἀπεκρίθη **ὁ**[16] Ἰησοῦς, [t]"Οὔτε οὗ- 3
τος ἥμαρτεν [u]οὔτε οἱ γονεῖς αὐτοῦ· ἀλλ' [x]ἵνα φανε-
ρωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ. **ἐμὲ**[17] δεῖ ἐργάζεσθαι 4
τὰ ἔργα τοῦ πέμψαντός **με**[18] [y]**ἕως**[19] ἡμέρα ἐστίν· ἔρχεται
νύξ, ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι. ὅταν ἐν τῷ 5
κόσμῳ ὦ, [z]φῶς εἰμι τοῦ κόσμου." Ταῦτα εἰπών, 6
[a]**ἔπτυσε** χαμαί, καὶ ἐποίησε πηλὸν ἐκ τοῦ πτύσματος,
καὶ **ἐπέχρισε**[20, 21] τὸν πηλὸν ἐπὶ τοὺς ὀφθαλμοὺς **τοῦ
τυφλοῦ**[22], καὶ εἶπεν αὐτῷ, "Ὕπαγε **νίψαι**[23] εἰς τὴν 7

[a] Vid. ver. 48. [b] ver. 51. [c] Luc. 2. 26. Ps. 89. 48. Matt. 16. 28. Heb. 2. 9; 11. 5. [d] Cf. Zech. 1. 5. [e] Vid. ver. 50. [f] cap. 16. 14. Act. 3. 13. Heb. 5. 5. [g] Vid. ver. 19. [h] cap. 17. 25. [i] ver. 44. 1 Joan. 1. 6. [k] ver. 51. cap. 15. 10. [l] Vid. Matt. 13. 17. [m] Cf. Luc. 17. 22.

[n] Vid. ver. 24. Cf. cap. 17. 5, 24. Col. 1. 17. Rev. 1. 8, 11. [o] cap. 10. 31; 11. 8. [p] cap. 12. 36. [q] (var. lect.) Vid. Luc. 4. 30. [r] cap. 9. 1. [s] Vid. cap. 1. 38. [t] Cf. ver. 34. [u] Ex. 20. 5. [x] Cf. cap. 11. 4. [y] cap. 11. 9; 12. 35. Cf. Rom. 13. 12. Gal. 6. 10. [z] Vid. cap. 1. 4. [a] Cf. Matt. 9. 29; 20. 34. Marc. 7. 33; 8. 23.

[1] Εἶπαν TWH. [2] —οὖν LTTrWHR. [3] γεύσηται LTTrWHR. [4] —σὺ LTTrWHR. [5] δοξάσω L (*non marg.*) TTrWH. [6] ἡμῶν TTr (*non marg.*) WH *marg.* [7] κἂν LTTrWH. [8] ὑμῖν LTr (*non marg.*) WH. [9] ἀλλὰ LTTrWH. [10] εἴδῃ T. [11] ἑώρακες Tr *marg.*, ἑώρακέν σε WH *marg.* [12] —ὁ TTrWH. [13] —διελθὼν *ad fin. capitis* LTTrWH.R (*non marg. sic legens* καὶ διελθὼν διὰ μέσου αὐτῶν ἐπορεύετο, καὶ παρῆγεν οὕτως). [14] οὕτως BE. [15] Ῥαββεί T. [16] —ὁ LTTrWH. [17] ἡμᾶς TTr (*non marg.*) WHR. [18] ἡμᾶς T. [19] ὡς Tr *marg.* WH *marg.* [20] ἐπέθηκεν Tr *marg.* WH (*non marg.*). [21] +(ν) αὐτοῦ LT[Tr *marg.*]WHR. [22] —τοῦ τυφλοῦ TTr[L]WHR. [23] [νίψαι] L.

[a]κολυμβήθραν τοῦ Σιλωάμ," ὃ ἑρμηνεύεται, ἀπεσταλ-
μένος. ἀπῆλθεν οὖν καὶ ἐνίψατο, καὶ [b]ἦλθε βλέπων.
8 Οἱ οὖν γείτονες καὶ οἱ θεωροῦντες αὐτὸν τὸ πρό-
τερον ὅτι **τυφλὸς**[1] ἦν, ἔλεγον, [c]"Οὐχ οὗτός ἐστιν ὁ
9 καθήμενος καὶ προσαιτῶν;" Ἄλλοι ἔλεγον, "Ὅτι
οὗτός ἐστιν·" ἄλλοι **δέ**[2], "**Ὅτι**[3] ὅμοιος αὐτῷ ἐστιν."
10 Ἐκεῖνος[4] ἔλεγεν, "Ὅτι ἐγώ εἰμι." Ἔλεγον οὖν
αὐτῷ, "Πῶς[5] **ἀνεῴχθησάν**[6] **σου**[7] οἱ ὀφθαλμοί;"
11 Ἀπεκρίθη ἐκεῖνος **καὶ εἶπεν**[8], [d]"[9]Ἄνθρωπος[9] λεγόμενος
Ἰησοῦς πηλὸν ἐποίησε, καὶ ἐπέχρισέ μου τοὺς ὀφ-
θαλμούς, καὶ εἶπέ μοι,[10] Ὕπαγε εἰς [a]**τὴν κολυμβήθραν**
τοῦ[11] Σιλωάμ, καὶ νίψαι. ἀπελθὼν **δὲ**[12] καὶ νιψά-
12 μενος, ἀνέβλεψα." [13]**Εἶπον**[14] **οὖν**[15] αὐτῷ, "Ποῦ ἐστὶν
ἐκεῖνος;" Λέγει, "Οὐκ οἶδα."
13 Ἄγουσιν αὐτὸν πρὸς [k]τοὺς Φαρισαίους, τόν ποτε
14 τυφλόν. [e]ἦν δὲ σάββατον, **ὅτε**[16] τὸν πηλὸν ἐποίησεν
15 ὁ Ἰησοῦς, καὶ ἀνέῳξεν αὐτοῦ τοὺς ὀφθαλμούς. [f]πάλιν
οὖν ἠρώτων αὐτὸν καὶ οἱ Φαρισαῖοι, πῶς ἀνέβλεψεν.
ὁ δὲ εἶπεν αὐτοῖς, "Πηλὸν ἐπέθηκεν **ἐπὶ τοὺς ὀφθαλ-**
16 **μούς μου**[17], καὶ ἐνιψάμην, καὶ βλέπω." [g]Ἔλεγον οὖν
ἐκ τῶν Φαρισαίων τινές, "**Οὗτος ὁ ἄνθρωπος οὐκ ἔστι**
παρὰ τοῦ Θεοῦ[18], ὅτι τὸ σάββατον οὐ τηρεῖ." Ἄλλοι[19]
ἔλεγον, "Πῶς δύναται ἄνθρωπος ἁμαρτωλὸς τοιαῦτα
17 σημεῖα ποιεῖν;" Καὶ [h]σχίσμα ἦν ἐν αὐτοῖς. Λέ-
γουσι[20] τῷ τυφλῷ πάλιν, "**Σὺ τί**[21] λέγεις περὶ αὐτοῦ,
ὅτι **ἤνοιξέ**[22] σου τοὺς ὀφθαλμούς;" Ὁ δὲ εἶπεν, "Ὅτι
18 [i]προφήτης ἐστίν." Οὐκ ἐπίστευσαν οὖν [k]οἱ Ἰουδαῖοι
περὶ αὐτοῦ, ὅτι **τυφλὸς ἦν**[23] καὶ ἀνέβλεψεν, ἕως ὅτου
19 ἐφώνησαν τοὺς γονεῖς αὐτοῦ τοῦ ἀναβλέψαντος, καὶ

[a] ver. 11. Neh. 3. 15. Vid. Luc. 13. 4.
[b] cap. 11. 37.
[c] Cf. Act. 3. 10.
[d] ver. 6, 7.
[e] cap. 5. 9.
[f] ver. 10.
[g] cap. 5. 10. Vid. Matt. 12. 2.
[h] cap. 10. 19. Vid. cap. 7. 43.
[i] Vid. Matt. 21. 11.
[k] Cf. ver. 13.

[1] προσαίτης LTTrWHR. [2] –δέ TTr (*non marg.*) [L]WHR. [3] ἔλεγον Οὐχί, ἀλλ' (ἀλλὰ TWH) TTr (*non marg.*) WHR, ἔλεγον [Οὐχί, ἀλλ'] L *text.*, ἔλεγον [ὅτι] L *marg.* [4] +δὲ L. [5] +οὖν T[LWH]R. [6] ἠνεῴχθησάν LTTrWH. [7] σοι BEL *marg.* [8] –καὶ εἶπεν TTr[L]WHR. [9] +ὁ TTrWHR. [10] +ὅτι TTrWHR. [11] τὸν LTTrWHR. [12] οὖν LTTrWHR. [13] +[καὶ] Tr (*non marg.*) WHR. [14] εἶπαν LTTrWH. [15] –οὖν LTTrWHR, [οὖν] Tr *marg.* [16] ἐν ᾗ ἡμέρᾳ LTTrWHR. [17] μου ἐπὶ τοὺς ὀφθαλμούς LTTrWHR. [18] Οὐκ ἔστιν οὗτος παρὰ Θεοῦ ὁ ἄνθρωπος L *text.* TTrWHR, at L *marg.* Tr *marg.* Οὗτος ὁ ἄνθρωπος οὐκ ἔστιν παρὰ Θεοῦ. [19] + δὲ R[Tr *marg.* WH]. [20] +(ν) οὖν LTTrWHR. [21] Τί σὺ TrWHR. [22] ἠνέῳξέν TrWH. [23] ἦν τυφλὸς L *marg.* TTr (*non marg.*) WH.

ἠρώτησαν αὐτοὺς λέγοντες, “Οὗτός ἐστιν ὁ υἱὸς
ὑμῶν, ὃν ὑμεῖς λέγετε ὅτι τυφλὸς ἐγεννήθη; πῶς
οὖν **ἄρτι βλέπει**[1];” Ἀπεκρίθησαν[2] **αὐτοῖς**[3] οἱ γονεῖς 20
αὐτοῦ καὶ **εἶπον**[4], “Οἴδαμεν ὅτι οὗτός ἐστιν ὁ υἱὸς
ἡμῶν, καὶ ὅτι τυφλὸς ἐγεννήθη· πῶς δὲ νῦν βλέπει, 21
οὐκ οἴδαμεν· ἢ τίς ἤνοιξεν αὐτοῦ τοὺς ὀφθαλμούς,
ἡμεῖς οὐκ οἴδαμεν· **αὐτὸς ἡλικίαν ἔχει· αὐτὸν ἐρωτή-**
σατε[5], αὐτὸς περὶ **αὐτοῦ**[6] λαλήσει.” Ταῦτα **εἶπον**[7] οἱ 22
γονεῖς αὐτοῦ, [a]ὅτι ἐφοβοῦντο τοὺς Ἰουδαίους· [b]ἤδη
γὰρ συνετέθειντο οἱ Ἰουδαῖοι, ἵνα ἐάν τις αὐτὸν
ὁμολογήσῃ Χριστόν, [c]ἀποσυνάγωγος γένηται. διὰ 23
τοῦτο οἱ γονεῖς αὐτοῦ **εἶπον**[8], “[d]Ὅτι ἡλικίαν ἔχει,
αὐτὸν **ἐρωτήσατε**[9].” Ἐφώνησαν οὖν **ἐκ δευτέρου τὸν** 24
ἄνθρωπον[10] ὃς ἦν τυφλός, καὶ **εἶπον**[11] αὐτῷ, [e]“Δὸς
δόξαν τῷ Θεῷ· ἡμεῖς οἴδαμεν ὅτι [f]**ὁ ἄνθρωπος οὗτος**[12]
ἁμαρτωλός ἐστιν.” Ἀπεκρίθη οὖν ἐκεῖνος **καὶ εἶπεν**[13], 25
“Εἰ ἁμαρτωλός ἐστιν, οὐκ οἶδα· ἓν οἶδα, ὅτι [g]τυφλὸς
ὢν[14], ἄρτι βλέπω.” **Εἶπον**[7] **δὲ**[15] αὐτῷ **πάλιν**[16], “Τί 26
ἐποίησέ σοι; πῶς ἤνοιξέ σου τοὺς ὀφθαλμούς;”
Ἀπεκρίθη αὐτοῖς, [h]“Εἶπον ὑμῖν ἤδη, καὶ οὐκ ἠκού- 27
σατε· τί[17] πάλιν θέλετε ἀκούειν; μὴ καὶ ὑμεῖς θέλετε
αὐτοῦ μαθηταὶ γενέσθαι;” [18]Ἐλοιδόρησαν **οὖν**[19] αὐτόν, 28
καὶ **εἶπον**[20], “Σὺ **εἶ μαθητὴς**[21] ἐκείνου· ἡμεῖς δὲ τοῦ
Μωσέως[22] ἐσμὲν μαθηταί. ἡμεῖς οἴδαμεν ὅτι **Μωσῇ**[23] 29
λελάληκεν ὁ Θεός· τοῦτον δὲ [i]οὐκ οἴδαμεν πόθεν
ἐστίν.” Ἀπεκρίθη ὁ ἄνθρωπος καὶ εἶπεν αὐτοῖς, 30
“Ἐν **γὰρ τούτῳ**[24] [25]θαυμαστόν ἐστιν, [k]ὅτι ὑμεῖς οὐκ
οἴδατε πόθεν ἐστί, καὶ **ἀνέῳξέ**[26] μου τοὺς ὀφθαλμούς.
οἴδαμεν **δὲ**[27] ὅτι [l]**ἁμαρτωλῶν ὁ Θεὸς**[28] οὐκ ἀκούει· ἀλλ' 31
ἐάν τις θεοσεβὴς ᾖ, καὶ τὸ θέλημα αὐτοῦ ποιῇ,

[a] Vid. cap. 7. 13.
[b] Cf. cap. 7. 45—52.
[c] cap. 12. 42; 16. 2.
[d] ver. 21.
[e] Vid. Luc. 17. 18.
[f] ver. 16.
[g] ver. 18, 24.
[h] ver. 15.
[i] cap. 7. 28; 8. 14.
[k] Cf. cap. 3. 10.
[l] Job 27. 9. Ps. 66. 18. Prov. 28. 9.

[1] βλέπει ἄρτι L (*non marg.*) TTrWHR. [2] +οὖν LTWH. [3] −αὐτοῖς TTr[L]WHR. [4] εἶπαν TTrWH. [5] αὐτὸν ἐρωτήσατε, αὐτὸς (−αὐτὸς TTrWH) ἡλικίαν ἔχει LTTrWHR. [6] ἑαυτοῦ TTr (*non marg.*) WHR. [7] εἶπαν WH. [8] εἶπαν LTTrWH. [9] ἐπερωτήσατε TWH (*non marg.*). [10] τὸν ἄνθρωπον ἐκ δευτέρου L (*non marg.*) TTrWHR. [11] εἶπαν LTTrWH. [12] οὗτος ὁ ἄνθρωπος LTr *marg.* WH. [13] −καὶ εἶπεν LTTrWHR. [14] ἤμην καὶ Tr *marg.* [15] οὖν LTTrWHR. [16] −πάλιν LTTrWHR, [πάλιν] Tr *marg.* [17] +οὖν WH *marg.* [18] +καὶ [Tr *marg.*] WHR, +οἱ δὲ Tr. [19] −οὖν LTTrWHR. [20] εἶπαν TWH. [21] μαθητὴς εἶ LTTrWH. [22] Μωυσέως LT(-ϋ-)TrWH. [23] Μωυσεῖ LT(-ϋ-)TrWH. [24] τούτῳ γὰρ TTrWH. [25] +τὸ TTrWHR. [26] ἤνοιξέν L(-ξέ) TTrWH. [27] −δὲ LTTrWHR. [28] ὁ Θεὸς ἁμαρτωλῶν L (*non marg.*) TrWH.

32 [a]τούτου ἀκούει. [b]ἐκ τοῦ αἰῶνος οὐκ ἠκούσθη, ὅτι
33 ἤνοιξέ[1] τις ὀφθαλμοὺς τυφλοῦ γεγεννημένου. [c]εἰ μὴ
ἦν οὗτος παρὰ Θεοῦ, οὐκ ἠδύνατο ποιεῖν οὐδέν."
34 Ἀπεκρίθησαν καὶ εἶπον[2] αὐτῷ, [d]"Ἐν ἁμαρτίαις σὺ
ἐγεννήθης ὅλος, καὶ σὺ διδάσκεις ἡμᾶς;" Καὶ ἐξέ-
35 βαλον αὐτὸν ἔξω. Ἤκουσεν ὁ[3] Ἰησοῦς ὅτι ἐξέβαλον
αὐτὸν ἔξω· καὶ εὑρὼν αὐτόν, εἶπεν αὐτῷ[4], [e]"Σὺ πισ-
36 τεύεις εἰς [f]τὸν υἱὸν τοῦ Θεοῦ[5];" Ἀπεκρίθη ἐκεῖνος
καὶ εἶπε[6], [g]"[7]Τίς ἐστι,[8] Κύριε, ἵνα πιστεύσω εἰς αὐ-
37 τόν;" Εἶπε δὲ[9] αὐτῷ ὁ Ἰησοῦς, "Καὶ ἑώρακας[10]
38 αὐτόν, καὶ [h]ὁ λαλῶν μετὰ σοῦ, ἐκεῖνός ἐστιν." Ὁ δὲ
ἔφη, "Πιστεύω, Κύριε·" καὶ [i]προσεκύνησεν αὐτῷ.
39 καὶ εἶπεν ὁ Ἰησοῦς, [k]"Εἰς κρίμα[11] ἐγὼ εἰς τὸν κόσ-
μον τοῦτον ἦλθον, ἵνα οἱ μὴ βλέποντες βλέπωσι,
40 καὶ [l]οἱ βλέποντες τυφλοὶ γένωνται." Καὶ[12] ἤκουσαν
ἐκ τῶν Φαρισαίων ταῦτα[13] οἱ ὄντες μετ' αὐτοῦ[14], καὶ
41 εἶπον[15] αὐτῷ, [m]"Μὴ καὶ ἡμεῖς τυφλοί ἐσμεν;" Εἶπεν
αὐτοῖς ὁ[16] Ἰησοῦς, "Εἰ τυφλοὶ ἦτε, [n]οὐκ ἂν εἴχετε
ἁμαρτίαν· νῦν δὲ λέγετε, Ὅτι βλέπομεν· ἡ οὖν[17]
ἁμαρτία ὑμῶν μένει.

10 "ἈΜΗΝ ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος
διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ
ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος [o]κλέπτης ἐστὶ καὶ
2 λῃστής· ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας, [p]ποιμήν
3 ἐστι τῶν προβάτων. τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ
τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει, καὶ τὰ ἴδια
4 πρόβατα καλεῖ[18] [q]κατ' ὄνομα, καὶ ἐξάγει αὐτά. καὶ[19]
ὅταν τὰ ἴδια πρόβατα[20] ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν
πορεύεται· καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι
5 οἴδασι τὴν φωνὴν αὐτοῦ. [r]ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκο-
λουθήσωσιν[21], ἀλλὰ φεύξονται ἀπ' αὐτοῦ· ὅτι οὐκ
6 οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν." Ταύτην τὴν

[a] Ps. 34. 15; 145. 18, 19. Prov. 15. 29.
[b] Luc. 1. 70.
[c] ver. 16. Cf. cap. 3. 2; 10. 21.
[d] Cf. ver. 2, 3.
[e] 1 Joan. 5. 13.
[f] (var. lect.) Vid. Matt. 14. 33.
[g] Cf. Rom. 10. 14.
[h] Cf. cap. 4. 26.
[i] Vid. Matt. 8. 2.
[k] Vid. cap. 5. 22.
[l] Cf. Matt. 9. 13. 2 Cor. 2. 16.
[m] Cf. Rom. 2. 19.
[n] cap. 15. 22, 24. Cf. Jac. 4. 17.
[o] ver. 8.
[p] ver. 11.
[q] 3 Joan. 15.
[r] Cf. ver. 12, 13.
[s] cap. 3. 13, &c.

[1] ἠνέῳξέν TrWH. [2] εἶπαν LTTrWH. [3] —ὁ T[Tr]WH. [4] —αὐτῷ T[Tr]WHR. [5] [s]ἀνθρώπου TWH.R *marg.* [6] —καὶ εἶπε LTr *marg.*, *at* [καὶ εἶπεν] WH *text.*, *om.* ἀπεκρίθη ἐκεῖνος [καὶ εἶπεν] WH *marg.* [7] +Καὶ TTrWHR. [8] +ἔφη Tr *marg.* WH. *marg.* [9] (εἶπεν) —δὲ LTTrWHR. [10] ἑώρακας Tr. [11] κρῖμα SBL. [12] —Καὶ TTrWHR. [13] —ταῦτα T. [14] μετ' αὐτοῦ ὄντες LTTrWHR. [15] εἶπαν TWH. [16] [ὁ] WH. [17] —οὖν TTr[L]WHR, *at* αἱ ἁμαρτίαι ὑμῶν μένουσιν Tr *marg.* [18] φωνεῖ LTTrWHR. [19] —καὶ TTrWHR, [καὶ] Tr *marg.* [20] πάντα LTTrWHR. [21] ἀκολουθήσουσιν LTTrWHR.

[a]παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς· ἐκεῖνοι δὲ οὐκ
ἔγνωσαν τίνα ἦν[1] ἃ ἐλάλει αὐτοῖς.
Εἶπεν οὖν **πάλιν αὐτοῖς**[2] ὁ[3] Ἰησοῦς, "Ἀμὴν ἀμὴν 7
λέγω ὑμῖν, **ὅτι**[4] [b]ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων.
πάντες ὅσοι **πρὸ ἐμοῦ ἦλθον**[5], [c]κλέπται εἰσὶ καὶ λῃσ- 8
ταί· ἀλλ' οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. [b]ἐγώ 9
εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται,
καὶ [d]εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ [e]νομὴν εὑρήσει.
ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ 10
καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον [f]ἵνα ζωὴν ἔχωσι, καὶ [g]περισ-
σὸν ἔχωσιν. [h]Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· ὁ ποιμὴν 11
ὁ καλὸς [i]τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβά-
των. ὁ μισθωτὸς **δέ**[6], καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ 12
εἰσὶ[7] τὰ πρόβατα ἴδια, θεωρεῖ [k]τὸν λύκον ἐρχόμενον,
καὶ [l]ἀφίησι τὰ πρόβατα, καὶ φεύγει· καὶ ὁ λύκος
[m]ἁρπάζει αὐτά, καὶ [n]σκορπίζει **τὰ πρόβατα. ὁ δὲ μισ-** 13
θωτὸς φεύγει[8], ὅτι μισθωτός ἐστι, καὶ [o]οὐ μέλει **αὐτῷ**
περὶ τῶν προβάτων. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· 14
καὶ [p]γινώσκω τὰ ἐμά, καὶ **γινώσκομαι ὑπὸ τῶν ἐμῶν**[9].
καθὼς [q]γινώσκει με ὁ πατήρ, κἀγὼ γινώσκω τὸν πα- 15
τέρα· καὶ [i]τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβά-
των. καὶ [r]ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς 16
[s]αὐλῆς ταύτης· κἀκεῖνά **με δεῖ**[10] ἀγαγεῖν, καὶ [t]τῆς
φωνῆς μου ἀκούσουσι· καὶ [u]**γενήσεται**[11] μία ποίμνη,
[x]εἷς ποιμήν. [y]διὰ τοῦτο **ὁ πατήρ με**[12] ἀγαπᾷ, ὅτι ἐγὼ 17
[z]τίθημι [i]τὴν ψυχήν μου, ἵνα πάλιν λάβω αὐτήν.
οὐδεὶς **αἴρει**[13] αὐτὴν ἀπ' ἐμοῦ, ἀλλ' [i]ἐγὼ τίθημι αὐτὴν 18
ἀπ' ἐμαυτοῦ. [a]ἐξουσίαν ἔχω θεῖναι αὐτήν, καὶ ἐξου-
σίαν ἔχω πάλιν λαβεῖν αὐτήν· [b]ταύτην τὴν ἐντολὴν
ἔλαβον παρὰ τοῦ πατρός μου." [c]Σχίσμα **οὖν**[14] πάλιν 19
ἐγένετο ἐν τοῖς Ἰουδαίοις διὰ τοὺς λόγους τούτους.
ἔλεγον **δὲ**[15] πολλοὶ ἐξ αὐτῶν, [d]"Δαιμόνιον ἔχει καὶ 20
[e]μαίνεται· τί αὐτοῦ ἀκούετε;" Ἄλλοι ἔλεγον, "Ταῦτα 21

[a] cap. 16. 25, 29. 2 Pet. 2. 22. [b] ver. 9. Cf. Eph. 2. 18. [c] ver. 1. [d] Num. 27. 17. Deut. 31. 2. 1 Sam. 18. 18. 1 Reg. 3. 7. Act. 1. 21. Cf. Act. 9. 28. [e] Ps. 23. 2. Ezek. 34. 14. [f] cap. 5. 40. [g] Rom. 5. 17. [h] ver. 2. Esa. 40. 11. Ezek. 34. 12. Zech. 13. 7. Heb. 13. 20. 1 Pet. 2. 25; 5. 4. [i] ver. 15, 17, 18. 1 Joan. 3. 16. Cf. cap. 15. 13. [k] Vid. Matt. 7. 15. Cf. ver. 5. [l] Zech. 11. 17. [m] Esa. 9. 20. [n] cap. 11. 52. [o] Zech. 13. 16. [p] ver. 27. Nah. 1. 7. 2 Tim. 2. 19. [q] Vid. Matt. 11. 27. [r] Esa. 56. 8. [s] ver. 1. [t] ver. 27. cap. 18. 37. Cf. 1 Joan. 4. 6. [u] Cf. Eph. 2. 13—18. 1 Pet. 2. 25. [x] Eccles. 12. 11. Ezek. 34. 23; 37. 24. Cf. cap. 17. 11, 21, 22. [y] Cf. Phil. 2. 9. Cf. Luc. 23. 46. [z] Esa. 53. 7, 8, 12. Heb. 2. 9. 1 Pet. 2. 23. [a] cap. 2. 19. cap. 6. 52. Cf. Phil. 2. 7. [b] cap. 12. 49. [c] cap. 9. 16. Vid. cap. 7. 43. Cf. [d] Vid. cap. 7. 20. [e] Vid. Marc. 3. 21. Cf. Act. 26. 24.

[1] ἧ Tr. [2] *αὐτοῖς πάλιν* L, —*αὐτοῖς* WH, —*πάλιν αὐτοῖς* T. [3] [ὁ] WH. [4] —*ὅτι* Tr[L]WHR. [5] *ἦλθον πρὸ ἐμοῦ* LTrWHR, —*πρὸ ἐμοῦ* T. [6] —*δὲ* T[Tr]WHR, *at* [*δὲ*] *μισθωτὸς* Tr *marg.* [7] *ἔστιν* LTTrWH. [8] —*τὰ πρόβατα. ὁ δὲ μισθωτὸς φεύγει* TTr[LTr *marg.*]WHR. [9] *γινώσκουσίν* (-*σί* TWH) *με τὰ ἐμά* LTTrWHR. [10] *δεῖ με* LTTrWHR. [11] *γενήσονται* TrWHR (*non marg.*). [12] *με ὁ πατὴρ* LTTrWHR. [13] *ἦρεν* WH (*non marg.*) R *marg.* [14] —*οὖν* LTTrWHR. [15] *οὖν* T.

τὰ ῥήματα οὐκ ἔστι δαιμονιζομένου· [a]μὴ δαιμόνιον
δύναται τυφλῶν ὀφθαλμοὺς **ἀνοίγειν**[1];”
22 ἘΓΕΝΕΤΟ **δὲ**[2] τὰ [3]ἐγκαίνια ἐν **τοῖς**[4] Ἱεροσολύ-
23 μοις[5], **καὶ**[6] χειμὼν ἦν· καὶ περιεπάτει ὁ[7] Ἰησοῦς ἐν
24 τῷ ἱερῷ ἐν [b]τῇ στοᾷ **τοῦ Σολομῶντος**[8]. **ἐκύκλωσαν**[9]
οὖν αὐτὸν οἱ Ἰουδαῖοι, καὶ ἔλεγον αὐτῷ, “Ἕως πότε
τὴν ψυχὴν ἡμῶν αἴρεις; εἰ σὺ εἶ ὁ Χριστός, **εἰπὲ**[10]
25 ἡμῖν [c]παρρησίᾳ.” Ἀπεκρίθη **αὐτοῖς**[11] ὁ[7] Ἰησοῦς, [d]“Εἶ-
πον ὑμῖν, καὶ οὐ πιστεύετε. [e]τὰ ἔργα ἃ ἐγὼ ποιῶ ἐν
τῷ ὀνόματι τοῦ πατρός μου, ταῦτα μαρτυρεῖ περὶ
26 ἐμοῦ· **ἀλλ᾽**[12] ὑμεῖς οὐ πιστεύετε· **οὐ γάρ**[13] ἐστε ἐκ
27 τῶν προβάτων τῶν ἐμῶν, **καθὼς εἶπον ὑμῖν**[14]. τὰ
πρόβατα τὰ ἐμὰ [f]τῆς φωνῆς μου **ἀκούει**[15], [g]κἀγὼ γι-
28 νώσκω αὐτά· καὶ ἀκολουθοῦσί μοι, κἀγὼ **ζωὴν αἰώ-
νιον δίδωμι αὐτοῖς**[16]· καὶ [h]οὐ μὴ ἀπόλωνται εἰς τὸν
αἰῶνα, καὶ [i]οὐχ ἁρπάσει τις αὐτὰ ἐκ τῆς χειρός μου.
29 ὁ πατήρ **μου**[17] [k]**ὃς**[18] δέδωκέ μοι, [l]**μείζων πάντων**[19] ἐστί·
καὶ [i]οὐδεὶς δύναται ἁρπάζειν ἐκ τῆς χειρὸς τοῦ πα-
30, 31 τρός **μου**[20]. [m]ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν.” [n]Ἐβάστα-
σαν **οὖν**[21] πάλιν λίθους οἱ Ἰουδαῖοι, ἵνα λιθάσωσιν
32 αὐτόν. ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς, “Πολλὰ **καλὰ
ἔργα**[22] **ἔδειξα ὑμῖν**[23] ἐκ τοῦ πατρός **μου**[24]· διὰ ποῖον
33 αὐτῶν ἔργον **λιθάζετέ με**[25];” Ἀπεκρίθησαν αὐτῷ οἱ
Ἰουδαῖοι **λέγοντες**[26], “Περὶ καλοῦ ἔργου οὐ [o]λιθάζο-
μέν σε, ἀλλὰ περὶ [o]βλασφημίας, καὶ ὅτι σὺ ἄνθρω-
34 πος ὢν [p]ποιεῖς σεαυτὸν Θεόν.” Ἀπεκρίθη αὐτοῖς ὁ[27]
Ἰησοῦς, “Οὐκ ἔστι γεγραμμένον [q]ἐν τῷ νόμῳ ὑμῶν,
35 [r][28]‘Ἐγὼ **εἶπα**[29], θεοί ἐστε’; Εἰ ἐκείνους εἶπε θεούς,
πρὸς οὓς ὁ λόγος **τοῦ Θεοῦ ἐγένετο**[30], καὶ οὐ δύναται
36 λυθῆναι ἡ γραφή· ὃν ὁ πατὴρ [s]ἡγίασε καὶ [t]ἀπέστει-
λεν εἰς τὸν κόσμον, ὑμεῖς λέγετε, Ὅτι [o]βλασφημεῖς,

[a] cap. 9. 33. Cf. Ex. 4. 11. Ps. 146. 8.
[b] Act. 3. 11; 5. 12.
[c] cap. 16. 25. Vid. Marc. 8. 31.
[d] cap. 8. 56, 58.
[e] ver. 38. Vid. cap. 5. 36.
[f] ver. 16.
[g] ver. 14.
[h] cap. 17. 12; 18. 9.
[i] cap. 6. 37.
[k] cap. 17. 2.
[l] cap. 14. 28.
[m] cap. 17. 22. Cf. cap. 14. 9.
[n] cap. 8. 59; 11. 8.
[o] Lev. 24. 16. Cf. cap. 19. 7.
[p] cap. 5. 18.
[q] cap. 12. 34; 15. 25. Rom. 3. 19. 1 Cor. 14. 21.
[r] Ps. 82. 6.
[s] cap. 17. 19. Cf. Jer. 1. 5.
[t] cap. 3. 17.

[1] ἀνοῖξαι TTrWH. [2] τότε Tr *marg.* WH. R *marg.* [3] ἐν- TWH. [4] —τοῖς T (*ita vult*). [5] Ἱεροσολύμοις WH. [6] —καὶ TTrWHR. [7] [ὁ] TrWH. [8] Σολομῶνος LTTr (τοῦ Σ. TrWH) WH. [9] ἐκύκλευσαν Tr *marg.* WH *marg.* [10] εἰπὸν TWH. [11] —αὐτοῖς T. [12] ἀλλὰ LTTrWH. [13] ὅτι οὐκ L *marg.* TTr (*non marg.*) WHR. [14] —καθὼς εἶπον ὑμῖν TTr[LTr *marg.*]WHR. [15] ἀκούουσιν TTrWH. [16] δίδωμι αὐτοῖς ζωὴν αἰώνιον TTr (*non marg.*) WH. [17] —μου T. [18] ὃ TTrWH (*non marg.*) R *marg.* [19] πάντων μεῖζόν TTrWH *text.* (πάντων μείζων WH *marg.*) R *marg.* [20] —μου T[Tr]WHR. [21] —οὖν T[Tr]WHR. [22] ἔργα καλὰ LT. [23] ἔργα ἔδειξα ὑμῖν καλὰ WH *text.*, ἔργα καλὰ ἔδειξα ὑμῖν WH *marg.* [24] —μου T[LTr]WHR. [25] με (ἐμὲ TTrWH) λιθάζετε L *marg.* TTrWH. [26] —λέγοντες LTTrWHR. [27] [ὁ] TrWH. [28] +ὅτι LTTrWHR. [29] εἶπον L. [30] ἐγένετο τοῦ Θεοῦ T.

[a] cap. 5. 17, 18. Vid. Matt. 14. 33. Cf. ver. 30.
[b] cap. 15. 24.
[c] cap. 14. 11.
[d] ver. 25.
[e] cap. 14. 10, 11, 20; 17. 21, 23. Cf. cap. 8. 29.
[f] cap. 7. 30. Vid. Matt. 12. 14.
[g] cap. 11. 53.
[h] Cf. cap. 8. 59.
[i] Cf. cap. 11. 7. Matt. 19. 1.
[k] Vid. cap. 1. 28.
[l] cap. 1. 29—34; 3. 27—30; 5. 33.
[m] Vid. cap. 7. 31.
[n] ver. 18. cap. 12. 1. Vid. Matt. 21. 17.
[o] ver. 19, 20; 12. 2, 3. Luc. 10. 39, 40, 41.
[p] cap. 12. 3. Cf. Luc. 7. 38.
[q] Vid. Luc. 7. 19.
[r] ver. 5, 11, 36.
[s] ver. 40. Cf. cap. 9. 3.
[t] Cf. cap. 2. 11.
[u] cap. 8. 59; 10. 31.
[x] Cf. Luc. 13. 33.
[y] Vid. cap. 9. 4. Cf. 1 Joan. 2. 10.
[z] Jer. 1. 16.

ὅτι εἶπον, [a]Υἱὸς τοῦ[1] Θεοῦ εἰμί; [b]εἰ οὐ ποιῶ τὰ ἔργα 37
τοῦ πατρός μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, [c]κἂν 38
ἐμοὶ μὴ πιστεύητε[2], [d]τοῖς ἔργοις πιστεύσατε[3]· ἵνα
γνῶτε καὶ πιστεύσητε[4], ὅτι [e]ἐν ἐμοὶ ὁ πατήρ, κἀγὼ
ἐν αὐτῷ[5]." [f]Ἐζήτουν οὖν[6] [g]πάλιν[7] αὐτὸν[8] πιάσαι· [h]καὶ 39
ἐξῆλθεν ἐκ τῆς χειρὸς αὐτῶν.
ΚΑΙ ἀπῆλθε [i]πάλιν [k]πέραν τοῦ Ἰορδάνου, εἰς τὸν 40 λγ
τόπον [k]ὅπου ἦν Ἰωάννης[9] τὸ πρῶτον βαπτίζων· καὶ δ
ἔμεινεν[10] ἐκεῖ. καὶ πολλοὶ ἦλθον πρὸς αὐτόν, καὶ 41 λδ
ἔλεγον, "Ὅτι Ἰωάννης[9] μὲν σημεῖον ἐποίησεν οὐδέν· ι
[l]πάντα δὲ ὅσα εἶπεν Ἰωάννης[9] περὶ τούτου, ἀληθῆ
ἦν." Καὶ [m]ἐπίστευσαν πολλοὶ[11] ἐκεῖ εἰς αὐτόν[12]. 42
ἮΝ δέ τις ἀσθενῶν Λάζαρος ἀπὸ [n]Βηθανίας, ἐκ 11 ΙΑ'.
τῆς κώμης [o][13]Μαρίας καὶ [o]Μάρθας τῆς ἀδελφῆς αὐτῆς.
ἦν δὲ [p]Μαρία[14] ἡ ἀλείψασα τὸν [q]Κύριον μύρῳ, καὶ [p]ἐκ- 2
μάξασα τοὺς πόδας αὐτοῦ ταῖς θριξὶν αὐτῆς, ἧς ὁ
ἀδελφὸς Λάζαρος ἠσθένει. ἀπέστειλαν οὖν αἱ ἀδελ- 3
φαὶ πρὸς αὐτὸν λέγουσαι, "Κύριε, ἴδε [r]ὃν φιλεῖς
ἀσθενεῖ." Ἀκούσας δὲ ὁ Ἰησοῦς εἶπεν, "Αὕτη ἡ 4
ἀσθένεια οὐκ ἔστι πρὸς θάνατον, ἀλλ' [s]ὑπὲρ τῆς
δόξης τοῦ Θεοῦ, [t]ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ Θεοῦ δι'
αὐτῆς." [r]Ἠγάπα δὲ ὁ Ἰησοῦς τὴν Μάρθαν καὶ τὴν 5
ἀδελφὴν αὐτῆς καὶ τὸν Λάζαρον. ὡς οὖν ἤκουσεν 6
ὅτι ἀσθενεῖ, τότε μὲν ἔμεινεν ἐν ᾧ ἦν τόπῳ δύο
ἡμέρας. Ἔπειτα μετὰ τοῦτο λέγει τοῖς μαθηταῖς[15], 7
[i]"Ἄγωμεν εἰς τὴν Ἰουδαίαν [i]πάλιν." Λέγουσιν αὐτῷ 8
οἱ μαθηταί, "Ῥαββί[16], [u]νῦν ἐζήτουν σε λιθάσαι οἱ
Ἰουδαῖοι, καὶ πάλιν ὑπάγεις ἐκεῖ;" Ἀπεκρίθη ὁ[17] 9
Ἰησοῦς, [x]"Οὐχὶ δώδεκά εἰσιν ὧραι[18] τῆς ἡμέρας; [y]ἐάν
τις περιπατῇ ἐν τῇ ἡμέρᾳ, οὐ προσκόπτει, ὅτι τὸ
φῶς τοῦ κόσμου τούτου βλέπει· [yz]ἐὰν δέ τις περι- 10
πατῇ ἐν τῇ νυκτί, προσκόπτει, ὅτι τὸ φῶς οὐκ ἔστιν
ἐν αὐτῷ." Ταῦτα εἶπε, καὶ μετὰ τοῦτο λέγει αὐτοῖς, 11

[1] —τοῦ T. [2] πιστεύετε T. [3] πιστεύετε LTTrWHR. [4] γινώσκητε LTTrWHR. [5] τῷ πατρί L (*non marg.*) TTrWHR. [6] —οὖν [TrWH]R. [7] —πάλιν T. [8] αὐτὸν πάλιν WH, [πάλιν] αὐτὸν WH *marg.* [9] Ἰωάνης TrWH. [10] ἔμενεν LTr *marg.* WH (*non marg.*). [11] πολλοὶ ἐπίστευσαν LTTrWHR. [12] εἰς αὐτὸν ἐκεῖ LTTrWHR. [13] + τῆς T. [14] Μαριὰμ TrWH. [15] + [αὐτοῦ] L. [16] Ῥαββεί TWH. [17] —ὁ LTTrWH. [18] ὧραί εἰσιν LTTrWH.

“Λάζαρος [a]ὁ φίλος ἡμῶν [b]κεκοίμηται· ἀλλὰ πορεύο-
12 μαι ἵνα ἐξυπνίσω αὐτόν.” Εἶπον[1] οὖν[2] οἱ μαθηταὶ
13 αὐτοῦ[3], “Κύριε, εἰ [b]κεκοίμηται, σωθήσεται.” Εἰρήκει
δὲ ὁ Ἰησοῦς περὶ τοῦ θανάτου αὐτοῦ· ἐκεῖνοι δὲ
ἔδοξαν ὅτι περὶ τῆς κοιμήσεως τοῦ ὕπνου λέγει.
14 τότε οὖν[4] εἶπεν αὐτοῖς ὁ Ἰησοῦς [c]παρρησίᾳ, “Λάζαρος
15 ἀπέθανε· καὶ χαίρω δι’ ὑμᾶς, ἵνα πιστεύσητε, ὅτι
16 οὐκ ἤμην ἐκεῖ· ἀλλ’[5] ἄγωμεν πρὸς αὐτόν.” Εἶπεν
οὖν [d e]Θωμᾶς, [d]ὁ λεγόμενος Δίδυμος, τοῖς [6]συμμαθη-
ταῖς, “Ἄγωμεν καὶ ἡμεῖς, ἵνα ἀποθάνωμεν μετ’
αὐτοῦ.”
17 Ἐλθὼν[7] οὖν ὁ Ἰησοῦς[8] εὗρεν αὐτὸν [f]τέσσαρας
18 ἡμέρας ἤδη[9] ἔχοντα ἐν τῷ μνημείῳ. ἦν δὲ ἡ[10] [g]Βηθανία
ἐγγὺς τῶν Ἱεροσολύμων[11], ὡς ἀπὸ σταδίων δεκαπέντε·
19 καὶ πολλοὶ[12] ἐκ τῶν Ἰουδαίων ἐληλύθεισαν πρὸς τὰς
περὶ[13] [g]Μάρθαν καὶ Μαρίαν[14], ἵνα [h]παραμυθήσωνται
20 αὐτὰς περὶ τοῦ ἀδελφοῦ αὐτῶν[15]. ἡ οὖν Μάρθα ὡς
ἤκουσεν ὅτι ὁ[16] Ἰησοῦς ἔρχεται, ὑπήντησεν αὐτῷ·
21 [i]Μαρία[17] δὲ ἐν τῷ οἴκῳ ἐκαθέζετο. εἶπεν οὖν ἡ[18]
Μάρθα πρὸς τὸν[19] Ἰησοῦν, [k]“Κύριε[20], εἰ ἦς ὧδε, [l]ὁ ἀδελ-
22 φός μου οὐκ ἂν ἐτεθνήκει[21]. ἀλλὰ[22] καὶ νῦν οἶδα ὅτι
23 ὅσα ἂν αἰτήσῃ τὸν Θεόν, δώσει σοι ὁ Θεός.” Λέγει
αὐτῇ ὁ Ἰησοῦς, “Ἀναστήσεται ὁ ἀδελφός σου.”
24 Λέγει αὐτῷ[23] Μάρθα, “Οἶδα ὅτι ἀναστήσεται, [m]ἐν τῇ
25 ἀναστάσει ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ.” Εἶπεν αὐτῇ ὁ
Ἰησοῦς, “Ἐγώ εἰμι [n]ἡ ἀνάστασις καὶ [o]ἡ ζωή. ὁ
26 πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ, ζήσεται· καὶ πᾶς ὁ
ζῶν καὶ πιστεύων εἰς ἐμέ, οὐ μὴ ἀποθάνῃ [p]εἰς τὸν
27 αἰῶνα. [q]πιστεύεις τοῦτο;” Λέγει αὐτῷ, “Ναί, Κύριε·
[q]ἐγὼ πεπίστευκα, ὅτι [r]σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ
28 Θεοῦ, [s]ὁ εἰς τὸν κόσμον [t]ἐρχόμενος.” Καὶ ταῦτα[24]

[1] εἶπαν WH. [2] + αὐτῷ LTR. [3] −αὐτοῦ LTR, *at* αὐτῷ TrWH. [4] [οὖν] L. [5] ἀλλὰ LTTrWH. [6] συν- TWH. [7] Ἦλθεν LTr *marg.* [8] + καὶ LTr *marg.* [9] ἤδη ἡμέρας L *marg.* Tr (*non marg.*) WH, *at* −ἤδη T. [10] −ἡ TWH. [11] Ἰεροσολύμων WH. [12] πολλοὶ δὲ LTTrWHR. [13] τὴν LTrWHR. [14] Μαριάμ LTTrWH. [15] −αὐτῶν TTrWHR. [16] −ὁ LTTrWH. [17] Μαριὰμ WH (*non marg.*). [18] −ἡ L. [19] −τὸν T[Tr]WH. [20] −Κύριε [Tr *marg.*]WH *marg.* [21] οὐκ ἂν ἀπέθανεν (ἐτεθνήκει Tr *marg.*) ὁ ἀδελφός μου LTTrWHR. [22] −ἀλλὰ TTr[LTr *marg.*] WHR. [23] + ἡ LTTrWH. [24] τοῦτο TTrWHR.

[a] ver. 3.
[b] ver. 13. Vid. Matt. 27. 52. Cf. Marc. 5. 39.
[c] Vid. Marc. 8. 31.
[d] cap. 20. 24; 21. 2.
[e] Matt. 10. 3. Marc. 3. 18. Luc. 6. 15. cap. 14. 5; 20. 24—28. Act. 1. 13.
[f] ver. 39. Cf. ver. 6.
[g] ver. 1.
[h] ver. 31. Job 2. 11. 1 Thess. 2. 11; 5. 14.
[i] Luc. 10. 38, 39.
[k] ver. 3.
[l] ver. 32. Cf. cap. 4. 49.
[m] cap. 5. 25, 28, 29. Vid. Luc. 14. 14.
[n] Cf. cap. 5. 21; 6. 39. 1 Cor. 15. 21.
[o] cap. 14. 6. Col. 3. 4. Vid. cap. 1. 4.
[p] cap. 6. 51.
[q] cap. 3. 16; 6. 69. 1 Joan. 4. 16.
[r] Matt. 16. 16, 20.
[s] cap. 6. 14 (var. lect.).
[t] Vid. Matt. 11. 3.

εἰποῦσα [a]ἀπῆλθε, καὶ ἐφώνησε **Μαρίαν**[1] τὴν ἀδελ-
φὴν αὐτῆς **λάθρα**[2], **εἰποῦσα**[3], [b]"Ὁ διδάσκαλος πάρ-
εστι καὶ φωνεῖ σε." Ἐκείνη[4] ὡς ἤκουσεν, **ἐγείρεται**[5] 29
ταχὺ καὶ **ἔρχεται**[6] πρὸς αὐτόν. οὔπω δὲ ἐληλύθει 30
ὁ Ἰησοῦς εἰς τὴν κώμην, ἀλλ' ἦν[7] ἐν τῷ τόπῳ [a]ὅπου
ὑπήντησεν αὐτῷ ἡ Μάρθα. οἱ οὖν Ἰουδαῖοι [c]οἱ ὄντες 31
μετ' αὐτῆς ἐν τῇ οἰκίᾳ καὶ [c]παραμυθούμενοι αὐτήν,
ἰδόντες τὴν **Μαρίαν**[8] ὅτι ταχέως ἀνέστη καὶ ἐξῆλθεν,
ἠκολούθησαν αὐτῇ, **λέγοντες**[9], "[a]Ὅτι ὑπάγει εἰς τὸ
μνημεῖον, ἵνα κλαύσῃ ἐκεῖ." Ἡ οὖν **Μαρία**[10] ὡς 32
ἦλθεν ὅπου ἦν ὁ[11] Ἰησοῦς, ἰδοῦσα αὐτόν, [d]ἔπεσεν **εἰς**
τοὺς πόδας αὐτοῦ[12], λέγουσα αὐτῷ, [e]"Κύριε, εἰ ἦς
ὧδε, οὐκ ἂν **ἀπέθανέ μου**[13] ὁ ἀδελφός." Ἰησοῦς οὖν 33
ὡς εἶδεν αὐτὴν κλαίουσαν, καὶ τοὺς συνελθόντας
αὐτῇ Ἰουδαίους κλαίοντας, [f]ἐνεβριμήσατο [g]τῷ πνεύ-
ματι, καὶ [h]ἐτάραξεν ἑαυτόν, καὶ εἶπε, "Ποῦ τεθεί- 34
κατε αὐτόν;" Λέγουσιν αὐτῷ, "Κύριε, ἔρχου καὶ
ἴδε." [i]Ἐδάκρυσεν ὁ Ἰησοῦς. ἔλεγον οὖν οἱ Ἰουδαῖοι, 35, 36
[k]"Ἴδε πῶς ἐφίλει αὐτόν." [l]Τινὲς δὲ ἐξ αὐτῶν **εἶπον**[14], 37
"Οὐκ **ἠδύνατο**[15] οὗτος ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς
τοῦ τυφλοῦ, ποιῆσαι ἵνα καὶ οὗτος μὴ ἀποθάνῃ;"
Ἰησοῦς οὖν πάλιν [f]**ἐμβριμώμενος**[16] ἐν ἑαυτῷ, ἔρχεται 38
εἰς τὸ μνημεῖον. [m]ἦν δὲ σπήλαιον, καὶ [n]λίθος ἐπέκειτο
ἐπ' αὐτῷ. λέγει ὁ[17] Ἰησοῦς, "Ἄρατε τὸν λίθον." 39
Λέγει αὐτῷ ἡ ἀδελφὴ τοῦ **τεθνηκότος**[18] Μάρθα, "Κύ-
ριε, ἤδη ὄζει· [o]τεταρταῖος γάρ ἐστι." Λέγει αὐτῇ ὁ 40
Ἰησοῦς, "Οὐκ εἶπόν σοι, ὅτι [p]ἐὰν πιστεύσῃς, **ὄψει**[19]
[q]τὴν δόξαν τοῦ Θεοῦ;" Ἦραν οὖν [n]**τὸν λίθον, οὗ ἦν ὁ** 41
τεθνηκὼς κείμενος[20]. Ὁ δὲ Ἰησοῦς [r]ἦρε τοὺς ὀφθαλ-
μοὺς ἄνω, καὶ εἶπε, [s]"Πάτερ, εὐχαριστῶ σοι ὅτι
ἤκουσάς μου. ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις· 42

[a] Cf. ver. 20.
[b] Matt. 26. 18. Marc. 14. 14. Luc. 22. 11.
[c] ver. 19.
[d] Vid. Luc. 8. 28.
[e] ver. 21.
[f] ver. 38. Marc. 14. 5.
[g] Marc. 8. 12. cap. 13. 21.
[h] cap. 12. 27; 13. 21.
[i] Luc. 19. 41.
[k] ver. 3, 5, 11.
[l] cap. 9. 7.
[m] Esa. 22. 16.
[n] Matt. 27. 60. Marc. 15. 46. Luc. 24. 2. cap. 20. 1.
[o] ver. 17.
[p] ver. 25, 26. Cf. Matt. 17. 20.
[q] ver. 4. Cf. Rom. 6. 4.
[r] Vid. cap. 17. 1.
[s] cap. 12. 27, 28. Vid. Matt. 11. 25.

1 Μαριὰμ LTTrWH. 2 λάθρᾳ LWH. 3 εἴπασα TrWH (*jungit* λάθρα εἰποῦσα R *marg.*). 4 + δὲ Tr[Tr *marg.*]WHR. 5 ἠγέρθη LTrWHR. 6 ἤρχετο L *marg.* TrWHR. 7 + ἔτι LTr[Tr *marg.*]WHR. 8 Μαριὰμ LTTrWH. 9 δόξαντες TTrWHR. 10 Μαριὰμ TTrWH. 11 —ὁ LTTrWH. 12 αὐτοῦ πρὸς τοὺς πόδας TTrWH. 13 μου ἀπέθανεν TTrWH. 14 εἶπαν WH. 15 ἐδύνατο LTTrWH. 16 ἐμβριμησάμενος L *marg.*, ἐμβριμούμενος T. 17 —ὁ L[Tr]. 18 τετελευτηκότος LTTr *corr.* WHR. 19 ὄψῃ LTTrWH. 20 —οὗ ἦν ὁ τεθνηκὼς κείμενος LTTrWHR.

ἀλλὰ [a]διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον, [b]ἵνα πισ-
43 τεύσωσιν ὅτι [c]σύ με ἀπέστειλας.” Καὶ ταῦτα εἰπών,
44 [d]φωνῇ μεγάλῃ ἐκραύγασε, “Λάζαρε, δεῦρο ἔξω.” Καὶ[1]
ἐξῆλθεν ὁ τεθνηκώς, [e]δεδεμένος τοὺς πόδας καὶ τὰς
χεῖρας κειρίαις, καὶ [f]ἡ ὄψις αὐτοῦ [g]σουδαρίῳ περιεδέ-
δετο. λέγει αὐτοῖς ὁ Ἰησοῦς[2], “Λύσατε αὐτόν, καὶ
ἄφετε[3] ὑπάγειν.”
45 [h]Πολλοὶ οὖν ἐκ τῶν Ἰουδαίων [i]οἱ ἐλθόντες πρὸς
τὴν Μαρίαν[4], καὶ θεασάμενοι [k]ἃ[5] ἐποίησεν ὁ Ἰησοῦς[6],
46 ἐπίστευσαν εἰς αὐτόν. τινὲς δὲ ἐξ αὐτῶν ἀπῆλθον
πρὸς [l]τοὺς Φαρισαίους, καὶ εἶπον[7] αὐτοῖς ἃ[8] ἐποίησεν
47 ὁ[9] Ἰησοῦς. [m]συνήγαγον οὖν οἱ ἀρχιερεῖς καὶ οἱ
Φαρισαῖοι [n]συνέδριον, καὶ ἔλεγον, [o]“Τί ποιοῦμεν; ὅτι
48 οὗτος ὁ ἄνθρωπος πολλὰ σημεῖα ποιεῖ[10]. ἐὰν ἀφῶ-
μεν αὐτὸν οὕτω, πάντες πιστεύσουσιν εἰς αὐτόν· καὶ
ἐλεύσονται [p]οἱ Ῥωμαῖοι καὶ ἀροῦσιν ἡμῶν καὶ [q]τὸν
49 τόπον καὶ τὸ ἔθνος.” Εἷς δέ τις ἐξ αὐτῶν [r]Καϊάφας[11],
[s]ἀρχιερεὺς ὢν τοῦ ἐνιαυτοῦ ἐκείνου, εἶπεν αὐτοῖς,
50 “Ὑμεῖς οὐκ οἴδατε οὐδέν· οὐδὲ διαλογίζεσθε[12], [t]ὅτι
συμφέρει ἡμῖν[13], ἵνα εἷς ἄνθρωπος ἀποθάνῃ ὑπὲρ
51 τοῦ λαοῦ, καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται.” Τοῦτο
δὲ ἀφ᾽ ἑαυτοῦ οὐκ εἶπεν, ἀλλὰ [s]ἀρχιερεὺς ὢν τοῦ
ἐνιαυτοῦ ἐκείνου, [u]προεφήτευσεν[14] ὅτι ἔμελλεν[15] ὁ[16] Ἰη-
52 σοῦς [x]ἀποθνήσκειν ὑπὲρ τοῦ ἔθνους, καὶ [y]οὐχ ὑπὲρ
τοῦ ἔθνους μόνον, ἀλλ᾽ ἵνα καὶ [z]τὰ τέκνα τοῦ Θεοῦ
53 τὰ [a]διεσκορπισμένα συναγάγῃ εἰς ἕν. ἀπ᾽ ἐκείνης
οὖν τῆς ἡμέρας [b]συνεβουλεύσαντο[17] ἵνα ἀποκτείνωσιν
54 αὐτόν. Ἰησοῦς οὖν[18] [c]οὐκ ἔτι[19] [d]παρρησίᾳ περιεπάτει
ἐν τοῖς Ἰουδαίοις, ἀλλὰ ἀπῆλθεν ἐκεῖθεν εἰς τὴν
χώραν ἐγγὺς τῆς ἐρήμου, εἰς [e]Ἐφραῒμ[20] λεγομένην
55 πόλιν, κἀκεῖ διέτριβε[21] μετὰ τῶν μαθητῶν αὐτοῦ[22]. ἦν
δὲ ἐγγὺς [f]τὸ πάσχα τῶν Ἰουδαίων· καὶ [g]ἀνέβησαν

[a] cap. 12. 30. [b] cap. 17. 21. [c] cap. 3. 17 [d] Cf. Marc. 5. 41. [e] cap. 19. 40. [f] cap. 20. 7. [g] Vid. Luc 19. 20. [h] Vid. cap. 7. 31. Cf. Act. 9. 42. [i] ver. 19. [k] cap. 2. 23 [l] ver. 57. [m] Matt. 26. 3. [n] Vid. Matt. 5. 22. [o] cap. 12. 19. Act. 4. 16. [p] Cf. cap. 6. 15; 18. 36, 37. [q] Vid. Matt. 24. 15. [r] Vid. Matt. 26. 3. [s] ver. 51. cap. 18. 13. [t] cap. 18. 14. [u] Ex. 28. 30. Num. 27. 21. 1 Sam. 23. 9; 30. 7. Ezra 2. 63. Neh. 7. 65. [x] Vid. Matt. 20. 28. [y] Esa. 49. 6. 1 Joan. 2. 2. [z] cap. 1. 12. 1 Joan. 3. 1, 2, 10; 5. 2. [a] cap. 10. 12. [b] ver. 47. cap. 10. 39. [c] Cf. cap. 7. 1. [d] Vid. Marc. 8. 32. [e] Cf. 2 Chr. 13. 19. [f] cap. 12. 1, 12; 18. 1. Vid. cap. 2. 13. [g] Luc. 2. 42.

1 —Καὶ TTrWHR. 2 [ὁ] Ἰησοῦς αὐτοῖς Tr *marg.* WH. 3 + αὐτὸν T[Tr]WHR. 4 Μαριὰμ LTTrWH. 5 ὃ Tr (*non marg.*) WH (*non marg.*) R (*non marg.*). 6 —ὁ Ἰησοῦς LTTrWHR. 7 εἶπαν TWH. 8 ὃ L (*non marg.*) Tr *marg.* 9 —ὁ LTTrWH. 10 ποιεῖ σημεῖα LTTrWH (*at* π. σημεῖα; WH). 11 Καιάφας WH. 12 λογίζεσθε LTTrWHR. 13 ὑμῖν TTr (*non marg.*) WHR. 14 ἐπροφήτευσεν LTTrWH. 15 ἤμελλεν LTr. 16 —ὁ LTTrWH. 17 ἐβουλεύσαντο LTTr (*non marg.*) WHR. 18 ὁ οὖν Ἰησοῦς TrWH. 19 οὐκέτι LTTrWH. 20 Ἐφραὶμ LTWH. 21 ἔμεινεν Tr (*non marg.*) WHR. 22 —αὐτοῦ TTrWHR.

πολλοὶ εἰς Ἱεροσόλυμα[1] ἐκ τῆς χώρας πρὸ τοῦ
πάσχα, [a]ἵνα ἁγνίσωσιν ἑαυτούς. [b]ἐζήτουν οὖν τὸν 56
Ἰησοῦν, καὶ **ἔλεγον**[2] μετ' ἀλλήλων ἐν τῷ ἱερῷ ἑστη-
κότες, "Τί δοκεῖ ὑμῖν, ὅτι οὐ μὴ ἔλθῃ εἰς τὴν
ἑορτήν;" Δεδώκεισαν δὲ **καὶ**[3] οἱ ἀρχιερεῖς καὶ [c]οἱ 57
Φαρισαῖοι **ἐντολήν**[4], ἵνα ἐάν τις γνῷ ποῦ ἐστί, μη-
νύσῃ, ὅπως πιάσωσιν αὐτόν.

[d]Ὁ ΟΥΝ Ἰησοῦς πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα **12**
ἦλθεν εἰς [e]Βηθανίαν, [f]ὅπου ἦν Λάζαρος **ὁ τεθνηκώς**[5], ὃν
ἤγειρεν ἐκ νεκρῶν[6]. ἐποίησαν οὖν αὐτῷ δεῖπνον ἐκεῖ, 2
καὶ ἡ [e][g]Μάρθα διηκόνει· ὁ δὲ Λάζαρος εἷς ἦν[7] τῶν ξη
συνανακειμένων[8] αὐτῷ. Ἡ οὖν [e]**Μαρία**[9] λαβοῦσα [h]λίτ- 3 α/ΙΒʹ
ραν [i]μύρου νάρδου πιστικῆς πολυτίμου, [k]ἤλειψε τοὺς
πόδας **τοῦ**[10] Ἰησοῦ, καὶ [k]ἐξέμαξε ταῖς θριξὶν αὐτῆς
τοὺς πόδας αὐτοῦ· ἡ δὲ οἰκία **ἐπληρώθη**[11] ἐκ τῆς
ὀσμῆς τοῦ μύρου. λέγει **οὖν**[12] **εἷς ἐκ τῶν μαθητῶν** 4 ΙΓʹ
αὐτοῦ, [l]**Ἰούδας Σίμωνος Ἰσκαριώτης**[13], ὁ μέλλων αὐτὸν
παραδιδόναι, "Διατί[14] τοῦτο τὸ μύρον οὐκ ἐπράθη 5
τριακοσίων [m]δηναρίων, καὶ ἐδόθη πτωχοῖς;" Εἶπε δὲ 6
τοῦτο, οὐχ ὅτι περὶ τῶν πτωχῶν ἔμελεν αὐτῷ, ἀλλ'[15]
ὅτι κλέπτης ἦν, καὶ [n]τὸ γλωσσόκομον **εἶχε, καὶ**[16] τὰ
βαλλόμενα [o]ἐβάσταζεν. εἶπεν οὖν ὁ Ἰησοῦς, "Ἄφες 7
αὐτήν·[17] εἰς τὴν ἡμέραν [p]τοῦ ἐνταφιασμοῦ μου **τετή-
ρηκεν**[18] αὐτό. τοὺς πτωχοὺς γὰρ πάντοτε ἔχετε μεθ' 8
ἑαυτῶν, ἐμὲ δὲ οὐ πάντοτε ἔχετε."

Ἔγνω **οὖν**[19] ὄχλος πολὺς ἐκ τῶν Ἰουδαίων ὅτι ἐκεῖ 9 ξθ/ι
ἐστί· καὶ **ἦλθον**[20] οὐ διὰ τὸν Ἰησοῦν μόνον, ἀλλ' ἵνα
καὶ τὸν Λάζαρον ἴδωσιν, [q]ὃν ἤγειρεν ἐκ νεκρῶν.
ἐβουλεύσαντο δὲ οἱ ἀρχιερεῖς, [r]ἵνα καὶ τὸν Λάζαρον 10
ἀποκτείνωσιν· ὅτι [s]πολλοὶ [t]δι' αὐτὸν ὑπῆγον τῶν 11
Ἰουδαίων, καὶ ἐπίστευον εἰς τὸν Ἰησοῦν.

Τῇ ἐπαύριον[21] [u]ὄχλος πολὺς ὁ ἐλθὼν εἰς [x]τὴν ἑορτήν, 12 ρ/α
ἀκούσαντες ὅτι **ἔρχεται ὁ Ἰησοῦς**[22] εἰς Ἱεροσόλυμα[23],

[a] 2 Chr. 30. 17, 18. Cf. Act. 21. 24.
[b] cap. 7. 11.
[c] ver. 46.
[d] ver. 1—8, cf. Matt. 26. 6—13. Marc. 14. 3—9. Cf. Luc. 7. 37—39.
[e] Vid. cap. 11. 1.
[f] cap. 11. 55.
[g] Luc. 10. 40.
[h] cap. 19. 39.
[i] Marc. 14. 3.
[k] Vid. cap. 11. 2.
[l] Vid. Matt. 26. 14.
[m] Vid. Matt. 18. 28. Cf. Matt. 26. 9.
[n] cap. 13. 29.
[o] cap. 19. 17; 20. 15.
[p] Marc. 14. 8.
[q] cap. 11. 44.
[r] Cf. Luc. 16. 31.
[s] Vid. cap. 7. 31. Cf. ver. 42.
[t] ver. 18.
[u] ver. 12—15, Matt. 21. 4—9. Marc. 11. 7—10. Luc. 19. 35—38.
[x] Vid. cap. 11. 55.

1 Ἱεροσόλυμα WH. 2 ἔλεγαν T. 3 —καὶ LTTrWHR. 4 ἐντολὰς TTr (*non marg.*) WHR. 5 —ὁ τεθνηκώς T[LTr]WHR. 6 + ὁ Ἰησοῦς LTr, + Ἰησοῦς TWHR. 7 + ἐκ T[Tr *marg.*]WHR. 8 ἀνακειμένων σὺν LTTrWHR. 9 Μαριὰμ TrWH. 10 [τοῦ] TrWH. 11 ἐπλήσθη Tr *marg.* 12 δὲ T[WH]R. 13 Ἰούδας ὁ Ἰσκαριώτης εἷς ἐκ (—ἐκ TrWHR) τῶν μαθητῶν αὐτοῦ TTrWHR (Tr *marg. vult* Ἰ. Σίμωνος Ἰσκ. *post* εἷς τ. μ. α.). 14 Διὰ τί LTrWH. 15 ἀλλὰ B. 16 ἔχων TTrWHR. 17 + (αὐτὴν ἵνα R *text.*, αὐτήν· ἵνα R *marg.*) ἵνα LTTrWHR. 18 τηρήσῃ LTTrWHR. 19 + ὁ T[Tr *marg.*]WHR. 20 ἦλθαν WH. 21 + [ὁ] Tr *marg.*, + ὁ WH.R *marg.* 22 —ὁ LTTrWH, *at* Ἰησοῦς ἔρχεται L *marg.* 23 Ἱεροσόλυμα WH.

13 ἔλαβον τὰ βαΐα τῶν φοινίκων, καὶ ἐξῆλθον εἰς ὑπάν-
τησιν αὐτῷ, καὶ ἔκραζον[1], [a][2]“Ὡσαννά[3]· εὐλογημένος
ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, [4]ὁ [b]βασιλεὺς τοῦ
ΙΔ'. 14 Ἰσραήλ.” Εὑρὼν δὲ ὁ Ἰησοῦς ὀνάριον, ἐκάθισεν ἐπ'
ρα 15 αὐτό, καθώς ἐστι γεγραμμένον, [c]“Μὴ φοβοῦ, θύγα-
ζ τερ[6] Σιών· ἰδού, ὁ βασιλεύς σου ἔρχεται, καθήμενος
ρβ 16 ἐπὶ πῶλον ὄνου.’ [d]ταῦτα δὲ[7] οὐκ ἔγνωσαν οἱ μαθη-
ι ταὶ αὐτοῦ[8] τὸ πρῶτον· ἀλλ' ὅτε [e]ἐδοξάσθη ὁ[9] Ἰησοῦς,
τότε [f]ἐμνήσθησαν ὅτι ταῦτα ἦν ἐπ' αὐτῷ γεγραμ-
17 μένα, καὶ ταῦτα ἐποίησαν αὐτῷ. ἐμαρτύρει οὖν [g]ὁ
ὄχλος ὁ ὢν μετ' αὐτοῦ, ὅτε[10] τὸν Λάζαρον ἐφώνησεν
18 ἐκ τοῦ μνημείου, καὶ ἤγειρεν αὐτὸν ἐκ νεκρῶν· [h]διὰ
τοῦτο καὶ[11] ὑπήντησεν αὐτῷ ὁ ὄχλος, ὅτι ἤκουσε[12]
19 τοῦτο αὐτὸν πεποιηκέναι τὸ σημεῖον. οἱ οὖν Φαρι-
σαῖοι εἶπον[13] πρὸς ἑαυτούς, [i]“Θεωρεῖτε ὅτι οὐκ
ὠφελεῖτε οὐδέν;*ἴδε ὁ κόσμος[14] ὀπίσω αὐτοῦ ἀπῆλ-
θεν.”

ΙΕ'. 20 Ἦσαν δέ τινες [k]Ἕλληνες[15] [l]ἐκ τῶν ἀναβαινόντων,
21 ἵνα προσκυνήσωσιν[16] ἐν τῇ ἑορτῇ· οὗτοι οὖν προσῆλ-
θον[17] [m]Φιλίππῳ τῷ ἀπὸ Βηθσαϊδὰ[18] τῆς Γαλιλαίας,
καὶ ἠρώτων αὐτὸν λέγοντες, “Κύριε, θέλομεν τὸν Ἰη-
22 σοῦν ἰδεῖν.” Ἔρχεται[19] [m]Φίλιππος καὶ λέγει τῷ Ἀν-
δρέᾳ· καὶ πάλιν[20] Ἀνδρέας καὶ [m]Φίλιππος[21] λέγουσι
ργ 23 τῷ Ἰησοῦ. ὁ δὲ Ἰησοῦς ἀπεκρίνατο[22] αὐτοῖς λέγων,
δ [n]“Ἐλήλυθεν ἡ ὥρα ἵνα [e]δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώ-
ρδ 24 που. ἀμὴν ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ [o]ὁ κόκκος τοῦ
ι σίτου πεσὼν εἰς τὴν γῆν ἀποθάνῃ, αὐτὸς μόνος μέ-
ρε 25 νει· ἐὰν δὲ ἀποθάνῃ, πολὺν καρπὸν φέρει. [p]ὁ φιλῶν
γ τὴν ψυχὴν αὐτοῦ ἀπολέσει[23] αὐτήν· καὶ [q]ὁ μισῶν τὴν
ψυχὴν αὐτοῦ ἐν τῷ κόσμῳ τούτῳ, εἰς ζωὴν αἰώνιον
ρς 26 φυλάξει αὐτήν. ἐὰν ἐμοὶ διακονῇ τις[24], [r]ἐμοὶ ἀκο-
ι λουθείτω· καὶ [s]ὅπου εἰμὶ ἐγώ, ἐκεῖ καὶ ὁ διάκονος ὁ

[a] Ps. 118. 25, 26.
[b] Vid. cap. 1. 50.
[c] Zech. 9. 9.
[d] Vid. Marc. 9. 32.
[e] ver. 23. Vid. cap. 7. 39.
[f] cap. 2. 22.
[g] Cf. Luc. 19. 37.
[h] ver. 11.
[i] Vid. cap. 11. 47.
[k] Act. 17. 4. Vid. cap. 7. 35.
[l] 1 Reg. 8. 41–43. Act. 8. 27.
[m] ver. 22. Vid. cap. 1. 44.
[n] cap. 13. 1; 17. 1. Cf. ver. 27. Marc. 14. 41. cap. 13. 32.
[o] 1 Cor. 15. 36.
[p] Vid. Matt. 10. 39.
[q] Vid. Luc. 14. 26.
[r] Vid. Matt. 16. 24.
[s] cap. 14. 3; 17. 24. Cf. Phil. 1. 23. 1 Thess. 4. 17.

[1] ἐκραύγαζον LTTrWHR. [2] + [λέγοντες] L. [3] Ὡσαννά LT. [4] + καὶ TTr[Tr *marg.*]WHR. [6] θυγάτηρ LTTrWH. [7] —δὲ TTr[L]WHR. [8] αὐτοῦ *post* ἔγνωσαν *ponunt* TWH. [9] —ὁ TTrWH. [10] ὅτι BELTTr *marg.* [11] —καὶ Tr, *at* [καὶ] Tr *marg.* [12] ἤκουσαν LTTrWHR. [13] εἶπαν TTrWH. [14] + [ὅλος] Tr *marg.* [15] Ἕλληνές τινες L (*non marg.*) TTrWH. [16] προσκυνήσουσιν LTr. [17] προσῆλθαν WH. [18] Βηθσαιδὰ WH. [19] + ὁ TrWH. [20] ἔρχεται LTTr (*non marg.*) WHR. [21] + καὶ LTTr (*non marg.*) WHR. [22] ἀποκρίνεται TTr (*non marg.*) WHR. [23] ἀπολλύει TTr (*non marg.*) WHR. [24] τις διακονῇ LTTrWH.
* · *pro* ; TWHR.

τόν· εἶτα [a]βάλλει ὕδωρ εἰς τὸν νιπτῆρα, καὶ ἤρξατο 5
νίπτειν τοὺς πόδας τῶν μαθητῶν, καὶ ἐκμάσσειν [b]τῷ
λεντίῳ ᾧ ἦν διεζωσμένος. ἔρχεται οὖν πρὸς Σίμωνα 6
Πέτρον· **καὶ**[1] λέγει αὐτῷ **ἐκεῖνος**[2], "Κύριε, σύ μου
νίπτεις τοὺς πόδας;" Ἀπεκρίθη Ἰησοῦς καὶ εἶπεν 7
αὐτῷ, "[c]Ὃ ἐγὼ ποιῶ, σὺ οὐκ οἶδας ἄρτι, γνώσῃ δὲ
[c]μετὰ ταῦτα." Λέγει αὐτῷ Πέτρος, "Οὐ μὴ νίψῃς 8
τοὺς πόδας μου[3] εἰς τὸν αἰῶνα." Ἀπεκρίθη **αὐτῷ ὁ**
Ἰησοῦς[4], [d]"Ἐὰν μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ'
ἐμοῦ." Λέγει αὐτῷ **Σίμων Πέτρος**[5], "Κύριε, μὴ τοὺς 9
πόδας μου μόνον, ἀλλὰ καὶ τὰς χεῖρας καὶ τὴν κε-
φαλήν." Λέγει αὐτῷ **ὁ**[6] Ἰησοῦς, "Ὁ λελουμένος 10
οὐ χρείαν ἔχει[7] **ἢ**[8] [e]**τοὺς πόδας**[9] νίψασθαι, ἀλλ' ἔστι
καθαρὸς ὅλος· καὶ [f]ὑμεῖς καθαροί ἐστε, ἀλλ' οὐχὶ
πάντες." [g]Ἤιδει γὰρ τὸν παραδιδόντα αὐτόν· διὰ 11
τοῦτο εἶπεν, "[10]Οὐχὶ πάντες καθαροί ἐστε."

Ὅτε οὖν ἔνιψε τοὺς πόδας αὐτῶν, **καὶ**[11] [h]ἔλαβε τὰ 12
ἱμάτια αὐτοῦ, [12]**ἀναπεσὼν**[13] πάλιν, εἶπεν[14] αὐτοῖς, [i]"Γι-
νώσκετε τί πεποίηκα ὑμῖν; [k]ὑμεῖς φωνεῖτέ με, Ὁ 13 ρις γ
διδάσκαλος, καὶ [l]ὁ κύριος· καὶ καλῶς λέγετε, [m]εἰμὶ
γάρ. εἰ οὖν ἐγὼ ἔνιψα ὑμῶν τοὺς πόδας, [m]ὁ κύριος 14 ριζ ι
καὶ ὁ διδάσκαλος, καὶ ὑμεῖς ὀφείλετε [n]ἀλλήλων νίπ-
τειν τοὺς πόδας. [o]ὑπόδειγμα γὰρ **ἔδωκα**[15] ὑμῖν, ἵνα 15
καθὼς ἐγὼ ἐποίησα ὑμῖν, καὶ ὑμεῖς ποιῆτε. ἀμὴν 16 ριη γ
ἀμὴν λέγω ὑμῖν, [p]οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου
αὐτοῦ, οὐδὲ [q]ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν.
εἰ ταῦτα οἴδατε, [r]μακάριοί ἐστε [s]ἐὰν ποιῆτε αὐτά. 17
[t]οὐ περὶ πάντων ὑμῶν λέγω· ἐγὼ[16] οἶδα [u]**οὓς**[17] ἐξελεξά- 18 ριθ ι
μην· [x]ἀλλ' ἵνα ἡ γραφὴ πληρωθῇ, [y]'Ὁ τρώγων **μετ'**
ἐμοῦ[18] τὸν ἄρτον, **ἐπῆρεν**[19] ἐπ' ἐμὲ τὴν πτέρναν αὐτοῦ.'
ἀπ' ἄρτι[20] [z]λέγω ὑμῖν πρὸ τοῦ γενέσθαι, ἵνα **ὅταν γέ**- 19
νηται, [a]**πιστεύσητε**[21] ὅτι ἐγώ εἰμι[22]. ἀμὴν ἀμὴν λέγω 20 ρκ α

[1] −καὶ TTrWHR. [2] −ἐκεῖνος LTTr *marg.* [Tr]WHR. [3] μου τοὺς πόδας L (*non marg.*) TTrWH. [4] Ἰησοῦς αὐτῷ LTTrWH. [5] Πέτρος Σίμων Tr *marg.* [6] −ὁ T[Tr]WH. [7] οὐκ ἔχει χρείαν LTTrWH. [8] εἰ μὴ LTrWHR. [9] −ἢ τοὺς πόδας TR *marg.*, [εἰ μὴ τοὺς πόδας] WH. [10] + ὅτι LTTrWHR. [11] −καὶ L[Tr *marg.*]. [12] + καὶ LTTrWHR. [13] ἀνέπεσεν TTrWHR. [14] ἀνέπεσεν, πάλιν εἶπεν WH (*non marg.*). [15] δέδωκα TR. [16] + [γὰρ] L. [17] τίνας TTr (*non marg.*) WH. [18] μου Tr (*non marg.*) WHR (*non marg.*). [19] ἐπῆρκεν T. [20] ἀπάρτι T. [21] πιστεύσητε (πιστεύητε TrWH) ὅταν γένηται L *marg.* TTr (*non marg.*) WHR. [22] ἐγὼ εἰμί WH *marg.*

[a] Cf. 2 Reg. 3. 11.
[b] ver. 4.
[c] ver. 12—15?
[d] Cf. 1 Cor. 6. 11. Eph. 5. 26. Tit. 3. 5. Heb. 10. 22.
[e] Gen. 18. 4; 19. 2; 24. 32; 43. 24. Judic. 19. 21.
[f] cap. 15. 3.
[g] cap. 6. 64.
[h] ver. 4.
[i] ver. 7.
[k] Cf. Matt. 20. 28.
[l] Luc. 6. 46.
[m] Matt. 23. 8, 10. 1 Cor. 8. 6; 12. 3. Phil. 2. 11.
[n] 1 Tim. 5. 10.
[o] Jac. 5. 10. Vid. Matt. 11. 29.
[p] cap. 15. 20. Vid. Matt. 10. 24.
[q] 1 Cor. 8. 23. Phil. 2. 25. Cf. Act. 14. 4, 14.
[r] Vid. Luc. 11. 28.
[s] Matt. 7. 24. Rev. 1. 3.
[t] ver. 10, 11.
[u] cap. 6. 70; 15. 16, 19.
[x] cap. 17. 12; 19. 24, 28, 36. Cf. Matt. 1. 22. Act. 1. 16.
[y] Ps. 41. 9. Cf. ver. 26. Matt. 26. 23. Marc. 14. 18. Luc. 22. 21.
[z] cap. 14. 29; 16. 4. Ezek. 24. 24.
[a] Vid. cap. 8. 24.

ὑμῖν, [a]“Ὁ λαμβάνων ἐάν[1] τινα πέμψω, ἐμὲ λαμβάνει·
ὁ δὲ ἐμὲ λαμβάνων, λαμβάνει τὸν πέμψαντά με.”
ρκα/δ 21 Ταῦτα εἰπὼν ὁ[2] Ἰησοῦς [b]ἐταράχθη τῷ πνεύματι,
καὶ ἐμαρτύρησε καὶ εἶπεν, [c]“Ἀμὴν ἀμὴν λέγω ὑμῖν,
ρκβ/α 22 ὅτι [d]εἷς ἐξ ὑμῶν παραδώσει με.” [e]Ἔβλεπον οὖν[3] εἰς
ἀλλήλους οἱ μαθηταί, [f]ἀπορούμενοι περὶ τίνος λέγει.
ρκγ/ι 23 ἦν δὲ[4] ἀνακείμενος [g]εἷς[5] τῶν μαθητῶν αὐτοῦ [h]ἐν τῷ
24 κόλπῳ τοῦ Ἰησοῦ, [i]ὃν ἠγάπα ὁ[6] Ἰησοῦς· νεύει οὖν
τούτῳ Σίμων Πέτρος πυθέσθαι τίς ἂν εἴη[7] περὶ οὗ
25 λέγει. [k]ἐπιπεσὼν[8] δὲ[9] ἐκεῖνος[10] ἐπὶ τὸ στῆθος τοῦ
26 Ἰησοῦ, λέγει αὐτῷ, “Κύριε, τίς ἐστιν;” Ἀποκρί-
νεται[11] ὁ[12] Ἰησοῦς, [l]“Ἐκεῖνός ἐστιν ᾧ ἐγὼ [m]βάψας[13]
τὸ ψωμίον ἐπιδώσω[14].” Καὶ [m]ἐμβάψας[15] τὸ[16] ψωμίον,
ρκδ/θ 27 [17][n]δίδωσιν [o]Ἰούδᾳ Σίμωνος Ἰσκαριώτῃ[18]. καὶ μετὰ τὸ
ρκε/ι ψωμίον, [p]τότε εἰσῆλθεν εἰς ἐκεῖνον ὁ Σατανᾶς. λέγει
οὖν αὐτῷ ὁ[19] Ἰησοῦς, “Ὃ ποιεῖς, ποίησον τάχιον[20].”
28 Τοῦτο δὲ[21] οὐδεὶς ἔγνω τῶν ἀνακειμένων πρὸς τί εἶπεν
29 αὐτῷ. τινὲς γὰρ ἐδόκουν, ἐπεὶ [q]τὸ γλωσσόκομον εἶ-
χεν ὁ[22] Ἰούδας, ὅτι λέγει αὐτῷ ὁ[23] Ἰησοῦς, “Ἀγόρα-
σον ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτήν·” ἢ τοῖς πτω-
30 χοῖς ἵνα τι δῷ. λαβὼν οὖν τὸ ψωμίον ἐκεῖνος, εὐ-
θέως ἐξῆλθεν[24]· ἦν δὲ νὺξ ὅτε[25] ἐξῆλθε.
31 Λέγει ὁ[26] Ἰησοῦς, “Νῦν [r]ἐδοξάσθη ὁ υἱὸς τοῦ
32 ἀνθρώπου, καὶ [s]ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ. εἰ ὁ Θεὸς
ἐδοξάσθη ἐν αὐτῷ[27], καὶ [t]ὁ Θεὸς δοξάσει αὐτὸν ἐν
33 ἑαυτῷ[28], καὶ [u]εὐθὺς δοξάσει αὐτόν. Τεκνία, [x]ἔτι μικρὸν
μεθ᾽ ὑμῶν εἰμι. ζητήσετέ με, καὶ [y]καθὼς εἶπον τοῖς
Ἰουδαίοις, Ὅτι ὅπου ὑπάγω ἐγώ[29], ὑμεῖς οὐ δύνασθε
34 ἐλθεῖν, καὶ ὑμῖν λέγω ἄρτι. [z]ἐντολὴν καινὴν δίδωμι
ὑμῖν, ἵνα [a]ἀγαπᾶτε ἀλλήλους· [b]καθὼς ἠγάπησα ὑμᾶς,

[1] ἄν LTTrWH. [2] —ὁ TTrWH. [3] —οὖν T[Tr]WHR. [4] —δὲ TTrWHR. [5] + ἐκ LTTrWHR. [6] [ὁ] WH. [7] καὶ λέγει αὐτῷ Εἰπὲ τίς ἐστιν LTTrWHR. [8] ἀναπεσὼν LTrWHR. [9] οὖν T[Tr marg.], —δὲ TrWHR. [10] + οὕτως T[Tr]WHR. [11] + οὖν [LTr marg.]WHR. [12] [ὁ] TrWH. [13] ἐμβάψας L, βάψω TTrWHR. [14] καὶ δώσω αὐτῷ TTrWHR. [15] βάψας οὖν L marg. TTrWHR. [16] [τὸ] WH. [17] + λαμβάνει καὶ TTr[Tr marg.]WHR. [18] Ἰσκαριώτου TTrWHR. [19] —ὁ TTrWH. [20] τάχειον WH. [21] [δὲ] WH. [22] —ὁ LTTrWH. [23] —ὁ T[Tr]WH. [24] ἐξῆλθεν εὐθύς L (non marg.) TTrWHR. [25] + οὖν BELTTrWHR (ὅτε οὖν ἐξῆλθεν cum v. 31 conjuncto). [26] —ὁ TTrWH. [27] —εἰ ὁ Θεὸς ἐδοξάσθη ἐν αὐτῷ [LTr]WHR. [28] αὐτῷ TTr (non marg.) R, αὐτῷ WH. [29] ἐγὼ ὑπάγω LTTr WHR.

[a] Vid. Matt. 10. 40.
[b] cap. 11. 33; 12. 27.
[c] Matt. 26. 21. Marc. 14. 18.
[d] Act. 1. 17.
[e] Matt. 26. 22. Luc. 22. 23.
[f] 2 Cor. 4. 8. Gal. 4. 20.
[g] cap. 21. 20.
[h] Luc. 16. 22.
[i] cap. 19. 26; 20. 2; 21. 7.
[k](var. lect.) cap. 21. 20.
[l] Matt. 26. 23. Marc. 14. 20. Luc. 22. 21.
[m] Ruth 2. 14.
[n] Cf. Matt. 26. 25.
[o] cap. 6. 71. Vid. Matt. 26. 14. Cf. ver. 18. Luc. 22. 3.
[p] ver. 2.
[q] cap. 12. 6.
[r] Vid. cap. 7. 39.
[s] cap. 14. 13; 17. 4. 1 Pet. 4. 11. Cf. 1 Pet. 1. 21.
[t] cap. 17. 1, 5.
[u] Cf. cap. 12. 23.
[x] Matt. 26. 11. Vid. cap. 7. 33.
[y] cap. 7. 34; 8. 21.
[z] 1 Joan. 2. 7, 8. 2 Joan. 5. Cf. cap. 15. 12, 17. 1 Joan. 3. 11, 23.
[a] Lev. 19. 18. Rom. 13. 8. Gal. 5. 14. 1 Thess. 4. 9. 1 Pet. 1. 22. 1 Joan. 4. 7, 10, 11, 21. Vid. Matt. 19. 19.
[b] Eph. 5. 2.

ἀγαπῶν με, τοὺς λόγους μου οὐ τηρεῖ· καὶ [a]ὁ λόγος ρλα
ὃν ἀκούετε, [b]οὐκ ἔστιν ἐμός, ἀλλὰ [c]τοῦ πέμψαντός με α
πατρός.
"Ταῦτα λελάληκα ὑμῖν παρ' ὑμῖν μένων· ὁ δὲ 25 ρλβ
[d]παράκλητος, τὸ Πνεῦμα τὸ Ἅγιον, [e]ὃ πέμψει ὁ πα- 26 ι
τὴρ ἐν τῷ ὀνόματί μου, [f]ἐκεῖνος ὑμᾶς διδάξει πάντα,
καὶ [g]ὑπομνήσει ὑμᾶς πάντα ἃ εἶπον ὑμῖν[1]. [h]εἰρήνην 27
ἀφίημι ὑμῖν, [i]εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν· οὐ κα-
θὼς ὁ κόσμος δίδωσιν, ἐγὼ δίδωμι ὑμῖν· μὴ [k]ταρασ-
σέσθω ὑμῶν ἡ καρδία, μηδὲ δειλιάτω. [l]ἠκούσατε ὅτι 28
ἐγὼ εἶπον ὑμῖν, Ὑπάγω καὶ ἔρχομαι πρὸς ὑμᾶς. εἰ
ἠγαπᾶτέ με, ἐχάρητε ἂν ὅτι εἶπον,[2] [m]Πορεύομαι πρὸς
τὸν πατέρα· ὅτι [n]ὁ πατήρ μου[3] μείζων μού ἐστί. καὶ 29
[o]νῦν εἴρηκα ὑμῖν πρὶν γενέσθαι· ἵνα ὅταν γένηται,
πιστεύσητε.
"Οὐκ ἔτι[4] πολλὰ λαλήσω μεθ' ὑμῶν· ἔρχεται 30
γὰρ [p]ὁ τοῦ κόσμου τούτου[5] ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ
ἔχει οὐδέν· [q]ἀλλ' ἵνα γνῷ ὁ κόσμος, ὅτι ἀγαπῶ τὸν 31
πατέρα, καὶ[6] [r]καθὼς ἐνετείλατό[7] μοι ὁ πατήρ, οὕτω
ποιῶ·[8] [s]ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν.
[t]"ΕΓΩ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή, καὶ ὁ πατήρ 15
μου ὁ γεωργός ἐστι. [u]πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον 2
καρπόν, αἴρει αὐτό· καὶ πᾶν τὸ καρπὸν φέρον, καθ-
αίρει αὐτό, [x]ἵνα πλείονα καρπὸν[9] φέρῃ. ἤδη [y]ὑμεῖς 3
καθαροί ἐστε, [z]διὰ τὸν λόγον ὃν λελάληκα ὑμῖν.
μείνατε ἐν ἐμοί, κἀγὼ ἐν ὑμῖν. [a]καθὼς τὸ κλῆμα οὐ 4
δύναται καρπὸν φέρειν ἀφ' ἑαυτοῦ, ἐὰν μὴ μείνῃ[10] ἐν
τῇ ἀμπέλῳ, οὕτως οὐδὲ ὑμεῖς, [a]ἐὰν μὴ ἐν ἐμοὶ μεί-
νητε[11]. ἐγώ εἰμι ἡ ἄμπελος, [b]ὑμεῖς τὰ κλήματα. [c]ὁ 5
μένων ἐν ἐμοί, κἀγὼ ἐν αὐτῷ, [d]οὗτος φέρει καρπὸν
πολύν· ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν.
ἐὰν μή τις μείνῃ[12] ἐν ἐμοί, [u]ἐβλήθη ἔξω ὡς τὸ κλῆμα, 6
καὶ [e]ἐξηράνθη, καὶ [e]συνάγουσιν αὐτὰ[13] καὶ [e]εἰς[14] πῦρ

[a] Cf. ver. 10. [b] Cf. cap. 1. 18. Vid. cap. 3. 11. [c] cap. 7. 16. [d] Vid. ver. 16. [e] Cf. cap. 15. 26; 16. 7; Rom. 8. 9 cum Luc. 24. 49. Act. 2. 33. [f] cap. 16. 13. 1 Joan. 2. 27. Cf. 1 Cor. 2. 10. [g] cap. 2. 22. [h] Luc. 24. 36. cap. 20. 19, 21, 26. [i] cap. 16. 33. Col. 3. 15 (var. lect.). Cf. Phil. 4. 7. [k] ver. 1. [l] ver. 3, 18. [m] ver. 12. [n] Cf. cap. 10. 29. Phil. 2. 6. [o] cap. 13. 19. [p] Vid. cap. 12. 31. [q] cap. 17. 23. [r] Vid. cap. 12. 49. [s] Cf. cap. 13. 2 cum cap. 18. 1. [t] Cf. cap. 10. 7, 9, 11. [u] ver. 1. Vid. Matt. 7. 19. Cf. Matt. 15. 13. Rom. 11. 17, 22. 2 Pet. 1. 8. [x] Cf. Matt. 13. 12. [y] cap. 13. 10. [z] Cf. cap. 17. 17. Eph. 5. 26. [a] 1 Joan. 2. 6. Cf. Phil. 1. 11. Vid. cap. 6. 56. [b] Cf. Rom. 6. 5. [c] ver. 4. [d] ver. 16. Col. 1. 6. [e] Matt. 13. 6, 40.

1 + ἐγὼ WH. 2 — εἶπον, LTTrWHR. 3 — μου TTr[L]WHR. 4 οὐκέτι LTWH. 5 — τούτου LTTrWHR. 6 [καὶ] L. 7 ἐντολὴν ἔδωκέν LTrWH. 8 , pro · Tr marg. (. SLWHR). 9 καρπὸν πλείονα LTTrWH. 10 μένῃ L marg. TTr marg. WH. 11 μένητε LTTrWH. 12 μένῃ LTTrWH. 13 αὐτὸ TTr marg. 14 + τὸ TTrWHR.

ρλγ δ 7 βάλλουσι, καὶ καίεται. ἐὰν [a] μείνητε ἐν ἐμοί, καὶ τὰ
ῥήματά μου ἐν ὑμῖν μείνῃ, [b] ὃ ἐὰν[1] θέλητε αἰτήσεσθε[2],
ρλδ ι 8 καὶ γενήσεται ὑμῖν. [c] ἐν τούτῳ ἐδοξάσθη ὁ πατήρ
μου, ἵνα καρπὸν πολὺν φέρητε· καὶ γενήσεσθε[3] [a] ἐμοὶ
9 μαθηταί. [d] Καθὼς ἠγάπησέ με ὁ πατήρ, κἀγὼ ἠγά-
10 πησα ὑμᾶς[4]· μείνατε ἐν τῇ ἀγάπῃ τῇ ἐμῇ. [e] ἐὰν τὰς
ἐντολάς μου τηρήσητε, [e] μενεῖτε ἐν τῇ ἀγάπῃ μου·
[f] καθὼς ἐγὼ[5] [g] τὰς ἐντολὰς τοῦ πατρός[6] μου[7] τετήρηκα,
11 καὶ μένω αὐτοῦ ἐν τῇ ἀγάπῃ. [h] ταῦτα λελάληκα ὑμῖν,
ἵνα [i] ἡ χαρὰ ἡ ἐμὴ ἐν ὑμῖν μείνῃ[8], καὶ [h] [i] ἡ χαρὰ ὑμῶν
12 πληρωθῇ. αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, [k] ἵνα ἀγαπᾶτε
ρλε δ 13 ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς. [l] μείζονα ταύτης
ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις[9] [m] τὴν ψυχὴν αὐτοῦ θῇ
ρλϛ ι 14 ὑπὲρ [n] τῶν φίλων αὐτοῦ. ὑμεῖς [n] φίλοι μου ἐστέ, [o] ἐὰν
15 ποιῆτε ὅσα[10] ἐγὼ ἐντέλλομαι ὑμῖν. οὐκέτι ὑμᾶς
λέγω[11] δούλους, ὅτι ὁ δοῦλος οὐκ οἶδε τί ποιεῖ αὐτοῦ
ὁ κύριος· ὑμᾶς δὲ εἴρηκα φίλους, ὅτι [p] πάντα ἃ
16 ἤκουσα παρὰ τοῦ πατρός μου, [q] ἐγνώρισα ὑμῖν. οὐχ
ὑμεῖς με ἐξελέξασθε, ἀλλ' [r] ἐγὼ ἐξελεξάμην ὑμᾶς,
καὶ ἔθηκα ὑμᾶς, ἵνα ὑμεῖς ὑπάγητε καὶ [s] καρπὸν φέ-
ρλζ δ ρητε, καὶ [s] ὁ καρπὸς ὑμῶν μένῃ· ἵνα [b] ὅ τι[12] ἂν αἰτήσητε[13]
ρλη ι 17 τὸν πατέρα ἐν τῷ ὀνόματί μου, δῷ[14] ὑμῖν. ταῦτα
18 ἐντέλλομαι ὑμῖν, [k] ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ [t] ὁ
κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν[15]
19 μεμίσηκεν. [u] εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν
τὸ ἴδιον ἐφίλει· ὅτι δὲ [x] ἐκ τοῦ κόσμου οὐκ ἐστέ,
ἀλλ' [r] ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ
ρλθ γ 20 τοῦτο [y] μισεῖ ὑμᾶς ὁ κόσμος. μνημονεύετε τοῦ λό-
γου οὗ ἐγὼ εἶπον ὑμῖν, [z] Οὐκ ἔστι δοῦλος μείζων
ρμ ι τοῦ κυρίου αὐτοῦ. [a] εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξου-
σιν· εἰ [b] τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον
ρμα α 21 τηρήσουσιν. ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν[16]
ρμβ γ [c] διὰ τὸ ὄνομά μου, ὅτι [d] οὐκ οἴδασι τὸν πέμψαντά με.

[1] ἂν L. [2] αἰτήσασθε LTTrWHR. [3] γένησθε LTrWH (non marg.) R marg. [4] ὑμᾶς ἠγάπησα (· WH marg., , WH text.) L (non marg.) TrWH. [5] κἀγὼ T. [6] τοῦ πατρὸς (+ μου TWH marg.) τὰς ἐντολὰς L marg. TTr marg. WH. [7] —μου L. [8] ᾖ LTTrWHR. [9] —τις T. [10] ἃ LTTrWH marg. R, ὃ Tr marg. WH. [11] λέγω ὑμᾶς LTTrWHR. [12] ὅτι WH. [13] αἰτῆτε Tr marg. WH marg. [14] δώῃ Tr marg. [15] —ὑμῶν T. [16] εἰς ὑμᾶς L (non marg.) TTrWHR.

[a] cap. 8. 31. Cf. Col. 3. 16. [b] ver. 16. Vid. Matt. 7. 7. [c] Esa. 61. 3. Vid. Matt. 5. 16. [d] cap. 17. 23, 24, 26. [e] Vid. cap. 14. 15. [f] cap. 8. 55. [g] cap. 10. 18. [h] cap. 17. 13. [i] Vid. cap. 3. 29. Cf. 2 Cor. 2. 3. Heb. 12. 2. [k] ver. 17. Cf. cap. 13. 34. [l] Rom. 5. 7, 8. Eph. 5. 2. [m] 1 Joan. 3. 16. Cf. cap. 10. 11. [n] Luc. 12. 4. [o] Cf. Matt. 12. 50. [p] cap. 3. 32; 8. 26, 40. [q] cap. 17. 8, 14, 26. Cf. 1 Cor. 2. 16. [r] ver. 19. cap. 6. 70; 13. 18. [s] ver. 5. 2 Joan. 8. [t] Matt. 24. 9. 1 Joan. 3. 13. ver. 23, 24. Vid. cap. 7. 7. [u] Cf. Matt. 10. 22. 1 Joan. 4. 5. [x] cap. 8. 23; 17. 14. Cf. Luc. 6. 26. Gal. 1. 4. Jac. 4. 4. [y] cap. 17. 14. [z] cap. 13. 16. Vid. Matt. 10. 24. [a] 1 Cor. 4. 12. 2 Cor. 4. 9. 2 Tim. 3. 12. [b] Vid. cap. 8. 51. Cf. Ezek. 3. 7. [c] 1 Pet. 4. 14, 16 (var. lect.). Cf. Matt. 10. 22. [d] cap. 16. 3. Cf. cap. 8. 19, 55; 17. 25. Act. 3. 17. 1 Cor. 1. 21. Gal. 4. 8. 1 Joan. 3. 1 4. 8.

εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, [a]ἁμαρτίαν οὐκ εἴ- 22 ρμγ
χον[1]· νῦν δὲ [b]πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρ- ι
τίας αὐτῶν. [c]ὁ ἐμὲ μισῶν, καὶ τὸν πατέρα μου μισεῖ. 23
[d]εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς, [e]ἃ οὐδεὶς ἄλλος 24 ρμδ
πεποίηκεν[2], [a]ἁμαρτίαν οὐκ εἶχον[1]· νῦν δὲ καὶ [f]ἑωρά- ι
κασι, καὶ [c]μεμισήκασι καὶ ἐμὲ καὶ τὸν πατέρα μου·
ἀλλ' [g]ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ 25 ρμε
αὐτῶν[3], [h]‘Ὅτι ἐμίσησάν με [i]δωρεάν.’ Ὅταν δὲ[4] ἔλθῃ 26 ι ΙΖ'.
[k]ὁ παράκλητος, [l]ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός,
[m]τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπο-
ρεύεται, [n]ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ· καὶ [o]ὑμεῖς δὲ 27
μαρτυρεῖτε, ὅτι [p]ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε[5].

“Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ [q]σκανδαλισθῆτε. 16
[r]ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς· ἀλλ' [s]ἔρχεται ὥρα, 2 ρμϛ
ἵνα [t]πᾶς ὁ ἀποκτείνας ὑμᾶς[6], δόξῃ λατρείαν προσφέ- α
ρειν τῷ Θεῷ. καὶ ταῦτα ποιήσουσιν ὑμῖν[7], [u]ὅτι οὐκ 3
ἔγνωσαν τὸν πατέρα οὐδὲ ἐμέ. ἀλλὰ ταῦτα λελά- 4
ληκα ὑμῖν, ἵνα [x]ὅταν ἔλθῃ ἡ ὥρα[8], μνημονεύητε αὐ-
τῶν[9], ὅτι ἐγὼ εἶπον ὑμῖν· ταῦτα δὲ ὑμῖν ἐξ ἀρχῆς
οὐκ εἶπον, ὅτι μεθ' ὑμῶν ἤμην. νῦν δὲ [y]ὑπάγω πρὸς 5 ρμζ
τὸν πέμψαντά με, καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με, ι
Ποῦ ὑπάγεις; ἀλλ' ὅτι ταῦτα λελάληκα ὑμῖν, [z]ἡ 6
λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν. ἀλλ' ἐγὼ τὴν 7
ἀλήθειαν λέγω ὑμῖν, συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω.
ἐὰν γὰρ[10] μὴ ἀπέλθω, [k]ὁ παράκλητος οὐκ ἐλεύσεται[11]
πρὸς ὑμᾶς· [a]ἐὰν δὲ πορευθῶ, [b]πέμψω αὐτὸν πρὸς
ὑμᾶς· καὶ[12] ἐλθὼν ἐκεῖνος [c]ἐλέγξει τὸν κόσμον περὶ 8
ἁμαρτίας καὶ περὶ δικαιοσύνης καὶ περὶ κρίσεως.
περὶ ἁμαρτίας μέν, [d]ὅτι οὐ πιστεύουσιν εἰς ἐμέ· περὶ 9, 10
[e]δικαιοσύνης δέ, ὅτι [y]πρὸς τὸν πατέρα μου[13] ὑπάγω,
καὶ οὐκ ἔτι[14] θεωρεῖτέ με· περὶ δὲ κρίσεως, ὅτι [f]ὁ 11
ἄρχων τοῦ κόσμου τούτου [g]κέκριται.

“Ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν[15], ἀλλ' οὐ δύνασθε 12

[a] ver. 24. cap. 9. 41. [b] Act. 27. 30. [c] cap. 5. 23. Vid. ver. 18. [d] cap. 10. 37. [e] Vid. cap. 5. 36. [f] Cf. cap. 14. 9. [g] Vid. cap. 10. 34. [h] Ps. 35. 19; 69. 4. [i] Vid. Matt. 10. 8. [k] Vid. cap. 14. 16. [l] Vid. cap. 14. 26. [m] cap. 14. 17; 16. 13. [n] 1 Joan. 5. 6. Cf. 1 Cor. 12. 3. [o] cap. 19. 35; 21. 24. 1 Joan. 1. 2; 4. 14. Cf. Luc. 24. 48. Act. 4. 20. [p] Luc. 1. 2. 1 Joan. 2. 7. [q] Vid. Matt. 11. 6. [r] cap. 9. 22; 12. 42. Cf. Luc. 6. 22. [s] ver. 25, 32. Vid. cap. 4. 21. [t] Matt. 24. 9. Cf. Esa. 66. 5. [u] cap. 15. 21. Vid. Luc. 23. 34. Cf. cap. 8. 19. [x] Vid. Luc. 22. 53. Cf. cap. 13. 19. [y] ver. 10, 17, 28. Vid. cap. 7. 33. Cf. cap. 13. 36; 14. 5. [z] ver. 22. Cf. cap. 14. 1. [a] Cf. cap. 7. 39. [b] Vid. cap. 14. 26. [c] cap. 8. 46. 1 Cor. 14. 24. Tit. 1. 9. Jac. 2. 9. Jud. 15 (var. lect.). [d] cap. 8. 24. [e] Cf. Act. 17. 31. [f] cap. 12. 31. [g] Cf. Col. 2. 15. Heb. 2. 14.

[1] εἴχοσαν LTTrWH. [2] ἐποίησεν LTTrWHR. [3] ἐν τῷ νόμῳ αὐτῶν γεγραμμένος LTTrWH. [4] —δὲ T[Tr]WH. [5] ἐστέ WH. [6] [ὑμᾶς] WH. [7] —ὑμῖν LTTrWHR. [8] + αὐτῶν LTrWHR. [9] [αὐτῶν] Tr. [10] + ἐγὼ L. [11] οὐ μὴ ἔλθῃ Tr (*non marg.*) WH. [12] ὑμᾶς. Καὶ WH (*non marg.*). [13] —μου TTrWHR. [14] οὐκέτι LTWH. [15] ὑμῖν λέγειν L *marg.* TTr (*non marg.*) WH.

13 [a]βαστάζειν [b]ἄρτι. ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ [c]πνεῦμα
τῆς ἀληθείας, [d]ὁδηγήσει ὑμᾶς **εἰς πᾶσαν τὴν ἀλήθειαν**[1]·
οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ, ἀλλ' ὅσα **ἂν**[2] **ἀκούσῃ**[3]
14 λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. ἐκεῖνος
ἐμὲ [e]δοξάσει, ὅτι ἐκ τοῦ ἐμοῦ **λήψεται**[4], καὶ ἀναγ-
ρμη γ 15 γελεῖ ὑμῖν. [f]πάντα ὅσα ἔχει ὁ πατήρ, ἐμά ἐστι· διὰ
τοῦτο εἶπον, ὅτι ἐκ τοῦ ἐμοῦ **λήψεται**[5], καὶ ἀναγ-
ρμθ ι 16 γελεῖ ὑμῖν. [g]Μικρὸν καὶ **οὐ**[6] θεωρεῖτέ με, καὶ [h]πάλιν
μικρὸν καὶ ὄψεσθέ με, **ὅτι ἐγὼ ὑπάγω πρὸς τὸν πατέ-**
17 **ρα**[7]." **Εἶπον**[8] οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς ἀλ-
λήλους, "Τί ἐστι τοῦτο ὃ λέγει ἡμῖν, Μικρὸν καὶ οὐ
θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με; καί,
18 Ὅτι **ἐγὼ**[9] [i]ὑπάγω πρὸς τὸν πατέρα;" Ἔλεγον οὖν,
"**Τοῦτο τί ἐστιν**[10] ὃ λέγει, **τὸ**[11] μικρόν; οὐκ οἴδαμεν **τί**
19 **λαλεῖ**[12]." [k]Ἔγνω **οὖν ὁ**[13] Ἰησοῦς ὅτι ἤθελον αὐτὸν [r]ἐρω-
τᾶν, καὶ εἶπεν αὐτοῖς, "Περὶ τούτου ζητεῖτε μετ'
ἀλλήλων, ὅτι εἶπον, Μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ
20 πάλιν μικρὸν καὶ ὄψεσθέ με; ἀμὴν ἀμὴν λέγω ὑμῖν,
ὅτι [l]κλαύσετε καὶ θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χα-
ρήσεται· ὑμεῖς **δὲ**[14] λυπηθήσεσθε, **ἀλλ'**[15] [m]ἡ λύπη
21 ὑμῶν εἰς χαρὰν γενήσεται. [n]ἡ γυνὴ ὅταν τίκτῃ,
λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς· ὅταν δὲ γεν-
17 αὐτῆς, μαντευομένη. αὕτη κατακολουθήσασα[13] τῷ[14]
Παύλῳ καὶ ἡμῖν, ἔκραζε λέγουσα, [p]"Οὗτοι οἱ ἄνθρω-
ποι δοῦλοι [q]τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσίν, οἵτινες κα-
18 ταγγέλλουσιν ἡμῖν[15] ὁδὸν σωτηρίας." Τοῦτο δὲ
ἐποίει ἐπὶ πολλὰς ἡμέρας· [r]διαπονηθεὶς δὲ ὁ[16] Παῦ-
λος, καὶ ἐπιστρέψας, τῷ πνεύματι εἶπε, [s]"Παραγ-
γέλλω σοι [t]ἐν τῷ[17] ὀνόματι Ἰησοῦ Χριστοῦ, ἐξελθεῖν
19 ἀπ' αὐτῆς." Καὶ ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ. Ἰδόντες
δὲ[18] [u]οἱ κύριοι αὐτῆς, ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐργα-
σίας αὐτῶν, ἐπιλαβόμενοι τὸν Παῦλον καὶ τὸν
[x]Σίλαν, [y]εἵλκυσαν εἰς τὴν ἀγορὰν [z]ἐπὶ τοὺς ἄρχοντας·
20 καὶ προσαγαγόντες αὐτοὺς τοῖς στρατηγοῖς, εἶπον[19],
"Οὗτοι οἱ ἄνθρωποι [a]ἐκταράσσουσιν ἡμῶν τὴν πό-
21 λιν, Ἰουδαῖοι ὑπάρχοντες· καὶ καταγγέλλουσιν [b]ἔθη
ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι οὐδὲ ποιεῖν, [c]Ῥω-

[1] Σαμοθράκην BE. [2] δὲ LTTrWHR. [3] Νέαν πόλιν TTrWHR. [4] κἀκεῖθεν LTTrWHR. [5] —τῆς LTTrWH (*dub.*) R. [6] πύλης LTTrWHR. [7] ἐνομίζομεν προσευχὴν LTTrWHR. [8] —τοῦ TTrWH. [9] μένετε LTTrWH. [10] + τὴν LTTrWHR. [11] πύθωνα LTTrWHR. [12] ὑπαντῆσαι TTrWHR. [13] κατακολουθοῦσα TTrWHR. [14] [τῷ] WH. [15] ὑμῖν ETTrWHR. [16] —ὁ TTrWH. [17] —τῷ LTTrWH. [18] Καὶ ἰδόντες WH *marg*. [19] εἶπαν LTTrWH.

[a] cap. 20. 6. Phil. 1. 1. 1 Thess. 2. 2.
[b] ver. 9.
[c] Cf. ver. 21.
[d] cap. 13. 14.
[e] Rev. 1. 11; 2. 18, 24.
[f] Cf. cap. 13. 43.
[g] Cf. Luc. 24. 45.
[h] Vid. cap. 11. 14. ver. 31—34.
[i] Vid. Luc. 19. 5.
[k] Luc. 24. 29. Cf. Gen. 19. 3.
[l] ver. 13.
[m] Luc. 13. 11.
[n] Lev. 19. 31; 20. 6, 27. Deut. 18. 11. 1 Sam. 28. 3, 7. 2 Reg. 21. 6. 1 Chr. 10. 13. Esa. 8. 19.
[o] cap. 19. 24.
[p] Cf. Jac. 2. 19.
[q] Vid. Marc. 5. 7.
[r] cap. 4. 2.
[s] Cf. Marc. 1. 25, 34.
[t] Vid. Marc. 16. 17.
[u] ver. 16. Cf. cap. 19. 25, 26.
[x] ver. 25, 29. Vid. cap. 15. 22.
[y] cap. 21. 30. Jac. 2. 6.
[z] Vid. Matt. 10. 18. Cf. cap. 18. 12.
[a] Cf. cap. 17. 6, 7.
[b] Cf. Esther 3. 8.
[c] ver. 12.

μαίοις οὖσι." Καὶ συνεπέστη ὁ ὄχλος κατ' αὐτῶν, 22
καὶ [a]οἱ στρατηγοὶ **περιρρήξαντες**[1] αὐτῶν τὰ ἱμάτια,
ἐκέλευον [b]ῥαβδίζειν· πολλάς **τε**[2] ἐπιθέντες αὐτοῖς 23
[c]πληγάς, ἔβαλον εἰς φυλακήν, παραγγείλαντες τῷ
[d]δεσμοφύλακι ἀσφαλῶς τηρεῖν αὐτούς· ὃς παραγ- 24
γελίαν τοιαύτην **εἰληφώς**[3], ἔβαλεν αὐτοὺς εἰς τὴν
ἐσωτέραν [e]φυλακήν, καὶ τοὺς πόδας **αὐτῶν ἠσφαλί-**
σατο[4] [f]εἰς τὸ ξύλον. [g]Κατὰ δὲ τὸ μεσονύκτιον Παῦ- 25
λος καὶ [h]Σίλας προσευχόμενοι [i]ὕμνουν τὸν Θεόν·
ἐπηκροῶντο δὲ αὐτῶν οἱ δέσμιοι. ἄφνω δὲ σεισμὸς 26
ἐγένετο μέγας, ὥστε [k]σαλευθῆναι τὰ θεμέλια τοῦ
δεσμωτηρίου· [l]**ἀνεῴχθησάν**[5] **τε**[6] **παραχρῆμα**[7] αἱ θύραι
πᾶσαι, καὶ [m]πάντων τὰ δεσμὰ ἀνέθη. ἔξυπνος δὲ 27
γενόμενος [e]ὁ δεσμοφύλαξ, καὶ ἰδὼν ἀνεῳγμένας τὰς
θύρας τῆς φυλακῆς, σπασάμενος[8] μάχαιραν, **ἔμελ-**
λεν[9] ἑαυτὸν ἀναιρεῖν, νομίζων ἐκπεφευγέναι τοὺς
δεσμίους. ἐφώνησε δὲ **φωνῇ μεγάλῃ ὁ Παῦλος**[10] λέ- 28
γων, "Μηδὲν πράξῃς σεαυτῷ κακόν· ἅπαντες γάρ
ἐσμεν ἐνθάδε." Αἰτήσας δὲ φῶτα εἰσεπήδησε, καὶ 29
ἔντρομος γενόμενος [n]προσέπεσε τῷ Παύλῳ καὶ τῷ[11]
[h]Σίλᾳ· καὶ προαγαγὼν αὐτοὺς ἔξω, ἔφη, "Κύριοι, 30
[o]τί με δεῖ ποιεῖν ἵνα σωθῶ;" Οἱ δὲ **εἶπον**[12], [p]"Πίστευ- 31
σον ἐπὶ τὸν Κύριον Ἰησοῦν **Χριστόν**[13], [p]καὶ σωθήσῃ
σὺ καὶ ὁ οἶκός σου." Καὶ ἐλάλησαν αὐτῷ τὸν 32
λόγον τοῦ **Κυρίου**[14], **καὶ**[15] [q]πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ.
καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτὸς 33
ἔλουσεν ἀπὸ τῶν πληγῶν, καὶ ἐβαπτίσθη αὐτὸς καὶ
οἱ αὐτοῦ **πάντες**[16] παραχρῆμα· ἀναγαγών τε αὐτοὺς 34
εἰς τὸν οἶκον **αὐτοῦ**[17] [r]παρέθηκε τράπεζαν, καὶ ἠγαλ-
λιάσατο **πανοικὶ**[18] πεπιστευκὼς τῷ Θεῷ.
Ἡμέρας δὲ γενομένης ἀπέστειλαν [a]οἱ στρατηγοὶ 35
τοὺς ῥαβδούχους λέγοντες, "Ἀπόλυσον τοὺς ἀν-

[a] ver. 20, 35, 36, 38. [b] 2 Cor. 11. 25. Cf. 1 Thess. 2. 2. [c] 2 Cor. 6. 5; 11. 23. [d] ver. 27, 36. [e] Vid. Luc. 21. 12. [f] Job 13. 27; 33. 11. Jer. 20. 2, 3; 29. 26. [g] Job 35. 10. Ps. 42. 8; 77. 6; 119. 62. [h] ver. 19, 29. [i] Eph. 5. 19. [k] cap. 4. 31. Cf. cap. 2. 2. [l] cap. 5. 19; 12. 10. [m] cap. 12. 7. [n] cap. 10. 25. [o] Vid. Luc. 3. 10. [p] Joan. 6. 47. Vid. Marc. 16. 16. Cf. Jac. 2. 14, 17. [q] ver. 15. [r] Ps. 23. 5.

[1] *περιρήξαντες* LTTrWH. [2] *δὲ* WH (*non marg.*). [3] *λαβὼν* LTTrWHR. [4] *ἠσφαλίσατο αὐτῶν* LTTrWH. [5] *ἠνεῴχθησαν* LTrWH, *ἠνοίχθησαν* T. [6] *δὲ* LTTrWHR. [7] [*παραχρῆμα*] WH. [8] + *τὴν* LTrWHR. [9] *ἤμελλεν* LTTrWH. [10] *Παῦλος φωνῇ μεγάλῃ* L, *φωνῇ μεγάλῃ Παῦλος* TTr *text.*, *Παῦλος μεγάλῃ φωνῇ* Tr *marg.* WH (−*ὁ*). [11] −*τῷ* LTrWH. [12] *εἶπαν* LTTrWH. [13] −*Χριστόν* LTTrWHR. [14] *Θεοῦ* WH (*non marg.*) R *marg.* [15] *σὺν* LTTrWHR. [16] *ἅπαντες* TTr *marg.* WH. [17] −*αὐτοῦ* LT[Tr]WHR. [18] *πανοικεὶ* TWH.

36 θρώπους ἐκείνους." Ἀπήγγειλε δὲ [a] ὁ δεσμοφύλαξ
τοὺς λόγους **τούτους**[1] πρὸς τὸν Παῦλον, "Ὅτι **ἀπεσ-
τάλκασιν**[2] [b] οἱ στρατηγοί, ἵνα ἀπολυθῆτε· νῦν οὖν
37 ἐξελθόντες, [c] πορεύεσθε ἐν εἰρήνῃ." Ὁ δὲ Παῦλος
ἔφη πρὸς αὐτούς, "Δείραντες ἡμᾶς δημοσίᾳ, ἀκατα-
κρίτους, [d] ἀνθρώπους Ῥωμαίους ὑπάρχοντας, **ἔβαλον**[3]
εἰς φυλακήν, καὶ νῦν **λάθρα**[4] ἡμᾶς ἐκβάλλουσιν;
οὐ γάρ· ἀλλὰ ἐλθόντες αὐτοὶ ἡμᾶς ἐξαγαγέτωσαν."
38 **Ἀνήγγειλαν**[5] **δὲ**[6] [b] τοῖς στρατηγοῖς οἱ ῥαβδοῦχοι τὰ
ῥήματα ταῦτα· [e] **καὶ ἐφοβήθησαν**[7] ἀκούσαντες ὅτι
39 Ῥωμαῖοί εἰσι, καὶ ἐλθόντες [f] παρεκάλεσαν αὐτούς, καὶ
40 ἐξαγαγόντες ἠρώτων **ἐξελθεῖν**[8] τῆς πόλεως. ἐξελθόν-
τες δὲ **ἐκ**[9] τῆς φυλακῆς εἰσῆλθον **εἰς**[10] τὴν Λυδίαν·
καὶ ἰδόντες [h] **τοὺς ἀδελφούς**, [i] **παρεκάλεσαν αὐτούς**[11], καὶ
ἐξῆλθον[12].

ΚΕ'. 17 ΔΙΟΔΕΥΣΑΝΤΕΣ δὲ τὴν Ἀμφίπολιν καὶ[13]
Ἀπολλωνίαν, ἦλθον εἰς [k] Θεσσαλονίκην, ὅπου ἦν ἡ[14]
2 συναγωγὴ τῶν Ἰουδαίων. [l] κατὰ δὲ τὸ εἰωθὸς τῷ
Παύλῳ [m] εἰσῆλθε πρὸς αὐτούς. καὶ ἐπὶ σάββατα τρία
3 **διελέγετο**[15] αὐτοῖς [n] ἀπὸ τῶν γραφῶν, διανοίγων καὶ
παρατιθέμενος, ὅτι τὸν Χριστὸν ἔδει παθεῖν [o] καὶ
ἀναστῆναι ἐκ νεκρῶν, [p] καὶ "ὅτι οὗτός ἐστιν **ὁ**[16] Χρισ-
4 τὸς[17] Ἰησοῦς, ὃν ἐγὼ καταγγέλλω ὑμῖν." Καί [q] τινες
ἐξ αὐτῶν ἐπείσθησαν, καὶ προσεκληρώθησαν τῷ
Παύλῳ καὶ **τῷ**[18] [r] Σίλᾳ, [s] τῶν τε σεβομένων[19] [t] Ἑλλήνων
πολὺ πλῆθος[20], γυναικῶν τε [u] τῶν πρώτων οὐκ ὀλίγαι.
5 [x] ζηλώσαντες δὲ οἱ **ἀπειθοῦντες**[21] Ἰουδαῖοι, καὶ προσλα-
βόμενοι [y] τῶν ἀγοραίων **τινὰς ἄνδρας**[22] πονηρούς, καὶ
ὀχλοποιήσαντες, ἐθορύβουν τὴν πόλιν· **ἐπιστάντες
τε**[23] τῇ οἰκίᾳ [z] Ἰάσονος, ἐζήτουν αὐτοὺς [a] **ἀγαγεῖν**[24] εἰς
6 τὸν δῆμον· μὴ εὑρόντες δὲ αὐτούς, ἔσυρον **τὸν**[25]

[a] ver. 23, 27.
[b] ver. 22, 35, 38.
[c] 1 Sam. 1. 17; 20. 13, 42. Vid. cap. 15. 33.
[d] cap. 22. 25.
[e] cap. 22. 29.
[f] Vid. Matt. 8. 34. Cf. Marc. 5 17.
[h] Vid. Joan. 21. 23.
[i] Vid. cap. 15. 32.
[k] ver. 11, 13. cap. 20. 4; 27. 2. Phil. 4. 16. 1 Thess. 1. 1. 2 Thess. 1. 1. 2 Tim. 4. 10.
[l] Vid. Luc. 4. 16.
[m] ver. 10, 17. Vid. cap. 13. 5.
[n] Luc. 24. 32, 45. Cf. cap. 8. 35.
[o] Joan. 20. 9.
[p] (Constructio) Vid. cap. 1. 4.
[q] Vid. cap. 14. 4.
[r] ver. 10, 14, 15. Vid. cap. 15. 22.
[s] ver. 17. Vid. cap. 13. 43.
[t] Vid. Joan. 12. 20.
[u] Cf. Marc. 6. 21.
[x] Cf. cap. 5. 17.
[y] Judic. 9. 4; 11. 8. 2 Chr. 13. 7.
[z] ver. 6, 7, 9. Rom. 16. 21.
[a] cap. 12. 6 (var. lect.).

1 —τούτους LTrWHR. 2 ἀπέσταλκαν LTTrWH. 3 ἔβαλαν LTTrWH. 4 λάθρᾳ LWH. 5 ἀπήγγειλαν LTTrWHR. 6 τε T. 7 ἐφοβήθησαν δὲ LTTrWHR. 8 ἀπελθεῖν ἀπὸ LTTrWHR. 9 ἀπὸ TWH. 10 πρὸς LTTrWHR. 11 παρεκάλεσαν τοὺς ἀδελφούς LTTrWHR. 12 ἐξῆλθαν TTrWH. 13 + τὴν LTTrWH. 14 —ἡ LTTrWHR. 15 διελέξατο LTTrWHR. 16 —ὁ LTTrWH *marg.* 17 + ὁ WH (*non marg.*) R. 18 + [τῷ] WH. 19 + καὶ L[Tr *marg.*]. 20 πλῆθος πολύ LTTrWH. 21 —ἀπειθοῦντες LTTrWHR. 22 ἄνδρας τινὰς LTrWH. 23 καὶ ἐπιστάντες LTTrWHR. 24 προαγαγεῖν LTTrWHR. 25 —τὸν LTTrWH.

[a] ver. 31. Vid. Matt. 24. 14.
[b] Cf. cap. 16. 20.
[c] Vid. Luc. 10. 38.
[d] Vid. ver. 5.
[e] Cf. Luc. 23. 2.
[f] ver. 14. Vid. Matt. 10. 23.
[g] Vid. ver. 4.
[h] ver. 13. cap. 20. 4.
[i] Vid. ver. 2.
[k] ver. 13. Vid. ver. 1.
[l] Vid. 2 Cor. 8. 11.
[m] Luc. 11. 3.
[n] Joan. 5. 39.
[o] Vid. cap. 13. 50.
[p] 2 Thess. 2. 2.
[q] ver. 15. Vid. cap. 16. 1.
[r] Cf. cap. 15. 3.
[s] ver. 16, 21. cap. 18. 1. 1 Thess. 3. 1.
[t] ver. 16. cap. 18. 5.
[u] 1 Cor. 13. 5. Cf. cap. 15. 39.
[x] ver. 2. cap. 18. 4, 19; 19. 8, 9; 20. 7, 9; 24. 12, 25.
[y] ver. 4.

Ἰάσονα καί τινας ἀδελφοὺς ἐπὶ τοὺς πολιτάρχας,
βοῶντες, "[a]Ὅτι οἱ [a]τὴν οἰκουμένην [b]ἀναστατώσαντες,
οὗτοι καὶ ἐνθάδε πάρεισιν, οὓς [c]ὑποδέδεκται [d]Ἰάσων· 7
καὶ οὗτοι πάντες ἀπέναντι τῶν δογμάτων Καίσαρος
πράττουσι[1], [e]βασιλέα **λέγοντες ἕτερον**[2] εἶναι, Ἰη-
σοῦν." [b]Ἐτάραξαν δὲ τὸν ὄχλον καὶ τοὺς πολιτάρ- 8
χας ἀκούοντας ταῦτα· καὶ λαβόντες τὸ ἱκανὸν παρὰ 9
τοῦ [d]Ἰάσονος καὶ τῶν λοιπῶν, ἀπέλυσαν αὐτούς.
Οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ **τῆς**[3] νυκτὸς [f]ἐξέπεμψαν 10
τόν τε Παῦλον καὶ τὸν [g]Σίλαν εἰς [h]Βέροιαν· οἵτινες
παραγενόμενοι, [i]εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων
ἀπῄεσαν. οὗτοι δὲ ἦσαν εὐγενέστεροι τῶν ἐν [k]Θεσ- 11
σαλονίκῃ, οἵτινες ἐδέξαντο τὸν λόγον μετὰ πάσης
[l]προθυμίας, [m]**τὸ**[4] καθ' ἡμέραν [n]ἀνακρίνοντες τὰς γρα-
φάς, εἰ ἔχοι ταῦτα οὕτως. πολλοὶ μὲν οὖν ἐξ αὐτῶν 12
ἐπίστευσαν, καὶ τῶν Ἑλληνίδων γυναικῶν [o]τῶν εὐ-
σχημόνων καὶ ἀνδρῶν οὐκ ὀλίγοι. ὡς δὲ ἔγνωσαν οἱ 13
ἀπὸ τῆς [k]Θεσσαλονίκης Ἰουδαῖοι, ὅτι καὶ ἐν τῇ
[h]Βεροίᾳ κατηγγέλη ὑπὸ τοῦ Παύλου ὁ λόγος τοῦ
Θεοῦ, ἦλθον κἀκεῖ [p]σαλεύοντες[5] τοὺς ὄχλους. εὐ- 14
θέως δὲ τότε τὸν Παῦλον [f]ἐξαπέστειλαν οἱ ἀδελφοὶ
πορεύεσθαι **ὡς**[6] ἐπὶ τὴν θάλασσαν· **ὑπέμενον δὲ**[7] ὅ
τε [g]Σίλας καὶ ὁ [q]Τιμόθεος ἐκεῖ. [r]Οἱ δὲ **καθιστῶντες**[8] 15
τὸν Παῦλον, ἤγαγον **αὐτὸν**[9] ἕως [s]Ἀθηνῶν· καὶ λα-
βόντες ἐντολὴν πρὸς τὸν [g]Σίλαν καὶ[10] [q]Τιμόθεον, [t]ἵνα
ὡς τάχιστα ἔλθωσι πρὸς αὐτόν, ἐξῄεσαν.
Ἐν δὲ ταῖς [s]Ἀθήναις [t]ἐκδεχομένου αὐτοὺς τοῦ 16 Κς′.
Παύλου, [u]παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, **θεω-
ροῦντι**[11] κατείδωλον οὖσαν τὴν πόλιν. [x]διελέγετο μὲν 17
οὖν [i]ἐν τῇ συναγωγῇ τοῖς Ἰουδαίοις καὶ [y]τοῖς σεβο-
μένοις, καὶ ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς
τοὺς παρατυγχάνοντας. τινὲς δὲ[12] τῶν **Ἐπικουρείων**[13] 18

[1] πράσσουσιν LTTrWH. [2] ἕτερον λέγοντες LTTrWH. [3] —τῆς LTTrWHR. [4] —τὸ LTTr *text.*, [τὸ] Tr *marg.* WH. [5] + καὶ ταράσσοντες LTTrWHR. [6] ἕως LTTrWHR. [7] ὑπέμεινέν (-άν TTrWHR) τε LTTrWHR. [8] καθιστάνοντες LTTrWH. [9] —αὐτὸν LTTrWHR. [10] + τὸν TTrWH. [11] θεωροῦντος LTTrWHR. [12] + καὶ LTTrWHR. [13] Ἐπικουρίων TWH.

καὶ **τῶν**[1] **Στωϊκῶν**[2] φιλοσόφων [a]συνέβαλλον αὐτῷ·
καί τινες ἔλεγον, [b]"Τί ἂν θέλοι ὁ σπερμολόγος οὗτος
λέγειν;" Οἱ δέ, "Ξένων δαιμονίων δοκεῖ καταγγε-
λεὺς εἶναι·" ὅτι [c]τὸν Ἰησοῦν καὶ [c]τὴν ἀνάστασιν
19 **αὐτοῖς** [d]**εὐηγγελίζετο**[3]. ἐπιλαβόμενοί **τε**[4] αὐτοῦ, ἐπὶ
τὸν **Ἄρειον**[5] πάγον ἤγαγον λέγοντες, "Δυνάμεθα
γνῶναι, τίς [e]ἡ καινὴ αὕτη [f]ἡ[6] ὑπὸ σοῦ λαλουμένη
20 διδαχή; [g]ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς
ἡμῶν· βουλόμεθα οὖν γνῶναι, **τί ἂν θέλοι**[7] ταῦτα
21 εἶναι." [h]Ἀθηναῖοι δὲ πάντες καὶ οἱ [i]ἐπιδημοῦντες
ξένοι εἰς οὐδὲν ἕτερον **εὐκαίρουν**[8], **ἢ** λέγειν τι **καὶ**[9]
ἀκούειν[10] καινότερον.

22 Σταθεὶς δὲ ὁ[11] Παῦλος ἐν μέσῳ τοῦ **Ἀρείου**[12] πά-
γου, ἔφη, "Ἄνδρες [h]Ἀθηναῖοι, κατὰ πάντα ὡς [k]δεισι-
23 δαιμονεστέρους ὑμᾶς θεωρῶ. διερχόμενος γὰρ καὶ
ἀναθεωρῶν τὰ [l]σεβάσματα ὑμῶν, εὗρον καὶ βωμὸν
ἐν ᾧ [m]ἐπεγέγραπτο, 'Ἀγνώστῳ Θεῷ.' [n]**ὃν**[13] **οὖν** ἀγνο-
24 οῦντες εὐσεβεῖτε, **τοῦτον**[14] ἐγὼ καταγγέλλω ὑμῖν. [o]ὁ
Θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ,
οὗτος [p]οὐρανοῦ καὶ γῆς **κύριος ὑπάρχων**[15], οὐκ ἐν
25 [q]χειροποιήτοις ναοῖς κατοικεῖ, οὐδὲ ὑπὸ χειρῶν **ἀν-
θρώπων**[16] θεραπεύεται [r]προσδεόμενός τινος, αὐτὸς δι-
26 δοὺς πᾶσι [s]ζωὴν καὶ [s]πνοὴν **κατὰ**[17] πάντα· [t]ἐποίησέ
τε ἐξ ἑνὸς **αἵματος**[18] πᾶν ἔθνος ἀνθρώπων, κατοικεῖν
ἐπὶ **πᾶν τὸ πρόσωπον**[19] τῆς γῆς, [u]ὁρίσας **προτεταγ-
μένους**[20] [x]καιροὺς καὶ τὰς ὁροθεσίας τῆς κατοικίας
27 αὐτῶν· [x]ζητεῖν τὸν **Κύριον**[21], εἰ ἄρα γε ψηλαφήσειαν
αὐτὸν **καὶ**[22] εὕροιεν, [y]**καίτοιγε**[23] οὐ μακρὰν ἀπὸ ἑνὸς
28 ἑκάστου ἡμῶν ὑπάρχοντα. [z]ἐν αὐτῷ γὰρ ζῶμεν καὶ
κινούμεθα καί ἐσμεν· ὡς καί τινες [a]τῶν καθ' **ὑμᾶς**[24]
29 ποιητῶν εἰρήκασι, 'Τοῦ γὰρ καὶ γένος ἐσμέν.' Γέ-

[a] cap. 4. 15 (var. lect.). [b] Cf. 1 Cor. 4. 10. [c] ver. 31, 32. Cf. cap. 4. 2. [d] Vid. cap. 5. 42. [e] Marc. 1. 27. Cf. Heb. 13. 9. [f] Joan. 7. 16. [g] 1 Pet. 4. 4, 12. [h] Vid. ver. 15. [i] cap. 2. 10. [k] cap. 25. 19. [l] 2 Thess. 2. 4. [m] Marc. 15. 26. [n] Cf. Joan. 4. 22. [o] Cf. cap. 14. 15. [p] Matt. 11. 25. Cf. Deut. 10. 14. Ps. 115. 16. [q] cap. 7. 48. Vid. Marc. 14. 58. [r] Ps. 50. 8—12. Cf. Job 22. 2. [s] Gen. 2. 7; 7. 22. Job 33. 4. Cf. Job 27. 8. [t] Mal. 2. 10. [u] Deut. 32. 8. Ps. 74. 17. Cf. ver. 31. [x] Cf. cap. 14. 17. Cf. cap. 15. 17. [y] Deut. 4. 7. Ps. 145. 18. [z] Job 12. 10. Dan. 5. 23. [a] Cf. Tit. 1. 12.

[1] —τῶν LTTrWHR. [2] Στοϊκῶν LT, Στωικῶν WH. [3] εὐηγγελίζετο αὐτοῖς L, *at* —αὐτοῖς TTrWHR. [4] δὲ Tr (*non marg.*) WH. [5] Ἄριον T. [6] —ἡ L[TrWH]. [7] τίνα θέλει LTTrWHR. [8] ηὐκαίρουν LTTrWH. [9] ἢ LTTrWHR. [10] + τι LT[Tr]WHR. [11] —ὁ LTTrWH. [12] Ἀρίου T. [13] ὃ LTTrWHR. [14] τοῦτο LTTrWHR. [15] ὑπάρχων κύριος LTTrWH. [16] ἀνθρωπίνων LTTrWHR. [17] καὶ τὰ BELTTrWHR. [18] —αἵματος LTTrWHR. [19] παντὸς προσώπου LTTrWHR. [20] πρὸς τεταγμένους L, προστεταγμένους TTrWHR. [21] θεόν LTTrWHR. [22] ἢ LTr *marg.* [23] καί γε LTTrWHR. [24] ἡμᾶς WH *marg.*

νος οὖν ὑπάρχοντες τοῦ Θεοῦ, [a]οὐκ ὀφείλομεν νομί-
ζειν χρυσῷ ἢ ἀργύρῳ ἢ λίθῳ, χαράγματι τέχνης καὶ
ἐνθυμήσεως ἀνθρώπου, [a]τὸ θεῖον εἶναι ὅμοιον. Τοὺς 30
μὲν οὖν χρόνους [b]τῆς ἀγνοίας [c]ὑπεριδὼν ὁ Θεός, τὰ
[d]νῦν[1] **παραγγέλλει**[2] τοῖς ἀνθρώποις **πᾶσι**[3] πανταχοῦ
[e]μετανοεῖν· **διότι**[4] ἔστησεν [f]ἡμέραν, ἐν ᾗ μέλλει 31
[g]κρίνειν [h]τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ
[i]ὥρισε, πίστιν παρασχὼν πᾶσιν, [k]ἀναστήσας αὐτὸν
ἐκ νεκρῶν." Ἀκούσαντες δὲ [l]ἀνάστασιν νεκρῶν, οἱ 32
μὲν [m]ἐχλεύαζον· οἱ δὲ **εἶπον**[5], [n]"Ἀκουσόμεθά σου
πάλιν περὶ τούτου.[6]" **Καὶ**[7] οὕτως ὁ Παῦλος ἐξῆλ- 33
θεν ἐκ μέσου αὐτῶν. τινὲς δὲ ἄνδρες κολληθέντες 34
αὐτῷ, ἐπίστευσαν· ἐν οἷς καὶ Διονύσιος ὁ[8] [o]**Ἀρεο-
παγίτης**[9], καὶ γυνὴ ὀνόματι Δάμαρις, καὶ ἕτεροι σὺν
αὐτοῖς.

ΜΕΤΑ **δὲ**[10] ταῦτα χωρισθεὶς ὁ **Παῦλος**[11] ἐκ τῶν 18 ΚΖ'.
[p]Ἀθηνῶν ἦλθεν εἰς [q]Κόρινθον· καὶ εὑρών τινα Ἰου- 2
δαῖον ὀνόματι [r]Ἀκύλαν, [s]Ποντικὸν τῷ γένει, προσ-
φάτως ἐληλυθότα ἀπὸ τῆς [t]Ἰταλίας, καὶ [r]Πρίσκιλλαν
γυναῖκα αὐτοῦ, διὰ τὸ **διατεταχέναι**[12] [u]Κλαύδιον χωρί-
ζεσθαι πάντας τοὺς Ἰουδαίους **ἐκ**[13] τῆς Ῥώμης,
προσῆλθεν αὐτοῖς· καὶ [x]διὰ τὸ ὁμότεχνον εἶναι, 3
ἔμενε παρ' αὐτοῖς [x]καὶ **εἰργάζετο**[14]. ἦσαν γὰρ σκηνο-
ποιοὶ **τὴν τέχνην**[15]. [y]διελέγετο δὲ [z]ἐν τῇ συναγωγῇ 4
κατὰ πᾶν σάββατον, [a]ἔπειθέ τε Ἰουδαίους καὶ Ἕλ-
ληνας. [b]Ὡς δὲ κατῆλθον ἀπὸ τῆς [c]Μακεδονίας ὅ τε 5
[d]Σίλας καὶ [e]ὁ Τιμόθεος, [f]συνείχετο τῷ **πνεύματι**[16] ὁ
Παῦλος, [g]διαμαρτυρόμενος τοῖς Ἰουδαίοις[17] [h]τὸν Χρισ-
τὸν Ἰησοῦν. ἀντιτασσομένων δὲ αὐτῶν καὶ [i]βλασ- 6
φημούντων, [k]ἐκτιναξάμενος τὰ ἱμάτια, εἶπε πρὸς αὐ-
τούς, [l]"Τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν·
[m]καθαρὸς ἐγώ· ἀπὸ[18] τοῦ νῦν [n]εἰς τὰ ἔθνη πορεύσομαι."

[a] Esa. 40. 18, 25; 46. 5. Cf. Rom. 1. 13.
[b] Eph. 4. 18. 1 Pet. 1. 14.
[c] Cf. cap. 14. 16.
[d] Cf. Tit. 2. 11, 12.
[e] cap. 26. 20. Luc. 24. 47.
[f] Matt. 12. 36.
[g] Vid. cap. 10. 42. Cf. Joan. 16. 9.
[h] ver. 6.
[i] ver. 26. Vid. Luc. 22. 22.
[k] Vid. cap. 2. 24.
[l] ver. 18.
[m] cap. 2. 13.
[n] cap. 24. 25.
[o] ver. 19, 22.
[p] Vid. cap. 17. 15.
[q] ver. 8. cap. 19. 1; 1 Cor. 1. 2. 2 Cor. 1. 1, 23; 6. 11. 2 Tim. 4. 20.
[r] ver. 18, 26. Rom. 16. 3. 1 Cor. 16. 19. 2 Tim. 4. 19.
[s] Vid. cap. 2. 9.
[t] cap. 27. 1, 6. Heb. 13. 24.
[u] cap. 11. 28.
[x] cap. 20. 34. 1 Cor. 4. 12; 9. 15. 2 Cor. 11. 7; 12. 13. 1 Thess. 2. 9; 4. 11. 2 Thess. 3. 8.
[y] ver. 19. Vid. cap. 17. 17.
[z] ver. 19. Vid. cap. 13. 5.
[a] cap. 13. 43. Cf. Gal. 1. 10.
[b] cap. 17. 15, 16. [c] Vid. cap. 16. 9. [d] Vid. cap. 15. 22. [e] Vid. cap. 16. 1. [f] Vid. Luc. 12. 50. Cf. Job 32. 18. Jer. 6. 11; 20. 9. [g] Vid. Luc. 16. 28. [h] ver. 28. cap. 9. 22. [i] Vid. cap. 13. 45. [k] Vid. Matt. 10. 14. [l] Lev. 20. 9. Ezek. 18. 13; 33. 4. Cf. Matt. 21. 41. [m] cap. 20. 26. Cf. Ezek. 3. 18, 19. [n] cap. 13. 46.

[1] *ταvῦν* BE. [2] *ἀπαγγέλλει* TTr *marg.* WH.R *marg.* [3] *πάντας* LTTrWHR. [4] *καθότι* LTTrWHR. [5] *εἶπαν* TTrWH. [6] *περὶ τούτου καὶ πάλιν.* LTTrWHR. [7] —Καὶ LTTrWHR. [8] —ὁ L[TrWH]. [9] Ἀρεοπαγείτης T. [10] —δὲ LTTrWHR. [11] —ὁ Παῦλος LTTrWH. [12] *τεταχέναι* T, [δια]τετ. Tr *marg.* [13] ἀπὸ LTTrWHR. [14] *ἠργάζετο* LTrWH *marg.*, *ἠργάζοντο* TWH *text.* R. [15] *τῇ τέχνῃ* LTTrWHR. [16] *λόγῳ* LTTrWHR. [17] + *εἶναι* LTTrWHR. [18] *ἐγὼ ἀπὸ* SLTTrWH *marg.*, *ἐγώ, ἀπὸ* BE.

7 Καὶ μεταβὰς ἐκεῖθεν **ἦλθεν**[1] εἰς οἰκίαν τινὸς ὀνόματι[2]
Ἰούστου, [a]σεβομένου τὸν Θεόν, οὗ ἡ οἰκία ἦν συνο-
8 μοροῦσα τῇ συναγωγῇ. [b]Κρίσπος δὲ [c]ὁ ἀρχισυνά-
γωγος ἐπίστευσε τῷ Κυρίῳ [d]σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ·
καὶ πολλοὶ τῶν [e]Κορινθίων ἀκούοντες ἐπίστευον καὶ
9 ἐβαπτίζοντο. Εἶπε δὲ ὁ Κύριος [f]**δι' ὁράματος ἐν νυκτὶ**[3]
τῷ Παύλῳ, [g]"Μὴ φοβοῦ, ἀλλὰ λάλει καὶ μὴ σιω-
10 πήσῃς· [g]διότι ἐγώ εἰμι μετὰ σοῦ, καὶ οὐδεὶς ἐπιθή-
σεταί σοι τοῦ κακῶσαί σε· διότι λαός ἐστί μοι
11 πολὺς ἐν τῇ πόλει ταύτῃ." [h]Ἐκάθισέ **τε**[4] ἐνιαυτὸν
καὶ μῆνας ἕξ, διδάσκων ἐν αὐτοῖς τὸν λόγον τοῦ
Θεοῦ.

12 Γαλλίωνος δὲ [i]**ἀνθυπατεύοντος**[5] τῆς [k]Ἀχαΐας[6], κατεπ-
έστησαν **ὁμοθυμαδὸν** οἱ Ἰουδαῖοι[7] τῷ Παύλῳ, καὶ
13 [l]ἤγαγον αὐτὸν ἐπὶ [m]τὸ βῆμα λέγοντες, "[n]Ὅτι [n]παρὰ
τὸν νόμον **οὗτος ἀναπείθει**[8] τοὺς ἀνθρώπους σέβεσ-
14 θαι τὸν Θεόν." Μέλλοντος δὲ τοῦ Παύλου [o]ἀνοίγειν
τὸ στόμα, εἶπεν ὁ Γαλλίων πρὸς τοὺς Ἰουδαίους,
"Εἰ μὲν **οὖν**[9] ἦν ἀδίκημά τι ἢ [p]ῥᾳδιούργημα πονηρόν,
15 ὦ Ἰουδαῖοι, κατὰ λόγον ἂν [q]**ἠνεσχόμην**[10] ὑμῶν· εἰ δὲ
[r]**ζήτημά**[11] ἐστι περὶ λόγου καὶ ὀνομάτων καὶ [n]νόμου
τοῦ καθ' ὑμᾶς, [s]ὄψεσθε αὐτοί· κριτὴς **γὰρ**[12] ἐγὼ
16 τούτων οὐ βούλομαι εἶναι." Καὶ ἀπήλασεν αὐτοὺς
17 ἀπὸ [m]τοῦ βήματος· ἐπιλαβόμενοι δὲ πάντες **οἱ Ἕλ-
ληνες**[13] [t]Σωσθένην [c]τὸν ἀρχισυνάγωγον ἔτυπτον ἔμ-
προσθεν [m]τοῦ βήματος· καὶ οὐδὲν τούτων τῷ Γαλ-
λίωνι ἔμελεν.

18 Ὁ ΔΕ Παῦλος ἔτι προσμείνας ἡμέρας ἱκανάς,
τοῖς ἀδελφοῖς [u]ἀποταξάμενος, ἐξέπλει εἰς τὴν [x]Συρίαν,
καὶ σὺν αὐτῷ [y]Πρίσκιλλα καὶ [y]Ἀκύλας, [z]κειράμενος
19 **τὴν κεφαλὴν ἐν** [a]**Κεγχρεαῖς**[14]· [z]εἶχε γὰρ εὐχήν. **κατήν-
τησε**[15] δὲ εἰς [b]Ἔφεσον, κἀκείνους κατέλιπεν **αὐτοῦ**[16].

[1] εἰσῆλθεν LTTr *marg.* [2] + Τιτίου T[Tr]WH, + Τίτου R. [3] ἐν νυκτὶ δι' ὁράματος LTTrWHR. [4] δὲ LTTrWHR. [5] ἀνθυπάτου ὄντος LTTrWH. [6] Ἀχαίας WH. [7] οἱ Ἰουδαῖοι ὁμοθυμαδὸν WH (*non marg.*). [8] ἀναπείθει οὗτος LTTrWHR. [9] —οὖν LTTrWHR. [10] ἀνεσχόμην LTTrWH. [11] ζητήματά LTTrWHR. [12] —γὰρ LTTrWHR. [13] —οἱ Ἕλληνες LTTrWHR. [14] ἐν Κεγ(-ν- TWH)χρεαῖς τὴν κεφαλήν LTTrWH. [15] κατήντησαν LTTrWHR. [16] ἐκεῖ LTr *marg.*

[a] Cf. cap. 13. 43.
[b] 1 Cor. 1. 14.
[c] ver. 17. Vid. Marc. 5. 22.
[d] Vid. cap. 11. 14.
[e] ver. 1.
[f] Cf. cap. 23. 11; 27. 23. Vid. cap. 9. 10.
[g] Josh. 1. 5. Jer. 1. 8, 19. Vid. Matt. 28. 20.
[h] Luc. 24. 49.
[i] cap. 13. 7, 8, 12; 19. 38.
[k] ver. 27. cap. 19. 21. Rom. 15. 26. 1 Cor. 16. 15. 2 Cor. 1. 1; 9. 2; 11. 10. 1 Thess. 1. 7, 8.
[l] Cf. cap. 16. 19.
[m] ver. 16, 17. Vid. Matt. 27. 19.
[n] ver. 15.
[o] Vid. Matt. 5. 2.
[p] cap. 13. 10.
[q] Vid. Matt. 17. 17.
[r] cap. 23. 29; 25. 19.
[s] Matt. 27. 4, 24.
[t] 1 Cor. 1. 1?
[u] ver. 21. Vid. Marc. 6. 46.
[x] Vid. cap. 15. 23.
[y] ver. 1, 26.
[z] Num. 6. 2, 18. Cf. cap. 21. 23, 24.
[a] Rom. 16. 1.
[b] ver. 21, 24. cap. 19. 1, 17, 26, 28, 34, 35; 20. 16, 17; 21. 29. 1 Cor. 15. 32; 16. 8. Eph. 1. 1. 1 Tim. 1. 3. 2 Tim. 1. 18; 4. 12. Rev. 1. 11; 2. 1.

[a] ver. 4.
[b] ver. 18.
[c] Rom. 15. 32. 1 Cor. 4. 19; 16. 7. Heb. 6. 3. Jac. 4. 15. 1 Pet. 3. 17.
[d] ver. 19, 24.
[e] cap. 11. 27.
[f] Vid. cap. 8. 40.
[g] Vid. cap. 13. 1.
[h] cap. 11. 4. Luc. 1. 3.
[i] Vid. cap. 16. 6.
[k] Vid. cap. 14. 22.
[l] cap. 19. 1. 1 Cor. 1. 12; 3. 4, 5, 6, 22; 4. 6; 16. 12. Tit. 3. 13.
[m] Vid. cap. 6. 9.
[n] cap. 7. 22.
[o] Vid. Luc. 1. 4.
[p] ver. 26. Vid. cap. 9. 2.
[q] Rom. 12. 11.
[r] cap. 19. 3. Luc. 7. 29.
[s] Cf. cap. 4. 13.
[t] ver. 1, 18.
[u] cap. 23. 15, 20; 24. 22.
[x] cap. 11. 4; 28. 23.
[y] Vid. ver. 12.
[z] Cf. 2 Cor. 3. 1.
[a] Vid. cap. 2. 41.
[b] Cf. 1 Cor. 3. 6.
[c] Luc. 23. 10.
[d] Cf. cap. 8. 35.
[e] ver. 5. cap. 9. 22.
[f] Vid. cap. 18. 1.
[g] Cf. cap. 18. 23.
[h] ver. 17, 26, 28, 34, 35. Vid. cap. 18. 19.
[i] Cf. cap. 8. 16; 11. 16, 17. Joan. 7. 39.

αὐτὸς δὲ [a]εἰσελθὼν εἰς τὴν συναγωγήν, **διελέχθη**[1]
τοῖς Ἰουδαίοις. ἐρωτώντων δὲ αὐτῶν ἐπὶ πλείονα 20
χρόνον μεῖναι **παρ' αὐτοῖς**[2], οὐκ ἐπένευσεν· **ἀλλ'** 21
[b]**ἀπετάξατο αὐτοῖς,**[3] εἰπών, "**Δεῖ με πάντως τὴν ἑορτὴν
τὴν ἐρχομένην ποιῆσαι εἰς Ἱεροσόλυμα**[4]· πάλιν **δὲ**[5]
ἀνακάμψω πρὸς ὑμᾶς, [c]τοῦ Θεοῦ θέλοντος.[6]" **Καὶ**[7]
ἀνήχθη ἀπὸ τῆς [d]Ἐφέσου· καὶ [e]κατελθὼν εἰς [f]**Καισά- 22
ρειαν**[8], ἀναβὰς καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν,
κατέβη εἰς [g]Ἀντιόχειαν. καὶ ποιήσας χρόνον τινά, 23
ἐξῆλθε, διερχόμενος [h]καθεξῆς τὴν [i]Γαλατικὴν χώραν
καὶ [i]Φρυγίαν, [k]**ἐπιστηρίζων**[9] πάντας τοὺς μαθητάς.
Ἰουδαῖος δέ τις [l]Ἀπολλὼς ὀνόματι, [m]Ἀλεξανδρεὺς 24
τῷ γένει, ἀνὴρ λόγιος, κατήντησεν εἰς [d]Ἔφεσον,
[n]δυνατὸς ὢν ἐν ταῖς γραφαῖς. οὗτος ἦν [o]κατηχημένος 25
[p]τὴν ὁδὸν **τοῦ Κυρίου**[10], καὶ [q]ζέων τῷ πνεύματι, ἐλάλει
καὶ ἐδίδασκεν ἀκριβῶς τὰ περὶ τοῦ **Κυρίου**[11], [r]ἐπιστά-
μενος μόνον τὸ βάπτισμα **Ἰωάννου**[12]· οὗτός τε ἤρ- 26
ξατο [s]παρρησιάζεσθαι ἐν τῇ συναγωγῇ. ἀκούσαντες
δὲ αὐτοῦ [t]**Ἀκύλας καὶ** [t]**Πρίσκιλλα**[13], προσελάβοντο
αὐτόν, καὶ [u]ἀκριβέστερον αὐτῷ [x]ἐξέθεντο [p]τὴν **τοῦ
Θεοῦ ὁδόν**[14]. βουλομένου δὲ αὐτοῦ διελθεῖν εἰς τὴν 27
[y]Ἀχαΐαν[15], προτρεψάμενοι οἱ ἀδελφοὶ [z]ἔγραψαν τοῖς
μαθηταῖς [a]ἀποδέξασθαι αὐτόν[16]· ὃς παραγενόμενος
[b]συνεβάλετο πολὺ τοῖς πεπιστευκόσι διὰ τῆς χάρι-
τος· [c]εὐτόνως γὰρ τοῖς Ἰουδαίοις διακατηλέγχετο 28
δημοσίᾳ,[17] [d]ἐπιδεικνὺς διὰ τῶν γραφῶν, [e]εἶναι τὸν
Χριστὸν Ἰησοῦν.
ἘΓΕΝΕΤΟ δὲ ἐν τῷ τὸν [l]Ἀπολλὼ εἶναι ἐν [f]Κο- 19 ΚΗ'.
ρίνθῳ, Παῦλον [g]διελθόντα τὰ ἀνωτερικὰ μέρη, **ἐλθεῖν**[18]
εἰς [h]Ἔφεσον· καὶ **εὑρών**[19] τινας μαθητάς, **εἶπε**[20,21] πρὸς 2
αὐτούς, "Εἰ Πνεῦμα Ἅγιον ἐλάβετε πιστεύσαντες;"
Οἱ δὲ **εἶπον**[22] πρὸς αὐτόν, [i]"Ἀλλ' **οὐδὲ**[23] εἰ Πνεῦμα

[1] διελέξατο LTTrWH. [2] —παρ' αὐτοῖς LTTrWHR. [3] ἀλλὰ ἀποταξάμενος καὶ LTTrWHR. [4] —Δεῖ με *usque ad* Ἱεροσόλυμα LTTrWH (*habet loco* Πάλιν WH *marg.*; Ἱερο- WH *marg.*) R. [5] —δὲ LTTrWHR. [6] θέλοντος, R. [7] —Καὶ LTTrWHR. [8] Καισαρίαν TWH. [9] στηρίζων LTTrWHR. [10] Κυρίου (—τοῦ) WH *marg.* [11] Ἰησοῦ LTTrWHR. [12] Ἰωάνου TrWH. [13] Πρίσκιλλα καὶ Ἀκύλας LTTrWHR. [14] ὁδὸν τοῦ Θεοῦ LTTrWH. [15] Ἀχαίαν WH. [16] *Pro ver.* 27 *usque ad* αὐτόν WH *marg.* *sic habet*: ἐν δὲ τῇ Ἐφέσῳ ἐπιδημοῦντές τινες Κορίνθιοι καὶ ἀκούσαντες αὐτοῦ παρεκάλουν διελθεῖν σὺν αὐτοῖς εἰς τὴν πατρίδα αὐτῶν· συνκατανεύσαντος δὲ αὐτοῦ οἱ Ἐφέσιοι ἔγραψαν τοῖς ἐν Κορίνθῳ μαθηταῖς ὅπως ἀποδέξωνται τὸν ἄνδρα. [17] δημοσίᾳ ἐπιδεικνὺς WH.R *marg.* [18] κατελθεῖν TTr *marg.* [19] εὑρεῖν LTTrWHR. [20] + τε LTTrWHR. [21] *Pro ver.* 1 WH *marg.* *sic habet*: Θέλοντος δὲ τοῦ Παύλου κατὰ τὴν ἰδίαν βουλὴν πορεύεσθαι εἰς Ἱεροσόλυμα εἶπεν αὐτῷ τὸ πνεῦμα ὑποστρέφειν εἰς τὴν Ἀσίαν· διελθὼν δὲ τὰ ἀνωτερικὰ μέρη ἔρχεται εἰς Ἔφεσον, καὶ εὑρών τινας μαθητὰς εἶπεν. [22] —εἶπον LTTrWHR. [23] οὐδ' LTWH.

3 Ἅγιόν ἐστιν, ἠκούσαμεν.” **Εἶπέ τε**[1] **πρὸς αὐτούς**[2],
“Εἰς τί οὖν ἐβαπτίσθητε;” Οἱ δὲ **εἶπον**[3], [a]“Εἰς τὸ
4 **Ἰωάννου**[4] βάπτισμα.” Εἶπε δὲ Παῦλος, [b]“**Ἰωάννης**[5]
μὲν[6] ἐβάπτισε βάπτισμα μετανοίας, τῷ λαῷ λέγων,
[c]εἰς τὸν ἐρχόμενον μετ’ αὐτὸν ἵνα πιστεύσωσι, τουτέ-
5 στιν[7] εἰς τὸν **Χριστὸν**[8] Ἰησοῦν.” Ἀκούσαντες δὲ
6 [d]ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. καὶ
[e]ἐπιθέντος αὐτοῖς τοῦ Παύλου **τὰς**[9] χεῖρας, ἦλθε τὸ
Πνεῦμα τὸ Ἅγιον ἐπ’ αὐτούς, [f]ἐλάλουν τε γλώσσαις
7 καὶ [g]**προεφήτευον**[10]. ἦσαν δὲ οἱ πάντες ἄνδρες ὡσεὶ
8 **δεκαδύο**[11]. [h]Εἰσελθὼν δὲ εἰς τὴν συναγωγήν, [i]ἐπαρ-
ρησιάζετο, °ἐπὶ μῆνας τρεῖς [k]διαλεγόμενος καὶ πείθων
9 [l]**τὰ**[12] περὶ τῆς βασιλείας τοῦ Θεοῦ. Ὡς δέ τινες ἐ-
σκληρύνοντο καὶ ἠπείθουν, κακολογοῦντες [m]τὴν ὁδὸν
ἐνώπιον τοῦ πλήθους, ἀποστὰς ἀπ’ αὐτῶν [n]ἀφώρισε
τοὺς μαθητάς, καθ’ ἡμέραν [k]διαλεγόμενος ἐν τῇ σχολῇ
10 Τυράννου **τινός**[13, 14]. Τοῦτο δὲ ἐγένετο °ἐπὶ ἔτη δύο, ὥστε
πάντας τοὺς κατοικοῦντας τὴν [p]Ἀσίαν ἀκοῦσαι τὸν
λόγον τοῦ Κυρίου **Ἰησοῦ**[15], Ἰουδαίους τε καὶ Ἕλλη-
11 νας. [q]Δυνάμεις τε [r]οὐ τὰς τυχούσας **ἐποίει ὁ Θεὸς**[16]
12 διὰ τῶν χειρῶν Παύλου, [s]ὥστε καὶ ἐπὶ τοὺς ἀσθε-
νοῦντας **ἐπιφέρεσθαι**[17] ἀπὸ τοῦ χρωτὸς αὐτοῦ [t]σουδά-
ρια ἢ σιμικίνθια, καὶ [u]ἀπαλλάσσεσθαι ἀπ’ αὐτῶν τὰς
νόσους, τά τε πνεύματα τὰ πονηρὰ **ἐξέρχεσθαι ἀπ’**
13 **αὐτῶν**[18]. Ἐπεχείρησαν δέ τινες **ἀπὸ**[19] τῶν περιερ-
χομένων Ἰουδαίων [x]ἐξορκιστῶν ὀνομάζειν ἐπὶ τοὺς
ἔχοντας τὰ πνεύματα τὰ πονηρὰ τὸ ὄνομα τοῦ Κυ-
ρίου Ἰησοῦ, λέγοντες, [y]“**Ὁρκίζομεν**[20] ὑμᾶς τὸν Ἰησοῦν
14 ὃν **ὁ**[21] Παῦλος κηρύσσει.” Ἦσαν δέ **τινες**[22] **υἱοὶ**[23]
Σκευᾶ Ἰουδαίου ἀρχιερέως ἑπτὰ **οἱ**[24] τοῦτο ποιοῦν-
15 τες. ἀποκριθὲν δὲ [u]τὸ πνεῦμα τὸ πονηρὸν **εἶπε**[25],

[a] Vid. cap. 18. 25.
[b] Vid. cap. 13. 24.
[c] Joan. 1. 7, 12.
[d] cap. 8. 16; 10. 48.
[e] cap. 8. 17. Heb. 6. 2.
[f] cap. 10. 46. Vid. Marc. 16. 17.
[g] Cf. cap. 13. 1.
[h] cap. 13. 5.
[i] Cf. cap. 4. 13.
[k] ver. 9. Vid. cap. 17. 17.
[l] Vid. cap. 1. 3.
[m] ver. 23. Vid. cap. 9. 2.
[n] Vid. cap. 14. 4.
[o] Cf. ver. 8. cap. 20. 31.
[p] ver. 22, 26, 27.
[q] Vid. cap. 2. 9.
[r] cap. 5. 12; 8. 13.
[s] cap. 28. 2.
[t] Cf. cap. 5. 15.
[t] Vid. Luc. 19. 20.
[u] Vid. Marc. 16. 17.
[x] Vid. Matt. 7. 22. Cf. Matt. 12. 27. Luc. 11. 19.
[y] Vid. Marc. 5. 7.

[1] ὁ δὲ εἶπεν TTr *marg.* WH *marg.* [2] —πρὸς αὐτούς LTTrWHR. [3] εἶπαν LTTrWH. [4] Ἰωάνου TrWH. [5] Ἰωάνης TrWH. [6] —μὲν LTTrWHR. [7] τοῦτ’ ἔστιν TWH. [8] —Χριστὸν LTTrWHR. [9] —τὰς LTTrWHR. [10] ἐπροφήτευον LTTrWH. [11] δώδεκα LTTrWH. [12] —τὰ LTrWH. [13] —τινός LTTrWHR. [14] + ἀπὸ ὥρας ε̄ ἕως δεκάτης WH *marg.* [15] —Ἰησοῦ LTTrWHR. [16] ὁ Θεὸς ἐποίει LTTrWH. [17] ἀποφέρεσθαι LTTrWHR. [18] ἐκπορεύεσθαι (—ἀπ’ αὐτῶν) LTTrWHR. [19] καὶ LTTrWHR. [20] Ὁρκίζω LTTrWHR. [21] —ὁ LTTrWH. [22] τινος LTr (*non marg.*) WHR. [23] υἱοὶ *transferunt* LTTrWHR *in locum post* ἑπτά. [24] —οἱ LTTrWHR. [25] + (ν) αὐτοῖς LTTrWHR.

[a] "Τὸν[1] Ἰησοῦν γινώσκω, καὶ τὸν Παῦλον ἐπίσταμαι·
ὑμεῖς δὲ τίνες ἐστέ;" Καὶ **ἐφαλλόμενος**[2] **ἐπ' αὐτοὺς ὁ** 16
ἄνθρωπος[3] ἐν ᾧ ἦν τὸ πνεῦμα τὸ πονηρόν, **καὶ**[4]
[b] κατακυριεύσας **αὐτῶν**[5], ἴσχυσε κατ' αὐτῶν, ὥστε
γυμνοὺς καὶ τετραυματισμένους ἐκφυγεῖν ἐκ τοῦ οἴκου
ἐκείνου. τοῦτο δὲ ἐγένετο γνωστὸν πᾶσιν Ἰουδαίοις 17
τε καὶ Ἕλλησι τοῖς κατοικοῦσι τὴν [c] Ἔφεσον, καὶ
[d] **ἐπέπεσε**[6] φόβος ἐπὶ πάντας αὐτούς, καὶ ἐμεγαλύνετο
τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. Πολλοί τε τῶν πε- 18
πιστευκότων ἤρχοντο [e] ἐξομολογούμενοι καὶ ἀναγ-
γέλλοντες τὰς πράξεις αὐτῶν. ἱκανοὶ δὲ τῶν τὰ 19
περίεργα πραξάντων συνενέγκαντες τὰς βίβλους
κατέκαιον ἐνώπιον πάντων· καὶ συνεψήφισαν τὰς τι-
μὰς αὐτῶν, καὶ εὗρον ἀργυρίου μυριάδας πέντε. οὕτω 20
κατὰ κράτος [f] **ὁ λόγος τοῦ Κυρίου**[7] ηὔξανε καὶ ἴσχυεν.
ὩΣ δὲ ἐπληρώθη ταῦτα, ἔθετο ὁ Παῦλος ἐν τῷ 21
πνεύματι, [g] **διελθὼν**[8] τὴν [h] Μακεδονίαν καὶ[9] [i] Ἀχαΐαν[10]
[g] πορεύεσθαι εἰς **Ἱερουσαλὴμ**[11], εἰπών, "Ὅτι μετὰ τὸ
γενέσθαι με ἐκεῖ, δεῖ με καὶ Ῥώμην ἰδεῖν." Ἀπο- 22
στείλας δὲ εἰς **τὴν**[12] [h] Μακεδονίαν δύο τῶν διακονούν-
των αὐτῷ, [k] Τιμόθεον καὶ [l] Ἔραστον, αὐτὸς ἐπέσχε
χρόνον εἰς τὴν [m] Ἀσίαν. [n] Ἐγένετο δὲ κατὰ τὸν καιρὸν 23
ἐκεῖνον [o] τάραχος οὐκ[13] ὀλίγος περὶ [p] τῆς ὁδοῦ. Δημή- 24
τριος γάρ τις ὀνόματι, ἀργυροκόπος, ποιῶν ναοὺς
ἀργυροῦς[14] Ἀρτέμιδος, [q] **παρείχετο**[15] τοῖς τεχνίταις **ἐργα-
σίαν οὐκ ὀλίγην**[16]· [r] οὓς συναθροίσας, καὶ τοὺς περὶ 25
τὰ τοιαῦτα ἐργάτας, εἶπεν, "Ἄνδρες, ἐπίστασθε ὅτι
ἐκ ταύτης τῆς ἐργασίας ἡ εὐπορία **ἡμῶν**[17] ἐστί. καὶ 26
θεωρεῖτε καὶ ἀκούετε ὅτι οὐ μόνον [c] Ἐφέσου, ἀλλὰ[18]
σχεδὸν πάσης τῆς [m] Ἀσίας ὁ Παῦλος οὗτος πείσας
μετέστησεν [s] ἱκανὸν ὄχλον, λέγων ὅτι [t] οὐκ εἰσὶ θεοὶ
οἱ διὰ χειρῶν γινόμενοι. οὐ μόνον δὲ τοῦτο κιν- 27

[a] Cf. Marc. 1. 24. Jac. 2. 19.
[b] Vid. Marc. 10. 42.
[c] Vid. ver. 1.
[d] Vid. cap. 2. 43.
[e] Matt. 3. 6. Marc. 1. 5. Jac. 5. 16.
[f] Vid. cap. 6. 7.
[g] 1 Cor. 16. 5. Cf. cap. 20. 1. Rom. 15. 25, 26. 2 Cor. 1. 16. 1 Thess. 1. 7, 8.
[h] ver. 22, 29. Vid. cap. 16. 9.
[i] Vid. cap. 18. 12.
[k] Vid. cap. 16. 1.
[l] Rom. 16. 23. 2 Tim. 4. 20.
[m] ver. 10.
[n] Cf. 2 Cor. 1. 8.
[o] cap. 12. 18.
[p] ver. 9.
[q] cap. 16. 16.
[r] Cf. cap. 16. 19.
[s] cap. 11. 24, 26. Vid. Luc. 7. 12.
[t] Ps. 115. 4. Esa. 44. 10–20. Jer. 10. 3. Rev. 9. 20.

[1] + [μὲν] WH. [2] ἐφαλόμενος LTTrWHR. [3] ὁ ἄνθρωπος ἐπ' αὐτοὺς LTTrWH. [4] — καὶ LTTrWHR. [5] ἀμφοτέρων LTTrWHR. [6] ἔπεσεν LTr. [7] τοῦ κυρίου ὁ λόγος LTTrWHR. [8] διελθεῖν L. [9] + τὴν L. [10] Ἀχαίαν WH. [11] Ἱεροσόλυμα LTTr, Ἱεροσόλυμα WH. [12] — τὴν T. [13] οὐχ L. [14] [ἀργυροῦς] WH. [15] παρεῖχε L. [16] οὐκ ὀλίγην ἐργασίαν LTTrWH. [17] ἡμῖν LTTrWHR. [18] + καὶ L.

δυνεύει ἡμῖν τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν, ἀλλὰ
καὶ τὸ τῆς μεγάλης θεᾶς **Ἀρτέμιδος ἱερὸν**[1] εἰς
οὐδὲν[2] **λογισθῆναι, μέλλειν**[3] **δὲ**[4] καὶ καθαιρεῖσθαι
τὴν μεγαλειότητα[5] **αὐτῆς**[6], ἣν ὅλη ἡ[7] [a]Ἀσία καὶ [b]ἡ[7]
28 οἰκουμένη σέβεται." Ἀκούσαντες δὲ καὶ γενόμενοι
πλήρεις θυμοῦ[8], ἔκραζον λέγοντες, "Μεγάλη ἡ Ἄρ-
29 τεμις Ἐφεσίων." Καὶ ἐπλήσθη ἡ πόλις **ὅλη**[9,10] [c]συγ-
χύσεως· ὥρμησάν τε ὁμοθυμαδὸν εἰς τὸ θέατρον,
[d]συναρπάσαντες [e]Γάϊον[11] καὶ [f]Ἀρίσταρχον [g]Μακεδό-
30 νας, [h]συνεκδήμους **τοῦ**[12] Παύλου. **τοῦ δὲ Παύλου**[13] βου-
λομένου εἰσελθεῖν εἰς τὸν δῆμον, οὐκ εἴων αὐτὸν οἱ
31 μαθηταί. τινὲς δὲ καὶ τῶν Ἀσιαρχῶν, ὄντες αὐτῷ
φίλοι, πέμψαντες πρὸς αὐτόν, παρεκάλουν μὴ δοῦναι
32 ἑαυτὸν εἰς τὸ θέατρον. [i]ἄλλοι μὲν οὖν ἄλλο τι
ἔκραζον. ἦν γὰρ ἡ ἐκκλησία [c]**συγκεχυμένη**[14], καὶ οἱ
πλείους οὐκ ᾔδεισαν, τίνος **ἕνεκεν**[15] συνεληλύθεισαν.
33 [k]ἐκ δὲ τοῦ ὄχλου [l]**προεβίβασαν**[16] [m]Ἀλέξανδρον, **προ-
βαλόντων**[17] αὐτὸν τῶν Ἰουδαίων· ὁ δὲ [m]Ἀλέξανδρος
[n]κατασείσας τὴν χεῖρα, ἤθελεν [o]ἀπολογεῖσθαι τῷ δή-
34 μῳ. **ἐπιγνόντων**[18] δὲ ὅτι Ἰουδαῖός ἐστι, φωνὴ ἐγένετο
μία ἐκ πάντων, ὡς[19] ἐπὶ ὥρας δύο **κραζόντων**[20], "Με-
35 γάλη ἡ Ἄρτεμις [p]Ἐφεσίων." [21][q]Καταστείλας δὲ ὁ
γραμματεὺς τὸν ὄχλον[22], φησίν, "Ἄνδρες Ἐφέσιοι,
τίς γάρ ἐστιν **ἄνθρωπος**[23] ὃς οὐ γινώσκει τὴν Ἐφε-
σίων πόλιν νεωκόρον οὖσαν τῆς μεγάλης **θεᾶς**[24]
36 Ἀρτέμιδος καὶ τοῦ Διοπετοῦς; **ἀναντιρρήτων**[25] οὖν
ὄντων τούτων, δέον ἐστὶν ὑμᾶς [q]κατεσταλμένους ὑπ-
37 άρχειν, καὶ μηδὲν [r]προπετὲς **πράττειν**[26]. ἠγάγετε γὰρ
τοὺς ἄνδρας τούτους, οὔτε [s]ἱεροσύλους οὔτε βλασφη-
38 μοῦντας τὴν **θεὰν**[27] **ὑμῶν**[28]. εἰ μὲν οὖν Δημήτριος καὶ
οἱ σὺν αὐτῷ τεχνῖται **πρός τινα λόγον ἔχουσιν**[29], ἀγο-
ραῖοι[30] ἄγονται, καὶ [t]ἀνθύπατοί εἰσιν· ἐγκαλείτωσαν

[a] ver. 10.
[b] Vid. Matt. 24. 14.
[c] ver. 32. cap. 21. 27, 31.
[d] Vid. cap. 6. 12.
[e] cap. 20. 4. Rom. 16. 23. 1 Cor. 1. 14.
[f] cap. 20. 4; 27. 2. Col. 4. 10. Philem. 24.
[g] ver. 21.
[h] 2 Cor. 8. 19. Cf. ver. 22. cap. 20. 34.
[i] cap. 21. 34.
[k] (Constructio ?) Joan. 7. 40; 16. 17. cap. 21. 16.
[l] Matt. 14. 8 (var. lect.).
[m] 1 Tim. 1. 20? 2 Tim. 4. 14?
[n] Vid. cap. 12. 17.
[o] cap. 24. 10; 25. 8; 26. 1, 2, 24. Cf. cap. 22. 1; 25. 16.
[p] ver. 17.
[q] ver. 36.
[r] 2 Tim. 3. 4.
[s] Rom. 2. 22.
[t] cap. 13. 7, 8, 12; 18. 12.

[1] ἱερὸν Ἀρτέμιδος T. [2] οὐθὲν LTTrWH. [3] λογισθήσεται, μέλλει L. [4] τε BELTTrWHR. [5] τῆς μεγαλειότητος LTTrWHR. [6] [αὐτῆς] Tr *marg.* [7] [ἡ] TrWH (*bis* WH, *prim.* Tr). [8] + δραμόντες εἰς τὸ ἄμφοδον WH *marg.* [9] —ὅλη LTTrWHR. [10] + τῆς TTrWHR. [11] Γαῖον WH. [12] —τοῦ LTTrWH. [13] Παύλου δὲ LTTrWH. [14] συν- TWH. [15] ἕνεκα LTTrWH. [16] συνεβίβασαν LTTrWHR. [17] προβαλλόντων BEL. [18] ἐπιγνόντες LTTrWH. [19] ὡσεὶ WH (*non marg.*). [20] κράζοντες TWH *marg.* [21] + Μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων WH *marg.* [22] τὸν ὄχλον ὁ γραμματεύς WH. [23] ἀνθρώπων LTTrWHR. [24] —θεᾶς LTTrWHR. [25] ἀναντιρήτων WH. [26] πράσσειν LTTrWH. [27] θεὸν LTTrWHR. [28] ἡμῶν LTTrWHR. [29] ἔχουσι (ν TrWH) πρός τινα λόγον LTTrWH. [30] ἀγόραιοι L.

ἀλλήλοις. εἰ δέ τι **περὶ ἑτέρων**[1] ἐπιζητεῖτε, ἐν τῇ 39
ἐννόμῳ ἐκκλησίᾳ ἐπιλυθήσεται. καὶ γὰρ κινδυνεύο- 40
μεν ἐγκαλεῖσθαι στάσεως περὶ τῆς σήμερον, μηδενὸς
αἰτίου ὑπάρχοντος[2] περὶ οὗ[3] δυνησόμεθα ἀποδοῦναι
λόγον[4] τῆς συστροφῆς ταύτης." Καὶ ταῦτα εἰπών, 41
ἀπέλυσε τὴν ἐκκλησίαν.

ΜΕΤΑ δὲ τὸ παύσασθαι τὸν θόρυβον, **προσκαλε-** 20 ΚΘ'.
σάμενος[5] ὁ Παῦλος [a]τοὺς μαθητάς, καὶ[6] ἀσπασάμενος,
[b]ἐξῆλθε **πορευθῆναι**[7] εἰς **τὴν**[8] [c]Μακεδονίαν. διελθὼν δὲ 2
τὰ μέρη ἐκεῖνα, καὶ [d]παρακαλέσας αὐτοὺς λόγῳ πολλῷ,
ἦλθεν εἰς τὴν Ἑλλάδα· ποιήσας τε μῆνας τρεῖς, 3
γενομένης **αὐτῷ** [e]**ἐπιβουλῆς**[9] ὑπὸ τῶν Ἰουδαίων μέλ-
λοντι ἀνάγεσθαι εἰς τὴν [f]Συρίαν, ἐγένετο **γνώμη**[10] τοῦ
ὑποστρέφειν διὰ [c]Μακεδονίας. συνείπετο δὲ αὐτῷ 4
ἄχρι τῆς [g]**Ἀσίας**[11] [h]Σώπατρος[12] [i]Βεροιαῖος· [k]Θεσσαλονι-
κέων δέ, [l]Ἀρίσταρχος καὶ Σεκοῦνδος,[13] καὶ [l]Γάϊος[14] [m]Δερ-
βαῖος καὶ [n]Τιμόθεος· Ἀσιανοὶ δέ, [o]Τυχικὸς[15] καὶ [p]Τρό-
φιμος. οὗτοι[16] **προελθόντες**[17] ἔμενον ἡμᾶς ἐν [q]Τρωάδι[18]· 5
ἡμεῖς δὲ ἐξεπλεύσαμεν μετὰ [r]τὰς ἡμέρας τῶν ἀζύμων 6
ἀπὸ [s]Φιλίππων, καὶ ἤλθομεν πρὸς αὐτοὺς εἰς τὴν
[q]Τρωάδα[19] **ἄχρις**[20] ἡμερῶν πέντε, οὗ[21] διετρίψαμεν ἡμέ-
ρας ἑπτά. [t]Ἐν δὲ τῇ μιᾷ τῶν σαββάτων, συνηγμένων 7
τῶν μαθητῶν [u]**τοῦ**[22] κλάσαι ἄρτον, ὁ Παῦλος [x]διελέγετο
αὐτοῖς, μέλλων ἐξιέναι τῇ ἐπαύριον, παρέτεινέ τε
τὸν λόγον μέχρι μεσονυκτίου· ἦσαν δὲ [y]λαμπάδες 8
ἱκαναὶ ἐν [z]τῷ ὑπερῴῳ οὗ **ἦσαν**[23] συνηγμένοι. **καθήμε-** 9
νος[24] δέ τις νεανίας ὀνόματι Εὔτυχος ἐπὶ [a]τῆς θυρίδος,
καταφερόμενος ὕπνῳ βαθεῖ, [x]διαλεγομένου τοῦ Παύ-
λου ἐπὶ πλεῖον, κατενεχθεὶς[25] ἀπὸ τοῦ ὕπνου, ἔπεσεν
ἀπὸ τοῦ τριστέγου κάτω, καὶ ἤρθη νεκρός. καταβὰς 10
δὲ ὁ Παῦλος [b]ἐπέπεσεν αὐτῷ, καὶ [26]**συμπεριλαβὼν**
εἶπε, [c]"Μὴ **θορυβεῖσθε**[27]· ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ

[a] ver. 30. Vid. cap. 11. 36. [b] Cf. cap. 19. 21. [c] ver. 3. Vid. cap. 16. 9. [d] ver. 1 (var. lect.). cap. 15. 32. [e] ver. 19. Vid. cap. 9. 24. [f] Vid. cap. 15. 23. [g] ver. 16, 18. Vid. cap. 2. 9. [h] Rom. 16. 21. [i] cap. 17. 10, 13. [k] Vid. cap. 17. 1. Cf. 2 Cor. 9. 4. [l] cap. 19. 29. [m] Vid. cap. 14. 6. [n] cap. 16. 1. [o] Eph. 6. 21. Col. 4. 7. 2 Tim. 4. 12. Tit. 3. 12. [p] cap. 21. 29. 2 Tim. 4. 20. [q] ver. 6. Vid. cap. 16. 8. [r] Vid. cap. 12. 3. [s] Vid. cap. 16. 12. [t] 1 Cor. 16. 2. Cf. Rev. 1. 10. [u] ver. 11. Vid. Luc. 24. 35 & cap. 2. 42. [x] ver. 9. Vid. cap. 17. 17. [y] Vid. Matt. 25. 1. [z] Vid. cap. 1. 13. [a] 2 Cor. 11. 33. [b] Cf. 1 Reg. 17. 21. 2 Reg. 4. 34. [c] Cf. Matt. 9. 23, 24.

[1] περαιτέρω LTrWH. [2] ὑπάρχοντος, SWH, ὑπάρχοντος· R. [3] + οὐ TTrWH (*marg. Ap.* †) R. [4] + περὶ LT (*ita vult*) TrWHR. [5] μεταπεμψάμενος TTrWHR. [6] + [d]παρακαλέσας, LTTrWHR. [7] πορεύεσθαι LTTrWHR. [8] — τὴν LTTrWH. [9] ἐπιβουλῆς αὐτῷ LTTrWH. [10] γνώμης TTrWHR. [11] — ἄχρι τῆς Ἀσίας TTr *marg.* [Tr *text.*] WH (*non marg.*) R *marg.* [12] + Πύρρου LTTrWHR. [13] Σέκουνδος TWH. [14] Γαῖος WH. [15] Τύχικος WH. [16] + δὲ LTTrWHR. [17] προσελθόντες TrWH (*non marg.*) R *marg.* [18] Τρῳάδι LTWH. [19] Τρῳάδα LTWH. [20] ἄχρι LTTrWH. [21] ὅπου TTr *marg.* [22] ἡμῶν LTTrWHR. [23] ἦμεν LTTrWHR. [24] καθεζόμενος LTTrWHR. [25] Παύλου, ἐπὶ πλεῖον κατενεχθεὶς WH *marg.* [26] συν- TWH. [27] θορυβεῖσθαι WH *marg.*

11 ἐστίν.” Ἀναβὰς δὲ **καὶ**[1] [a]κλάσας[2] ἄρτον καὶ γευσάμε-
νος, ἐφ' ἱκανόν τε ὁμιλήσας **ἄχρις**[3] αὐγῆς, οὕτως
12 ἐξῆλθεν. ἤγαγον δὲ τὸν παῖδα ζῶντα, καὶ [b]παρεκλή-
13 θησαν οὐ μετρίως. Ἡμεῖς δὲ **προελθόντες**[4] ἐπὶ τὸ
πλοῖον, ἀνήχθημεν **εἰς**[5] τὴν Ἄσσον, ἐκεῖθεν μέλλον-
τες ἀναλαμβάνειν τὸν Παῦλον· οὕτω γὰρ **ἦν διατεταγ-**
14 **μένος**[6], μέλλων αὐτὸς πεζεύειν. ὡς δὲ **συνέβαλεν**[7]
ἡμῖν εἰς τὴν Ἄσσον, ἀναλαβόντες αὐτὸν ἤλθομεν εἰς
15 Μιτυλήνην· κἀκεῖθεν ἀποπλεύσαντες, [c]τῇ ἐπιούσῃ
κατηντήσαμεν **ἀντικρὺ**[8] Χίου· τῇ δὲ **ἑτέρᾳ**[9] παρεβά-
λομεν εἰς Σάμον· **καὶ μείναντες ἐν Τρωγυλλίῳ**,* **τῇ**
16 **ἐχομένῃ**[10] ἤλθομεν εἰς [d]Μίλητον. **ἔκρινε**[11] γὰρ ὁ Παῦ-
λος παραπλεῦσαι τὴν [e]Ἔφεσον, ὅπως μὴ γένηται
αὐτῷ χρονοτριβῆσαι ἐν τῇ [f]Ἀσίᾳ· ἔσπευδε γάρ, εἰ
δυνατὸν **ἦν**[12] αὐτῷ, τὴν ἡμέραν [g]τῆς Πεντηκοστῆς
[h]γενέσθαι εἰς **Ἱεροσόλυμα**[13].
17 Ἀπὸ δὲ τῆς [d]Μιλήτου πέμψας εἰς [e]Ἔφεσον, μετε-
18 καλέσατο [i]τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας. ὡς δὲ
παρεγένοντο πρὸς αὐτόν[14], εἶπεν αὐτοῖς, “Ὑμεῖς
ἐπίστασθε, [k]ἀπὸ πρώτης ἡμέρας ἀφ' ἧς [l]ἐπέβην εἰς
τὴν Ἀσίαν, πῶς μεθ' ὑμῶν τὸν πάντα χρόνον ἐγενό-
19 μην, [m]δουλεύων τῷ Κυρίῳ μετὰ πάσης ταπεινοφροσύ-
νης καὶ **πολλῶν**[15] δακρύων καὶ πειρασμῶν, τῶν συμ-
20 βάντων μοι ἐν [n]ταῖς ἐπιβουλαῖς τῶν Ἰουδαίων· ὡς
οὐδὲν [o]ὑπεστειλάμην τῶν συμφερόντων, τοῦ μὴ ἀναγ-
γεῖλαι ὑμῖν καὶ διδάξαι ὑμᾶς δημοσίᾳ καὶ κατ'
21 οἴκους, [p]διαμαρτυρόμενος Ἰουδαίοις τε καὶ Ἕλλησι
τὴν εἰς **τὸν**[16] Θεὸν [q]μετάνοιαν, καὶ [q]πίστιν [r]**τὴν**[17] εἰς
22 τὸν Κύριον ἡμῶν Ἰησοῦν **Χριστόν**[18]. καὶ νῦν ἰδοὺ
ἐγὼ δεδεμένος[19] τῷ πνεύματι, [h]πορεύομαι εἰς Ἱερουσα-
23 λήμ[20], τὰ ἐν αὐτῇ συναντήσοντά **μοι**[21] μὴ εἰδώς, πλὴν

[a] ver. 7.
[b] Vid. cap. 4. 36.
[c] cap. 21. 26. Luc. 13. 33.
[d] ver. 17. 2 Tim. 4. 20.
[e] ver. 17. Vid. cap. 18. 19.
[f] ver. 4.
[g] Vid. cap. 2. 1.
[h] ver. 22. Cf. cap. 19. 21. ver. 6. 1 Cor. 16. 8.
[i] Vid. cap. 11. 30. Cf. ver. 28. 1 Tim. 4. 14.
[k] cap. 18. 19; 19. 1, 10.
[l] cap. 21. 4 (var. lect.); 25. 1.
[m] Rom. 12. 11.
[n] ver. 3.
[o] ver. 27. Heb. 10. 38. Cf. Jer. 42. 4.
[p] ver. 23, 24. Vid. Luc. 16. 28.
[q] Marc. 1. 15. Vid. cap. 2. 38.
[r] cap. 24. 24; 26. 18. Col. 2. 5. Philem. 5.

[1] [καὶ] WH. [2] + τὸν LTTrWHR. [3] ἄχρι TTrWH. [4] προσελθόντες TrWH *marg.* [5] ἐπὶ LTTrWHR. [6] διατεταγμένος ἦν LTTrWH. [7] συνέβαλλεν LTTrWHR. [8] ἄντικρυς LTWH, ἀντικρὺς Tr. [9] ἑσπέρᾳ WH *marg.* [10] τῇ δὲ ἐχομένῃ LTTr.WH *text.* (*non marg.*) R (*non marg.*). [11] κεκρίκει LTTrWHR. [12] εἴη LTTrWHR. [13] Ἱερουσαλήμ T, Ἱεροσόλυμα WH. [14] + ὁμοῦ ὄντων αὐτῶν L. [15] — πολλῶν LTTrWHR. [16] — τὸν TTrWH. [17] — τὴν LTTrWHR. [18] — Χριστόν L[Tr]WH (*non marg.*) R *marg.* [19] δεδεμένος ἐγὼ LTTrWH. [20] Ἱερουσαλήμ WH. [21] ἐμοὶ TWH. * Τρωγυλίῳ WH.

ὅτι [a]τὸ Πνεῦμα τὸ Ἅγιον κατὰ πόλιν [b]διαμαρτύρεταί[1]
λέγον [c]ὅτι δεσμά **με καὶ θλίψεις**[2] μένουσιν. ἀλλ' 24
οὐδενὸς **λόγον**[3] **ποιοῦμαι, οὐδὲ ἔχω**[4] [d]τὴν ψυχήν **μου**[5]
τιμίαν ἐμαυτῷ, ὡς [e]**τελειῶσαι**[6] τὸν δρόμον μου **μετὰ
χαρᾶς**[7], καὶ τὴν [f]διακονίαν [g]ἣν ἔλαβον παρὰ τοῦ
Κυρίου Ἰησοῦ, [b]διαμαρτύρασθαι τὸ εὐαγγέλιον [h]τῆς
χάριτος τοῦ Θεοῦ. καὶ νῦν ἰδοὺ [i]ἐγὼ οἶδα, ὅτι οὐκ 25
ἔτι[8] ὄψεσθε τὸ πρόσωπόν μου ὑμεῖς πάντες, ἐν οἷς
διῆλθον [k]κηρύσσων τὴν βασιλείαν **τοῦ Θεοῦ**[9]. **διὸ**[10] 26
μαρτύρομαι ὑμῖν ἐν τῇ σήμερον ἡμέρᾳ, ὅτι [l]καθαρὸς
ἐγὼ[11] ἀπὸ τοῦ αἵματος πάντων· οὐ γὰρ [m]ὑπεστειλά- 27
μην τοῦ μὴ ἀναγγεῖλαι **ὑμῖν**[12] πᾶσαν [n]τὴν βουλὴν τοῦ
Θεοῦ. [o]προσέχετε **οὖν**[13] ἑαυτοῖς καὶ παντὶ [p]τῷ ποιμνίῳ, 28
ἐν ᾧ ὑμᾶς τὸ Πνεῦμα τὸ Ἅγιον ἔθετο [q]ἐπισκόπους,
[r]ποιμαίνειν [s]τὴν ἐκκλησίαν **τοῦ Θεοῦ**[14], ἣν [t]περιεποιή-
σατο [u]διὰ τοῦ **ἰδίου αἵματος**[15]. [i]ἐγὼ **γὰρ**[16] οἶδα **τοῦτο**[17], 29
ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου [x]λύκοι βαρεῖς
εἰς ὑμᾶς, μὴ φειδόμενοι [p]τοῦ ποιμνίου· καὶ [y]ἐξ ὑμῶν 30
αὐτῶν[18] ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμ-
μένα, τοῦ ἀποσπᾷν [z]τοὺς μαθητὰς ὀπίσω **αὐτῶν**[19]. διὸ 31
[a]γρηγορεῖτε, μνημονεύοντες ὅτι [b]τριετίαν [c]νύκτα καὶ
ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα
ἕκαστον. καὶ τανῦν[20] [d]παρατίθεμαι ὑμᾶς, **ἀδελφοί**[21], 32
τῷ **Θεῷ**[22] καὶ [e]τῷ λόγῳ [h]τῆς χάριτος αὐτοῦ, τῷ δυνα-
μένῳ [f]**ἐποικοδομῆσαι**[23] καὶ δοῦναι **ὑμῖν**[24, 25] κληρονομίαν
ἐν τοῖς ἡγιασμένοις πᾶσιν. ἀργυρίου ἢ χρυσίου ἢ 33
ἱματισμοῦ **οὐδενὸς**[26] ἐπεθύμησα· αὐτοὶ **δὲ**[27] γινώσκετε 34
ὅτι [g]ταῖς χρείαις μου καὶ [h]τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέ-
τησαν αἱ χεῖρες αὗται. πάντα[28] ὑπέδειξα ὑμῖν, ὅτι 35
οὕτω κοπιῶντας δεῖ [i]ἀντιλαμβάνεσθαι τῶν ἀσθενούν-

[1] + μοι LTTrWHR. [2] καὶ θλίψεις με LTTrWH. [3] λόγου TTrWHR. [4] —οὐδὲ ἔχω TTrWHR, *at* ἔχω οὐδὲ ποιοῦμαι L. [5] —μου LTTrWHR. [6] τελειώσω WH *text.* (*non marg.*). [7] —μετὰ χαρᾶς LTTrWHR. [8] οὐκέτι BELTTrWH. [9] —τοῦ Θεοῦ LTTrWHR. [10] διότι TTr *marg.* WHR. [11] εἰμι LTTrWHR. [12] ὑμῖν *transferunt* L (*non marg.*) TTrWH *ad finem versûs.* [13] —οὖν TTr[L]WHR, [14] κυρίου LTTr (*non marg.*) R *marg.* (WH *dub.*). [15] αἵματος τοῦ ἰδίου LTTrWHR (*Ap.* †, WH *marg.*). [16] —γὰρ LTTrWHR. [17] —τοῦτο LTTrWHR. [18] [αὐτῶν] WH. [19] ἑαυτῶν TTr (*non marg.*) WH. [20] τὰ νῦν LTTrWH. [21] —ἀδελφοί LTTrWHR. [22] κυρίῳ WH (*non marg.*) R *marg.* [23] οἰκοδομῆσαι LTTrWHR. [24] —ὑμῖν LTTrWHR. [25] + τὴν TTrWHR. [26] οὐθενὸς T. [27] —δὲ LTTrWHR. [28] αὗται πάντα· L.

[a] Vid. cap. 9. 16. [b] ver. 21, 24. [c] cap. 21. 13. [d] Vid. Luc. 14. 26. [e] 2 Tim. 4. 7. Cf. cap. 13. 25. [f] Vid. cap. 1. 17. [g] cap. 26. 16. Gal. 1. 1. Tit. 1. 3. [h] Cf. ver. 32. [i] ver. 29. Cf. Phil. 1. 25. [k] cap. 28. 31. [l] cap. 18. 6. [m] Vid. ver. 20. Cf. Jer. 26. 2. [n] Vid. cap. 13. 36. [o] Vid. cap. 5. 35. [p] ver. 29. Luc. 12. 32. 1 Pet. 5. 2, 3. [q] Phil. 1. 1. 1 Tim. 3. 2. Tit. 1. 7. 1 Pet. 2. 25. [r] Vid. Joan. 21. 16. [s] 1 Cor. 10. 32; 11. 22; 15. 9. 2 Cor. 1. 1. Gal. 1. 13. 1 Tim. 3. 5, 15. [t] 1 Tim. 3. 13. Vid. Luc. 17. 33 (var. lect.). [u] Heb. 9. 12, 14. Cf. 1 Cor. 6. 20. Eph. 1. 7. 1 Pet. 1. 19. Rev. 1. 5; 5. 9. [x] Vid. Matt. 7. 15. [y] Cf. 1 Cor. 11. 19. 2 Cor. 11. 13. 1 Tim. 1. 19, 20. 1 Joan. 2. 18, 19. Rev. 2. 2. [z] ver. 1. cap. 19. 9. [a] Vid. Matt. 24. 42. [b] Cf. cap. 19. 8, 10; 24. 17. [c] cap. 26. 7. Vid. Marc. 4. 27. [d] cap. 14. 23. [e] cap. 14. 3. [f] Vid. cap. 9. 31. [g] Vid. cap. 18. 3. [h] Cf. cap. 19. 29. [i] 1 Thess. 5. 14.

των, μνημονεύειν τε τῶν λόγων τοῦ Κυρίου Ἰησοῦ,
ὅτι αὐτὸς εἶπε, 'Μακάριόν ἐστι **διδόναι μᾶλλον**[1] ἢ
36 λαμβάνειν.'" Καὶ ταῦτα εἰπών, [a]θεὶς τὰ γόνατα
37 αὐτοῦ,*σὺν πᾶσιν αὐτοῖς προσηύξατο. Ἱκανὸς δὲ
ἐγένετο κλαυθμὸς[2] πάντων· καὶ [b]ἐπιπεσόντες ἐπὶ τὸν
38 τράχηλον τοῦ Παύλου, [c]κατεφίλουν αὐτόν· ὀδυνώ-
μενοι μάλιστα ἐπὶ τῷ λόγῳ ᾧ εἰρήκει, [d]ὅτι οὐκέτι
μέλλουσι τὸ πρόσωπον αὐτοῦ θεωρεῖν. [e]προέπεμπον
δὲ αὐτὸν εἰς τὸ πλοῖον.

21 ὩΣ δὲ ἐγένετο ἀναχθῆναι ἡμᾶς [f]**ἀποσπασθέντας**[3]
ἀπ' αὐτῶν, [g]εὐθυδρομήσαντες ἤλθομεν εἰς τὴν **Κῶν**[4],
2 τῇ δὲ ἑξῆς εἰς **τὴν**[5] Ῥόδον, κἀκεῖθεν εἰς Πάταρα[6]. καὶ
εὑρόντες πλοῖον διαπερῶν εἰς Φοινίκην, [h]ἐπιβάντες
3 ἀνήχθημεν. **ἀναφάναντες**[7] δὲ τὴν [i]Κύπρον, καὶ κατα-
λιπόντες αὐτὴν εὐώνυμον, ἐπλέομεν εἰς [k]Συρίαν, καὶ
κατήχθημεν[8] εἰς [l]Τύρον· [m]ἐκεῖσε γὰρ **ἦν τὸ πλοῖον**[9]
4 ἀποφορτιζόμενον τὸν γόμον. **καὶ ἀνευρόντες**[10] τοὺς
μαθητάς, ἐπεμείναμεν **αὐτοῦ**[11] ἡμέρας ἑπτά· οἵτινες
τῷ Παύλῳ ἔλεγον [n]διὰ τοῦ πνεύματος, μὴ [o]**ἀναβαίνειν**[12]
5 εἰς **Ἱερουσαλήμ**[13]. ὅτε δὲ ἐγένετο **ἡμᾶς ἐξαρτίσαι**[14] τὰς
ἡμέρας, ἐξελθόντες ἐπορευόμεθα, [e]προπεμπόντων ἡμᾶς
πάντων σὺν γυναιξὶ καὶ τέκνοις ἕως ἔξω τῆς πόλεως,
καὶ [a]θέντες τὰ γόνατα ἐπὶ τὸν αἰγιαλὸν **προσηυξάμεθα.**
6 **καὶ ἀσπασάμενοι**[15] ἀλλήλους,[16] **ἐπέβημεν**[17] εἰς τὸ
7 πλοῖον, ἐκεῖνοι δὲ ὑπέστρεψαν [p]εἰς τὰ ἴδια. Ἡμεῖς
δὲ τὸν πλοῦν διανύσαντες ἀπὸ [l]Τύρου κατηντήσαμεν
εἰς Πτολεμαΐδα, καὶ ἀσπασάμενοι [q]τοὺς ἀδελφοὺς
8 ἐμείναμεν ἡμέραν μίαν παρ' αὐτοῖς. τῇ δὲ ἐπαύριον
ἐξελθόντες **οἱ περὶ τὸν Παῦλον**[18] **ἦλθον**[19] εἰς [r]**Καισά-
ρειαν**[20]· καὶ εἰσελθόντες εἰς τὸν οἶκον [s]Φιλίππου [t]τοῦ
εὐαγγελιστοῦ, [s]**τοῦ**[21] ὄντος ἐκ τῶν ἑπτά, ἐμείναμεν

[a] cap. 21. 5. Vid. Luc. 22. 41.
[b] Vid. Luc. 15. 20.
[c] Vid. Matt. 26. 49.
[d] ver. 25.
[e] cap. 21. 5. Vid. cap. 15. 3.
[f] Luc. 22. 41.
[g] cap. 16. 11.
[h] Cf. cap. 11. 19; 15. 3.
[i] ver. 16. Vid. cap. 4. 36.
[k] Vid. cap. 15. 23.
[l] ver. 7. cap. 12. 20.
[m] ver. 2.
[n] ver. 11. Vid. cap. 11. 16.
[o] (var. lect.) cap. 20. 18; 25. 1.
[p] Joan. 19. 27.
[q] ver. 17.
[r] ver. 16. Vid. cap. 8. 40.
[s] cap. 6. 5; 8. 5.
[t] Eph. 4. 11. 2 Tim. 4. 5.

[1] μᾶλλον διδόναι LTTrWHR. [2] κλαυθμὸς ἐγένετο LTTrWH. [3] , ἀποσπασθέντες WH *marg.* [4] Κῶ LTTrWHR. [5] —τὴν L. [6] + καὶ Μύρα WH *marg.* [7] ἀναφανέντες BELTr. [8] κατήλθομεν LTTrWHR. [9] τὸ πλοῖον ἦν LTTrWH. [10] ἀνευρόντες δὲ LTTrWHR. [11] αὐτοῖς L. [12] ἐπιβαίνειν LTTrWHR. [13] Ἱεροσόλυμα LTTr, Ἰεροσόλυμα WH. [14] ἐξαρτίσαι ἡμᾶς LTr WH (*non marg.*). [15] προσευξάμενοι ἀπησπασάμεθα LTTrWHR. [16] + καὶ LTTrWHR. [17] ἐνέβημεν LTrWHR, ἀνέβημεν T. [18] —οἱ περὶ τὸν Παῦλον LTTrWHR. [19] ἤλθομεν ELTR, ἤλθαμεν TrWH. [20] Καισαρίαν TWH. [21] —τοῦ LTTrWHR.
* —, LTTrWH.

παρ' αὐτῷ. τούτῳ δὲ ἦσαν θυγατέρες **παρθένοι τέσ-** 9
σαρες[1] [a]προφητεύουσαι. ἐπιμενόντων δὲ **ἡμῶν**[2] ἡμέ- 10 Λ'.
ρας πλείους κατῆλθέ τις ἀπὸ τῆς Ἰουδαίας προφή-
της ὀνόματι [b]Ἄγαβος· καὶ ἐλθὼν πρὸς ἡμᾶς, καὶ 11
[c]ἄρας τὴν ζώνην τοῦ Παύλου, δήσας **τε**[3] **αὐτοῦ τὰς**
χεῖρας καὶ τοὺς πόδας[4] εἶπε, "Τάδε λέγει [d]τὸ Πνεῦμα
τὸ Ἅγιον, 'Τὸν ἄνδρα οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτω δή-
σουσιν ἐν Ἱερουσαλὴμ[5] οἱ Ἰουδαῖοι, καὶ [e]παραδώσου-
σιν εἰς χεῖρας ἐθνῶν.'" Ὡς δὲ ἠκούσαμεν ταῦτα, 12
παρεκαλοῦμεν ἡμεῖς τε καὶ οἱ ἐντόπιοι, τοῦ [f]μὴ ἀνα-
βαίνειν αὐτὸν εἰς Ἱερουσαλήμ[5]. [6]ἀπεκρίθη **δὲ**[7] **ὁ**[8] 13
Παῦλος[9], "Τί ποιεῖτε κλαίοντες καὶ συνθρύπτοντές
μου τὴν καρδίαν; ἐγὼ γὰρ [g]οὐ μόνον δεθῆναι, ἀλλὰ
καὶ ἀποθανεῖν εἰς Ἱερουσαλὴμ[5] ἑτοίμως ἔχω [h]ὑπὲρ τοῦ
ὀνόματος τοῦ Κυρίου Ἰησοῦ." Μὴ πειθομένου δὲ 14
αὐτοῦ, [i]ἡσυχάσαμεν εἰπόντες, [k]"**Τὸ θέλημα τοῦ Κυρίου**
γενέσθω[10]."

Μετὰ δὲ τὰς ἡμέρας ταύτας **ἀποσκευασάμενοι**[11] 15 ΛΑ'.
[l]ἀνεβαίνομεν εἰς **Ἱερουσαλήμ**[12]. συνῆλθον δὲ καὶ [l]τῶν 16
μαθητῶν ἀπὸ [m]**Καισαρείας**[13] σὺν ἡμῖν, ἄγοντες παρ' ᾧ
ξενισθῶμεν, Μνάσωνί τινι Κυπρίῳ, [n]ἀρχαίῳ μαθητῇ.
ΓΕΝΟΜΕΝΩΝ δὲ ἡμῶν εἰς Ἱεροσόλυμα[14], ἀσμέ- 17
νως [o]**ἐδέξαντο**[15] ἡμᾶς [p]οἱ ἀδελφοί. τῇ **δὲ**[16] ἐπιούσῃ εἰσῄει 18
ὁ Παῦλος σὺν ἡμῖν πρὸς [q]Ἰάκωβον, πάντες τε παρε-
γένοντο [r]οἱ πρεσβύτεροι. καὶ ἀσπασάμενος αὐτούς, 19
[s]ἐξηγεῖτο καθ' ἓν ἕκαστον ὧν ἐποίησεν ὁ Θεὸς ἐν τοῖς
ἔθνεσι διὰ τῆς [t]διακονίας αὐτοῦ. οἱ δὲ ἀκούσαντες 20
[u]ἐδόξαζον τὸν **Κύριον**[17]· **εἰπόν τε**[18] αὐτῷ, "Θεωρεῖς,
[x]ἀδελφέ, πόσαι μυριάδες εἰσὶν **Ἰουδαίων**[19] τῶν πεπισ-
τευκότων· καὶ πάντες [y]ζηλωταὶ τοῦ νόμου ὑπάρ-
χουσι. [z]κατηχήθησαν δὲ περὶ σοῦ, ὅτι ἀποστασίαν 21
διδάσκεις ἀπὸ **Μωσέως**[20] τοὺς κατὰ τὰ ἔθνη **πάντας**[21]

[a] Cf. Luc. 2. 36. cap. 2. 17, 18. 1 Cor. 11. 5. Vid. cap. 13. 1.
[b] cap. 11. 27, 28.
[c] Cf. Jer. 13. 1—11; 27. 2.
[d] ver. 4.
[e] Cf. Matt. 20. 19.
[f] ver. 15. cap. 18. 22.
[g] cap. 20. 23.
[h] cap. 9. 16.
[i] Ruth 1. 18. cap. 11. 18.
[k] Vid. Matt. 6. 10.
[l] (Constructio) Vid. cap. 19. 33.
[m] ver. 8.
[n] Cf. cap. 15. 7.
[o] cap. 15. 4 (var. lect.). Vid. cap. 2. 41.
[p] ver. 7.
[q] Vid. cap. 12. 17.
[r] Vid. cap. 11. 30.
[s] Vid. cap. 14. 27.
[t] Vid. cap. 1. 17.
[u] (var. lect.) cap. 11. 18. Vid. Matt. 9. 8.
[x] cap. 9. 17. Philem. 20. 2 Pet. 3. 15. Cf. Gal. 2. 9.
[y] cap. 22. 3. Gal. 1. 14. Cf. Rom. 10. 2.
[z] ver. 24. Vid. Luc. 1. 4.

[1] τέσσαρες παρθένοι LTTrWHR. [2] —ἡμῶν LTTrWHR. [3] —τε LTTrWHR, —τε αὐτοῦ B. [4] ἑαυτοῦ τοὺς πόδας καὶ τὰς χεῖρας LTTrWHR. [5] Ἰερουσαλὴμ WH. [6] + τότε LTTrWHR. [7] —δὲ LTTrWHR. [8] [ὁ] WH. [9] + καὶ εἶπεν T. [10] Τοῦ κυρίου τὸ θέλημα γινέσθω LTTrWH. [11] ἐπισκευασάμενοι LTTr WHR. [12] Ἱεροσόλυμα LTTr, Ἰεροσόλυμα WH. [13] Καισαρίας TWH. [14] Ἰεροσόλυμα WH. [15] ἀπεδέξαντο LTTrWHR. [16] τε T. [17] Θεόν LTTrWHR. [18] εἰπόντες L, εἶπάν τε TTrWH. [19] ἐν τοῖς Ἰουδαίοις LTrWHR, —Ἰουδαίων T. [20] Μωυσέως LT(-ϋ-)TrWH. [21] —πάντας L[Tr].

Ἰουδαίους, λέγων μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα,
22 μηδὲ [a]τοῖς ἔθεσι περιπατεῖν. [b]τί οὖν ἐστί; πάντως
δεῖ πλῆθος συνελθεῖν[1]· ἀκούσονται **γὰρ**[1] ὅτι ἐλήλυθας.
23 τοῦτο οὖν ποίησον ὅ σοι λέγομεν· εἰσὶν ἡμῖν ἄνδρες
24 τέσσαρες [c]εὐχὴν ἔχοντες **ἐφ'**[2] ἑαυτῶν· τούτους παρα-
λαβὼν [d]ἁγνίσθητι σὺν αὐτοῖς, καὶ δαπάνησον ἐπ'
αὐτοῖς, ἵνα **ξυρήσωνται**[3] τὴν κεφαλήν, καὶ **γνῶσι**[4]
πάντες ὅτι ὧν [e]κατήχηνται περὶ σοῦ οὐδέν ἐστιν,
25 ἀλλὰ στοιχεῖς καὶ αὐτὸς **τὸν νόμον φυλάσσων**[5]. περὶ
δὲ τῶν πεπιστευκότων ἐθνῶν [f]ἡμεῖς **ἐπεστείλαμεν**[6],
κρίναντες **μηδὲν τοιοῦτον τηρεῖν αὐτούς, εἰ μὴ**[7] φυλάσ-
σεσθαι αὐτοὺς τό τε εἰδωλόθυτον καὶ **τὸ**[8] αἷμα καὶ
ΑΒʹ. 26 πνικτὸν καὶ πορνείαν." Τότε ὁ Παῦλος παραλαβὼν
τοὺς ἄνδρας,*[g]τῇ ἐχομένῃ ἡμέρᾳ[9] σὺν αὐτοῖς [d]ἁγνισθεὶς
[h]εἰσῄει εἰς τὸ ἱερόν, [h]διαγγέλλων [i]τὴν ἐκπλήρωσιν τῶν
ἡμερῶν τοῦ ἁγνισμοῦ, ἕως οὗ προσηνέχθη ὑπὲρ ἑνὸς
27 ἑκάστου αὐτῶν ἡ προσφορά. ὡς δὲ ἔμελλον [i]αἱ ἑπτὰ
ἡμέραι [k]συντελεῖσθαι, οἱ ἀπὸ τῆς [l]Ἀσίας Ἰουδαῖοι
[m]θεασάμενοι αὐτὸν ἐν τῷ ἱερῷ, [n]**συνέχεον**[10] πάντα τὸν
28 ὄχλον, καὶ **ἐπέβαλον**[11] **τὰς χεῖρας ἐπ' αὐτόν**[12], κράζον-
τες, "[n]Ἄνδρες **Ἰσραηλῖται**[13], βοηθεῖτε. οὗτός ἐστιν
ὁ ἄνθρωπος ὁ κατὰ τοῦ λαοῦ καὶ [o]τοῦ νόμου καὶ [o]τοῦ
τόπου τούτου πάντας **πανταχοῦ**[14] διδάσκων· ἔτι τε
καὶ Ἕλληνας εἰσήγαγεν εἰς τὸ ἱερόν, καὶ [p]κεκοίνωκε
29 τὸν ἅγιον τόπον τοῦτον." Ἦσαν γὰρ προεωρακότες
[q]Τρόφιμον τὸν [r]Ἐφέσιον ἐν τῇ πόλει σὺν αὐτῷ, ὃν
30 ἐνόμιζον ὅτι εἰς τὸ ἱερὸν εἰσήγαγεν ὁ Παῦλος. ἐκι-
νήθη τε ἡ πόλις ὅλη, καὶ ἐγένετο συνδρομὴ τοῦ
λαοῦ· καὶ [s]ἐπιλαβόμενοι τοῦ Παύλου, [t]εἷλκον αὐτὸν
ἔξω τοῦ ἱεροῦ· καὶ εὐθέως ἐκλείσθησαν αἱ θύραι.
31 ζητούντων **δὲ**[15] αὐτὸν ἀποκτεῖναι, ἀνέβη φάσις [u]τῷ
χιλιάρχῳ τῆς [x]σπείρης, ὅτι ὅλη [n]**συγκέχυται**[16] Ἱερου-

[a] Vid. cap. 6. 14.
[b] 1 Cor. 14. 15, 26.
[c] Cf. cap. 18. 18.
[d] ver. 26. cap. 24. 18. Cf. Joan. 11. 55.
[e] ver. 21.
[f] cap. 15. 29.
[g] Vid. cap. 20. 15.
[h] Num. 6. 10—13.
[i] Num. 6. 9.
[k] Cf. cap. 2. 1.
[l] Vid. cap. 2. 9.
[m] cap. 24. 18; 26. 21.
[n] ver. 31. cap. 19. 29, 32.
[o] Vid. cap. 6. 13.
[p] cap. 24. 6. Vid. Matt. 24. 15. Cf. Joan. 11. 48.
[q] cap. 20. 4.
[r] Vid. cap. 18. 19.
[s] cap. 26. 21.
[t] cap. 16. 19. Cf. 2 Reg. 11. 15.
[u] ver. 33, 37. Marc. 6. 21. Joan. 18. 12. cap. 22. 24; 23. 10; 24. 22.
[x] Vid. Matt. 27. 27.

[1] δεῖ συνελθεῖν πλῆθος LT, *at* —δεῖ πλῆθος συνελθεῖν *et* —γὰρ TrWHR. [2] ἀφ' WH (*non marg.*). [3] ξυρήσονται TTrWHR. [4] γνώσονται LTTrWHR. [5] φυλάσσων τὸν νόμον LTTrWH. [6] ἀπεστείλαμεν LTr (*non marg.*) WH (*non marg.*) R *marg.* [7] —μηδὲν *usque ad* εἰ μὴ LTTrWHR. [8] —τὸ LTTrWHR. [9] τοὺς ἄνδρας τῇ ἐχ. ἡμ., R *marg.* [10] συνέχεαν L. [11] ἐπέβαλαν TTrWH. [12] ἐπ' αὐτὸν τὰς χεῖρας LTTrWH. [13] Ἰσραηλεῖται TWH. [14] πανταχῇ LTrWH, πανταχῆ T. [15] τε LTTrWHR. [16] συγχύννεται LTr, συνχύννεται TWH, συγχύνεται R. * – , LTTrWH.

σαλήμ[1]· [a]ὃς ἐξαυτῆς **παραλαβὼν**[2] στρατιώτας καὶ 32
ἑκατοντάρχους[3], κατέδραμεν ἐπ' αὐτούς. οἱ δὲ ἰδόν-
τες τὸν χιλίαρχον καὶ τοὺς στρατιώτας, ἐπαύσαντο
τύπτοντες τὸν Παῦλον. τότε ἐγγίσας [h]ὁ χιλίαρχος 33
περὶ τὴν πίστιν [x]ἠστόχησαν. [y]Ἡ χάρις μετὰ σοῦ[10].
ἀμήν[11].

Πρὸς Τιμόθεον πρώτη ἐγράφη ἀπὸ Λαοδικείας, ἥτις ἐστὶ μητρόπολις Φρυγίας τῆς Πακατιανῆς.[12]

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΟΣ

ΤΙΜΟΘΕΟΝ

ΕΠΙΣΤΟΛΗ ΔΕΥΤΕΡΑ[13].

---

1 ΠΑΥΛΟΣ [z]ἀπόστολος Ἰησοῦ Χριστοῦ[14] [a]διὰ θελή-
ματος Θεοῦ [b]κατ' ἐπαγγελίαν [b]ζωῆς τῆς ἐν Χριστῷ
2 Ἰησοῦ, [q]Τιμοθέῳ [c]ἀγαπητῷ τέκνῳ· [d]χάρις, ἔλεος, [d]εἰ-

[a] Vid. 2 Thess. 2. 8. [b] Vid. cap. 2. 6. [c] cap. 1. 11. [d] cap. 1. 17. Rev. 17. 14; 19. 16. [e] Cf. Job 37. 23. [f] Vid. Joan. 1. 18. [g] Cf. 1 Pet. 4. 11. [h] 2 Tim. 4. 10. Tit. 2. 12. [i] Vid. Rom. 11. 20. [k] Marc. 10. 24. Cf. Prov. 23. 5. Vid. ver. 9. [l] Act. 14. 17. [m] Gal. 6. 6. Cf. cap. 5. 10. Vid. 2 Cor. 8. 10. [n] Vid. Rom. 12. 13. [o] Cf. Matt. 6. 20. Luc. 12. 21. [p] ver. 12. [q] Vid. Act. 16. 1. [r] (var. lect.) 2 Tim. 1. 12, 14 (var. lect.). Cf. cap. 1. 18. [s] Cf. Col. 2. 8. [t] 2 Tim. 2. 16. [u] Vid. cap. 1. 9. [x] Vid. cap. 1. 6. [y] Vid. Col. 4. 18. [z] Vid. 2 Cor. 1. 1. [a] Vid. 1 Cor. 1. 1. [b] Gal. 3. 29. Cf. Heb. 9. 15. [c] 1 Cor. 4. 17. Cf. cap. 2. 1. [d] 1 Tim. 1. 2. Vid. Rom. 1. 7.

[1] ὑψηλὰ φρονεῖν TWH *marg.* [2] ἠλπικένει L *errore.* [3] ἐπὶ LTTrWHR. [4] —τῷ TTrWH (*non marg.*) R. [5] —τῷ ζῶντι LTTrWHR. [6] + τὰ L. [7] πάντα πλουσίως LTTrWHR. [8] ὄντως LTTrWHR. [9] παραθήκην LTTrWHR. [10] μεθ' ὑμῶν LTTr (*non marg.*) WHR. [11] —ἀμήν LTTrWHR. [12] + Ἐν στίχοις σλ S: *deest subscriptio in* LTWHR, ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Α Tr. [13] —Παύλου τοῦ ἀποστόλου S: Πρὸς Τιμόθεον Β *tantum* LTTrWH. [14] Χριστοῦ Ἰησοῦ TTrWHR.

ρήνη ἀπὸ Θεοῦ πατρὸς καὶ **Χριστοῦ Ἰησοῦ**[1] τοῦ Κυ-
ρίου ἡμῶν.
[a]Χάριν ἔχω τῷ Θεῷ, [b]ᾧ λατρεύω ἀπὸ προγόνων [c]ἐν 3 Α΄.
καθαρᾷ συνειδήσει, [d]ὡς ἀδιάλειπτον ἔχω τὴν περὶ
σοῦ μνείαν ἐν ταῖς δεήσεσί μου[2] [e]νυκτὸς καὶ ἡμέρας,
[f]ἐπιποθῶν σε ἰδεῖν, [g]μεμνημένος σου τῶν δακρύων, 4
ἵνα χαρᾶς πληρωθῶ·[3] ὑπόμνησιν **λαμβάνων**[4] τῆς ἐν 5
σοὶ [h]ἀνυποκρίτου πίστεως, ἥτις ἐνῴκησε πρῶτον ἐν
[i]τῇ μάμμῃ σου Λωΐδι[5] καὶ τῇ μητρί σου **Εὐνείκῃ**[6],
πέπεισμαι δὲ ὅτι καὶ ἐν σοί. Δι᾽ ἣν αἰτίαν ἀναμιμ- 6
νήσκω σε [k]ἀναζωπυρεῖν τὸ χάρισμα τοῦ Θεοῦ, ὅ
ἐστιν ἐν σοὶ [l]διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν μου· [m]οὐ 7
γὰρ ἔδωκεν ἡμῖν ὁ Θεὸς [n]πνεῦμα δειλίας, ἀλλὰ [o]δυνά-
μεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ. [p]μὴ οὖν ἐπαι- 8
σχυνθῇς [q]τὸ μαρτύριον τοῦ Κυρίου ἡμῶν, μηδὲ ἐμὲ
[r]τὸν δέσμιον αὐτοῦ· ἀλλὰ [s][7]συγκακοπάθησον τῷ εὐ-
αγγελίῳ κατὰ δύναμιν Θεοῦ, [t]τοῦ σώσαντος ἡμᾶς 9
καὶ [u]καλέσαντος κλήσει ἁγίᾳ, [x]οὐ κατὰ τὰ ἔργα ἡμῶν,
ἀλλὰ κατ᾽[8] ἰδίαν [y]πρόθεσιν καὶ [m]χάριν τὴν δοθεῖσαν
ἡμῖν ἐν Χριστῷ Ἰησοῦ [z]πρὸ χρόνων αἰωνίων, [a]φανε- 10
ρωθεῖσαν δὲ νῦν διὰ [b]τῆς ἐπιφανείας τοῦ σωτῆρος
ἡμῶν **Ἰησοῦ Χριστοῦ**[9], [c]καταργήσαντος μὲν τὸν θά-
νατον, φωτίσαντος δὲ ζωὴν καὶ [d]ἀφθαρσίαν διὰ τοῦ
εὐαγγελίου, [e]εἰς ὃ ἐτέθην ἐγὼ κήρυξ[10] καὶ ἀπόστολος 11
καὶ [f]διδάσκαλος **ἐθνῶν**[11]· δι᾽ ἣν αἰτίαν καὶ ταῦτα 12
πάσχω, ἀλλ᾽ [p]οὐκ ἐπαισχύνομαι· οἶδα γὰρ ᾧ πεπί-
στευκα, καὶ πέπεισμαι ὅτι δυνατός ἐστι τὴν [g]παρα-
θήκην[12] μου φυλάξαι εἰς [h]ἐκείνην τὴν ἡμέραν. [i]ὑποτύ- 13
πωσιν ἔχε [k]ὑγιαινόντων λόγων, ὧν παρ᾽ ἐμοῦ ἤκουσας,
ἐν [l]πίστει καὶ [l]ἀγάπῃ τῇ ἐν Χριστῷ Ἰησοῦ. τὴν κα- 14
λὴν [g]**παρακαταθήκην**[13] φύλαξον διὰ Πνεύματος Ἁγίου
[m]τοῦ ἐνοικοῦντος ἐν ἡμῖν. Οἶδας τοῦτο, ὅτι [n]ἀπεστρά- 15 Β΄.
φησάν με [o]πάντες οἱ ἐν τῇ [p]Ἀσίᾳ, ὧν ἐστι **Φύγελλος**[14]

[1] *κυρίου* Ἰησοῦ *χριστοῦ* Tr *marg.* WH *marg.* [2] , *νυκτὸς καὶ ἡμέρας cum sequentibus* LTrWHR. [3] *om.* · WH. [4] *λαβὼν* LTTrWHR. [5] Λωίδι WH. [6] Εὐνίκῃ ELTTrWH. [7] *συν-* TWH. [8] *κατὰ* LTTrWH. [9] Χριστοῦ Ἰησοῦ L (*non marg.*) TTr (*non marg.*) WHR. [10] *κῆρυξ* LWH. [11] —*ἐθνῶν* TWHR. [12] *παρακαταθήκην* E 1633. [13] *παραθήκην* LTTrWHR. [14] Φύγελος LTTrWHR.

[a] Rom. 1. 8. [b] Act. 24. 14. [c] Cf. Act. 23. 1. 1 Tim. 3. 9. [d] 1 Thess. 3. 9. Vid. Rom. 1. 9. [e] Vid. Marc. 5. 5. [f] Phil. 1. 8. Cf. cap. 4. 9, 21. [g] Act. 20. 37. [h] 1 Tim. 1. 5. [i] Vid. Act. 16. 1. Cf. cap. 3. 15. Ps. 86. 16; 116. 6. [k] Vid. 1 Thess. 5. 19. [l] 1 Tim. 4. 14. Vid. Act. 6. 6. [m] ver. 9. Vid. Act. 15. 11. [n] Rom. 8. 15. Cf. Joan. 14. 27. Rev. 21. 8. [o] Act. 1. 8. [p] ver. 12, 16. Vid. Marc. 8. 38. [q] 1 Cor. 1. 6. [r] Vid. Eph. 3. 1. Cf. ver. 16. [s] cap. 2. 3, 9; 4. 5. Cf. Col. 1. 24. [t] Cf. 1 Tim. 1. 1. [u] Heb. 3. 1. Vid. Rom. 11. 29. [x] Eph. 2. 9. Cf. Act. 13. 39. [y] Rom. 8. 28. [z] Tit. 1. 2. Cf. 1 Cor. 2. 7. Eph. 1. 4. Vid. Rom. 16. 25. [a] Rom. 16. 26. [b] cap. 4. 1, 8. Vid. 2 Thess. 2. 8. [c] 1 Cor. 15. 26. Heb. 2. 14, 15. Cf. 1 Cor. 15. 54, 55. Job 33. 30. [d] Vid. Rom. 2. 7. [e] 1 Tim. 2. 7. [f] Vid. Act. 9. 15. [g] ver. 14 (var. lect.). 1 Tim. 6. 20. [h] ver. 18. cap. 4. 8. Vid. 1 Cor. 3. 13. [i] 1 Tim. 1. 16. Cf. Rom. 2. 20; 6. 17. [k] 1 Tim. 6. 3. [l] Vid. 1 Tim. 1. 14. [m] Vid. Rom. 8. 9. [n] cap. 4. 10, 11, 16. [o] Act. 19. 10. [p] Vid. Act. 2. 9.

16 καὶ Ἑρμογένης[1]. Δῴη ἔλεος ὁ Κύριος [a]τῷ Ὀνησι-
φόρου οἴκῳ· ὅτι πολλάκις [b]με ἀνέψυξε, καὶ [c]τὴν
17 ἅλυσίν μου [d]οὐκ **ἐπῃσχύνθη**[2], ἀλλὰ γενόμενος ἐν
18 Ῥώμῃ, [e]**σπουδαιότερον**[3] ἐζήτησέ με καὶ εὗρε· δῴη
αὐτῷ ὁ Κύριος εὑρεῖν ἔλεος παρὰ Κυρίου [f]ἐν ἐκείνῃ
τῇ ἡμέρᾳ. καὶ [g]ὅσα ἐν Ἐφέσῳ [h]διηκόνησε, [i]βέλτιον
σὺ γινώσκεις.
2 ΣΥ οὖν, [k]τέκνον μου, [l]ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ
2 ἐν Χριστῷ Ἰησοῦ· καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ
πολλῶν μαρτύρων, ταῦτα [m]παράθου πιστοῖς ἀνθρώ-
Γ'. 3 ποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. **σὺ**
οὖν [n]**κακοπάθησον**[4], [mo]ὡς καλὸς στρατιώτης **Ἰησοῦ Χρισ-**
4 **τοῦ**[5]. [m]οὐδεὶς [n]στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ
βίου **πραγματείαις**[6], ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ.
5 [p]ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ [q]στεφανοῦται ἐὰν μὴ νομί-
6 μως ἀθλήσῃ. [r]τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν
7 καρπῶν μεταλαμβάνειν. νόει **ἃ**[7] λέγω· **δῴη**[8] γάρ
8 σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι. Μνημόνευε Ἰησοῦν
Χριστὸν [s]ἐγηγερμένον ἐκ νεκρῶν, [t]ἐκ σπέρματος
9 **Δαβίδ**[9], [u]κατὰ τὸ εὐαγγέλιόν μου· ἐν ᾧ κακοπαθῶ
μέχρι δεσμῶν, ὡς κακοῦργος· [x]**ἀλλ'**[10] ὁ λόγος τοῦ
10 Θεοῦ οὐ δέδεται. [y]διὰ τοῦτο πάντα ὑπομένω διὰ
[z]τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ [a]σωτηρίας τύχωσι τῆς
Δ'. 11 ἐν Χριστῷ Ἰησοῦ, [b]μετὰ δόξης αἰωνίου. [c]Πιστὸς
12 ὁ λόγος· [d]**εἰ**[11] γὰρ συναπεθάνομεν, καὶ [12]**συζήσομεν**· [e]εἰ
ὑπομένομεν, καὶ [ef12]**συμβασιλεύσομεν**· εἰ [g]**ἀρνούμεθα**[13],
13 κἀκεῖνος ἀρνήσεται ἡμᾶς· εἰ [h]ἀπιστοῦμεν, [i]ἐκεῖνος
πιστὸς μένει· [k]ἀρνήσασθαι[14] ἑαυτὸν οὐ δύναται.
14 Ταῦτα [l]ὑπομίμνησκε, [m]διαμαρτυρόμενος ἐνώπιον τοῦ
Κυρίου[15] μὴ [n]**λογομαχεῖν**[16] [o]**εἰς**[17] οὐδὲν χρήσιμον, ἐπὶ [p]κα-
15 ταστροφῇ τῶν ἀκουόντων. σπούδασον σεαυτὸν [q]δόκι-
μον παραστῆσαι τῷ Θεῷ, ἐργάτην ἀνεπαίσχυντον,

[1] Ἑρμογένης T. [2] ἐπαισχύνθη LTTrWH. [3] σπουδαίως LTTrWHR. [4] συγκακοπάθησον (συνκ. TWH) LTTrWHR. [5] Χριστοῦ Ἰησοῦ LTTrWHR. [6] πραγματίαις TWH. [7] ὃ LTTrWHR. [8] δώσει LTTrWHR. [9] Δαυείδ LTTrWH. [10] ἀλλὰ LTTrWH. [11] Εἰ R (*non marg.*). [12] συν- T (TrWH *ver.* 11). [13] ἀρνησόμεθα LTTrWHR. [14] + γὰρ LTTrWHR. [15] θεοῦ L *marg.* TTr (*non marg.*) WH (*non marg.*) R *marg.* [16] . μὴ λογομάχει L. [17] ἐπ' LTTrWHR.

[a] cap. 4. 19. [b] Matt. 25. 36. [c] ver. 8. [d] Cf. Act. 21. 33. [e] Vid. Luc. 7. 4. [f] ver. 12. [g] 1 Tim. 1. 3. [h] Heb. 6. 10. [i] Cf. Act. 25. 10. [k] cap. 1. 2. [l] Vid. Eph. 6. 10. [m] 1 Tim. 1. 18. [n] ver. 9. cap. 1. 8; 4. 5. [o] Vid. 1 Cor. 9. 7. [p] 1 Cor. 9. 25. [q] cap. 4. 8. [r] Cf. 1 Cor. 9. 10. Heb. 6. 7. [s] 1 Cor. 15. 20. [t] Matt. 1. 1. [u] Rom. 2. 16. Cf. 1 Cor. 15. 1. [x] Cf. Phil. 1. 13. Cf. cap. 4. 17. [y] Cf. 2 Cor. 12. 15. Cf. Col. 1. 24. [z] Vid. Luc. 18. 7. [a] 2 Cor. 1. 6. [b] 1 Pet. 5. 10. [c] Vid. 1 Tim. 1. 15. [d] Rom. 6. 8. 1 Thess. 5. 10. [e] Cf. Matt. 5. 10. Rom. 8. 17. Cf. 2 Thess. 1. 4. [f] Luc. 22. 29. Rev. 1. 9; 22. 5. [g] Matt. 10. 33. [h] Vid. Marc. 16. 16. Cf. Rom. 3. 3. [i] 1 Cor. 1. 9. [k] Num. 23. 19. Cf. Tit. 1. 2. [l] Tit. 3. 1. 2 Pet. 1. 12. [m] 1 Tim. 5. 21. cap. 4. 1. Vid. Luc. 16. 28. [n] Cf. 1 Tim. 6. 4. [o] Cf. Tit. 3. 9. [p] 2 Pet. 2. 6. [q] Jac. 1. 12.

[a]ὀρθοτομοῦντα [b]τὸν λόγον τῆς ἀληθείας. Τὰς δὲ [c]βε- 16
βήλους κενοφωνίας [d]περιΐστασο[1]· ἐπὶ πλεῖον γὰρ
[e]προκόψουσιν ἀσεβείας, καὶ ὁ λόγος αὐτῶν ὡς γάγ- 17
γραινα νομὴν ἕξει· ὧν ἐστιν [f]Ὑμέναιος καὶ Φιλητός[2],
οἵτινες περὶ τὴν ἀλήθειαν [g]ἠστόχησαν, λέγοντες [h]τὴν[3] 18
ἀνάστασιν ἤδη γεγονέναι, καὶ ἀνατρέπουσι τήν τινων
πίστιν. ὁ μέντοι στερεὸς [i]θεμέλιος τοῦ Θεοῦ ἕστηκεν, 19
ἔχων [k]τὴν σφραγῖδα ταύτην, [l]"Ἔγνω Κύριος τοὺς
ὄντας αὐτοῦ," καί, "Ἀποστήτω ἀπὸ ἀδικίας πᾶς ὁ
ὀνομάζων τὸ ὄνομα Χριστοῦ[4]." [m]ἐν μεγάλῃ δὲ οἰκίᾳ 20
οὐκ ἔστι μόνον σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, ἀλλὰ καὶ
ξύλινα καὶ [n]ὀστράκινα, καὶ [o]ἃ μὲν εἰς τιμήν, [o]ἃ δὲ εἰς
ἀτιμίαν. ἐὰν οὖν τις ἐκκαθάρῃ ἑαυτὸν ἀπὸ τούτων, 21
ἔσται σκεῦος εἰς τιμήν, ἡγιασμένον, καὶ[5] [p]εὔχρηστον
τῷ δεσπότῃ, εἰς πᾶν [q]ἔργον ἀγαθὸν ἡτοιμασμένον.
[r]Τὰς δὲ νεωτερικὰς ἐπιθυμίας [s]φεῦγε· δίωκε [tu]δὲ δικαιο- 22 Ε΄.
σύνην, πίστιν, [t]ἀγάπην, [tu]εἰρήνην, μετὰ[6] [x]τῶν ἐπικα-
λουμένων τὸν Κύριον[7] [y]ἐκ καθαρᾶς καρδίας. Τὰς δὲ 23
μωρὰς καὶ ἀπαιδεύτους [z]ζητήσεις [a]παραιτοῦ, εἰδὼς ὅτι
γεννῶσι μάχας· δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, 24
ἀλλ'[8] [b]ἤπιον εἶναι πρὸς πάντας, [c]διδακτικόν, ἀνεξίκα-
κον, [d]ἐν πρᾳότητι[9] παιδεύοντα τοὺς ἀντιδιατιθεμένους· 25
[e]μήποτε δῷ[10] αὐτοῖς ὁ Θεὸς μετάνοιαν [f]εἰς ἐπίγνωσιν
ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου πα- 26
γίδος, [g]ἐζωγρημένοι ὑπ' αὐτοῦ εἰς[11] τὸ ἐκείνου θέλημα.
ΤΟΥΤΟ δὲ γίνωσκε[12], ὅτι [h]ἐν ἐσχάταις ἡμέραις 3 ϛ΄.
ἐνστήσονται καιροὶ χαλεποί. ἔσονται γὰρ οἱ ἄνθρω- 2
ποι [i]φίλαυτοι, [k]φιλάργυροι, [l]ἀλαζόνες, [l]ὑπερήφανοι,
[m]βλάσφημοι, [n]γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, [n]ἀνόσιοι,
[l]ἄστοργοι, [l]ἄσπονδοι, [o]διάβολοι, ἀκρατεῖς, ἀνήμεροι, 3
ἀφιλάγαθοι, προδόται, [p]προπετεῖς, [q]τετυφωμένοι, φιλ- 4
ήδονοι μᾶλλον ἢ φιλόθεοι, [r]ἔχοντες [s]μόρφωσιν [t]εὐσε- 5
βείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι. [u]καὶ τούτους
ἀποτρέπου. [x]ἐκ τούτων γάρ εἰσιν [x]οἱ ἐνδύνοντες εἰς 6

[1] περιίστασο WH. [2] Φίλητος WH. [3] —τὴν TTr ([τὴν] Tr *marg.*) WH (*non marg.*) R *marg.* [4] κυρίου LTTrWHR. [5] —καὶ LTTrWHR. [6] + πάντων L[Tr *marg.*]WH *marg.* [7] Χριστὸν B *errore.* [8] ἀλλὰ LTTrWH. [9] πραΰτητι LTTrWH. [10] δώῃ LWH *marg.*, δῴη TTrWH *text.* R. [11] ὑπ' αὐτοῦ, εἰς R *marg.* [12] γινώσκετε L (*non marg.*).

[a] Prov. 3. 6 (Septuagint.). Cf. Rom. 12. 7. [b] Vid. Eph. 1. 13. Cf. 1 Tim. 6. 20. [c] Vid. 1 Tim. 1. 9. [d] Tit. 3. 9. [e] cap. 3. 9, 13. [f] 1 Tim. 1. 20. [g] Vid. 1 Tim. 1. 6. [h] Vid. 1 Cor. 15. 12. [i] Rev. 21. 14. Vid. 1 Cor. 3. 10. [k] Zech. 3. 9. [l] Joan. 10. 14, 27. Cf. Joan. 8. 14. 1 Cor. 8. 3. [m] 1 Tim. 3. 15. [n] 2 Cor. 4. 7. [o] Rom. 9. 21. Cf. Prov. 25. 4. [p] cap. 4. 11. Philem. 11. Cf. cap. 3. 17. [q] Vid. Act. 9. 36. [r] Cf. 1 Tim. 4. 12. [s] 1 Tim. 6. 11. [t] Vid. 1 Tim. 1. 14. [u] Vid. Rom. 14. 19. [x] Vid. Act. 7. 59. [y] 1 Tim. 1. 5. [z] 1 Tim. 6. 4. [a] 1 Tim. 4. 7; 5. 11. Tit. 3. 10. [b] 1 Thess. 2. 7 (var. lect.). [c] 1 Tim. 3. 2. [d] Tit. 3. 2. Cf. Gal. 6. 1. 1 Pet. 3. 15. [e] Cf. Act. 8. 22. [f] cap. 3. 7. Vid. 1 Tim. 2. 4. [g] Luc. 5. 10. [h] 1 Tim. 4. 1. cap. 4. 3. 1 Joan. 2. 18. [i] Cf. Phil. 2. 21. [k] Luc. 16. 14. Cf. 1 Tim. 6. 10. [l] Rom. 1. 30, 31. [m] 1 Tim. 1. 13. [n] 1 Tim. 1. 9. [o] 1 Tim. 3. 11. [p] Act. 19. 36. [q] Vid. 1 Tim. 3. 6. [r] Vid. Matt. 7. 15. [s] Rom. 2. 20. [t] Vid. 1 Tim. 3. 16. [u] Cf. 2 Thess. 3. 6. [x] Cf. Tit. 1. 11.

τὰς οἰκίας, καὶ **αἰχμαλωτεύοντες τὰ**[1] γυναικάρια [a]σεσω-
ρευμένα ἁμαρτίαις, [a]ἀγόμενα ἐπιθυμίαις ποικίλαις,
7 πάντοτε μανθάνοντα, καὶ μηδέποτε [b]εἰς ἐπίγνωσιν
8 ἀληθείας ἐλθεῖν δυνάμενα. ὃν τρόπον δὲ [c]Ἰαννῆς καὶ
Ἰαμβρῆς [d]ἀντέστησαν Μωϋσεῖ[2], οὕτω[3] καὶ οὗτοι ἀν-
θίστανται τῇ ἀληθείᾳ, ἄνθρωποι [e]κατεφθαρμένοι τὸν
9 νοῦν, [f]ἀδόκιμοι περὶ τὴν πίστιν. ἀλλ᾽ οὐ [g]προκόψ-
ουσιν ἐπὶ πλεῖον· ἡ γὰρ [h]ἄνοια αὐτῶν ἔκδηλος
Ζ′. 10 ἔσται πᾶσιν, [i]ὡς καὶ ἡ ἐκείνων ἐγένετο. Σὺ δὲ
[k]**παρηκολούθηκάς**[4] μου τῇ [l]διδασκαλίᾳ, τῇ ἀγωγῇ, τῇ
[m]προθέσει, τῇ [n]πίστει, τῇ [o]μακροθυμίᾳ, τῇ [n]ἀγάπῃ, τῇ
11 [o]ὑπομονῇ, τοῖς [p]διωγμοῖς, τοῖς παθήμασιν, [p]οἷά μοι
ἐγένετο ἐν [q]Ἀντιοχείᾳ, ἐν [r]Ἰκονίῳ, ἐν [s]**Λύστροις**·
[t]οἵους διωγμοὺς ὑπήνεγκα, καὶ [u]ἐκ πάντων με **ἐρρύ-**
12 **σατο**[5] ὁ Κύριος. [x]Καὶ πάντες δὲ οἱ θέλοντες [y]**εὐσεβῶς**
13 **ζῆν**[6] ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται· πονηροὶ δὲ
ἄνθρωποι καὶ γόητες [g]προκόψουσιν ἐπὶ τὸ χεῖρον,
14 πλανῶντες καὶ [z]πλανώμενοι. [a]Σὺ δὲ μένε ἐν οἷς ἔμα-
15 θες καὶ ἐπιστώθης, εἰδὼς παρὰ **τίνος**[7] ἔμαθες, καὶ ὅτι
[b]ἀπὸ βρέφους [c]**τὰ**[8] ἱερὰ γράμματα οἶδας, [d]τὰ δυνάμενά
σε σοφίσαι εἰς σωτηρίαν, [e]διὰ πίστεως τῆς ἐν Χρισ-
16 τῷ Ἰησοῦ. πᾶσα γραφὴ [f]θεόπνευστος[9] καὶ ὠφέλιμος
πρὸς [g]διδασκαλίαν, πρὸς [h]**ἔλεγχον**[10], πρὸς ἐπανόρθωσιν,
17 πρὸς **παιδείαν**[11] τὴν ἐν δικαιοσύνῃ· ἵνα ἄρτιος ᾖ [i]ὁ τοῦ
Θεοῦ ἄνθρωπος, [k]πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος.
4 ΔΙΑΜΑΡΤΥΡΟΜΑΙ[12] **οὖν ἐγὼ**[13] [l]ἐνώπιον τοῦ Θεοῦ,
καὶ **τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ**[14], τοῦ μέλλοντος [m]**κρί-**
νειν[15] ζῶντας καὶ νεκροὺς **κατὰ**[16] [n]τὴν ἐπιφάνειαν αὐ-
2 τοῦ καὶ τὴν βασιλείαν αὐτοῦ,[17] κήρυξον τὸν λόγον,
ἐπίστηθι [o]εὐκαίρως ἀκαίρως, [p]ἔλεγξον, [q]**ἐπιτίμησον**,
[r]**παρακάλεσον**[18], ἐν πάσῃ μακροθυμίᾳ καὶ [r]διδαχῇ.
Η′. 3 ἔσται γὰρ καιρὸς ὅτε [s]τῆς ὑγιαινούσης διδασκαλίας
οὐκ [t]ἀνέξονται, [u]ἀλλὰ [a]**κατὰ τὰς ἐπιθυμίας τὰς ἰδίας**[19]

[1] *αἰχμαλωτίζοντες* (—*τὰ*) LTTrWHR. [2] Μωυσεῖ LWH. [3] οὕτως SBELTTrWH. [4] *παρηκολούθησάς* LTTrWH (*non marg.*) R. [5] *ἐρύσατο* L (*non marg.*) TTrWH. [6] *ζῆν εὐσεβῶς* TTrWH. [7] *τίνων* LTTrWHR. [8] —*τὰ* T[LTr]WHR. [9] *θεόπνευστος*, R *marg.* [10] *ἐλεγμόν* LTTrWHR. [11] *παιδίαν* T. [12] *Δια-μαρτύρομαι*, R *marg.* [13] —*οὖν ἐγώ* LTTrWHR. [14] *Χριστοῦ Ἰησοῦ* (—*τοῦ Κυρίου*) LTTrWHR. [15] *κρῖναι* WH *marg.* [16] , *καὶ* LTTrWHR. [17] · *pro* , BEWHR *marg.* [18] *παρακάλεσον, ἐπι-τίμησον*, TWH *marg.* [19] *ἰδίας ἐπιθυμίας* LTTrWH.

[a] Cf. cap. 4. 3. [b] cap. 2. 25. Vid. 1 Tim. 2. 4. [c] Ex. 7. 11. [d] Act. 13. 8. [e] 1 Tim. 6. 5. [f] Tit. 1. 16. Vid. 1 Cor. 9. 27. [g] ver. 13. cap. 2. 16. [h] Luc. 6. 11. [i] Ex. 7. 12; 8. 18; 9. 11. Cf. Wisd. 17. 7. [k] Vid. Marc. 16. 17. [l] ver. 16. Vid. 1 Tim. 4. 6. [m] Act. 11. 23. [n] 1 Tim. 1. 14. Cf. Phil. 2. 20, 22. [o] Col. 1. 11. Tit. 2. 2. [p] Marc. 10. 30. [q] Vid. Act. 13. 14. [r] Act. 13. 51. [s] Act. 14. 6, 19. [t] Cf. 2 Cor. 12. 10. [u] Ps. 34. 19. cap. 4. 17. 2 Cor. 1. 10. [x] Vid. Act. 14. 22. Cf. Joan. 15. 20. [y] Tit. 2. 12. [z] Tit. 3. 3. [a] 1 Tim. 4. 6. [b] Cf. Eph. 6. 4. cap. 1. 5. Vid. Act. 16. 1. [c] Vid. Joan. 5. 47. [d] Ps. 119. 99. [e] Rom. 3. 22. [f] Cf. 2 Pet. 1. 20, 21.

[g] Rom. 15. 4. [h] Heb. 11. 1. [i] 1 Tim. 6. 11. [k] Cf. cap. 2. 21. [l] 1 Tim. 5. 21. Vid. cap. 2. 14. [m] Vid. Act. 10. 42. [n] ver. 8. Vid. cap. 1. 10. [o] Marc. 14. 11. [p] Vid. 1 Tim. 5. 20. [q] Luc. 17. 3. [r] Tit. 1. 9. [s] Vid. 1 Tim. 1. 10. Vid. 1 Tim. 4. 6. [t] Matt. 17. 17. [u] Vid. cap. 3. 1.

ἑαυτοῖς ἐπισωρεύσουσι διδασκάλους, κνηθόμενοι τὴν
ἀκοήν· καὶ ἀπὸ μὲν τῆς ἀληθείας τὴν ἀκοὴν ἀπο- 4
στρέψουσιν, ἐπὶ δὲ τοὺς [a]μύθους [b]ἐκτραπήσονται. Σὺ 5
δὲ [c]νῆφε ἐν πᾶσι, [d]κακοπάθησον, ἔργον ποίησον [e]εὐαγ-
γελιστοῦ, τὴν διακονίαν σου [f]πληροφόρησον. Ἐγὼ 6 Θ'.
γὰρ ἤδη [g]σπένδομαι, καὶ ὁ καιρὸς τῆς ἐμῆς [h]**ἀναλύσεως**[1]
ἐφέστηκε. [i]τὸν **ἀγῶνα τὸν καλὸν**[2] ἠγώνισμαι, [k]τὸν 7
δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπόν, 8
[l]ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης [m]στέφανος, ὃν ἀπο-
δώσει μοι ὁ Κύριος ἐν [n]ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος
κριτής· οὐ μόνον δὲ ἐμοί, ἀλλὰ καὶ πᾶσι τοῖς ἠγα-
πηκόσι τὴν [o]ἐπιφάνειαν αὐτοῦ.

[p]Σπούδασον ἐλθεῖν πρός με ταχέως. [q]Δημᾶς γάρ 9, 10
με [r]**ἐγκατέλιπεν**[3], [s]ἀγαπήσας [t]τὸν νῦν αἰῶνα, καὶ ἐπο-
ρεύθη εἰς [u]Θεσσαλονίκην· Κρήσκης εἰς [x]**Γαλατίαν**[4],
[y]Τίτος εἰς **Δαλματίαν**[5]· [q]Λουκᾶς ἐστὶ [r]μόνος μετ' ἐμοῦ. 11
[z]Μάρκον ἀναλαβὼν ἄγε μετὰ σεαυτοῦ· ἔστι γάρ
μοι [a]εὔχρηστος εἰς διακονίαν. [b]Τυχικὸν[6] δὲ ἀπέστειλα 12
εἰς [c]Ἔφεσον. Τὸν **φαιλόνην**[7] ὃν **ἀπέλιπον**[8] ἐν [d]Τρω- 13
άδι[9] παρὰ Κάρπῳ, ἐρχόμενος φέρε, καὶ τὰ βιβλία,
μάλιστα τὰς μεμβράνας. [e]Ἀλέξανδρος ὁ [f]χαλκεὺς 14
πολλά μοι κακὰ ἐνεδείξατο· [g]**ἀποδῴη**[10] αὐτῷ ὁ Κύριος
κατὰ τὰ ἔργα αὐτοῦ· ὃν καὶ σὺ φυλάσσου, λίαν 15
γὰρ **ἀνθέστηκε**[11] τοῖς ἡμετέροις λόγοις. Ἐν τῇ πρώτῃ 16
μου [h]ἀπολογίᾳ οὐδείς μοι **συμπαρεγένετο**[12], ἀλλὰ [r]πάν-
τες με **ἐγκατέλιπον**[13]· [i]μὴ αὐτοῖς λογισθείη· ὁ δὲ 17
Κύριός μοι [k]παρέστη, καὶ [l]ἐνεδυνάμωσέ με, ἵνα δι'
ἐμοῦ [m]τὸ κήρυγμα [f]πληροφορηθῇ, καὶ **ἀκούσῃ**[14] πάντα
[n]τὰ ἔθνη· καὶ [o]**ἐρρύσθην**[15] [p]ἐκ στόματος λέοντος. **καὶ**[16] 18
[pq]ῥύσεταί με ὁ Κύριος ἀπὸ παντὸς ἔργου πονηροῦ,
καὶ σώσει εἰς τὴν βασιλείαν αὐτοῦ τὴν ἐπουράνιον·
[r]ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

[1] *ἀναλύσεώς μου* LTTrWH. [2] *καλὸν ἀγῶνα* LTTrWH. [3] *ἐγκατέλειπεν* WH (*non marg.*). [4] *Γαλλίαν* TTr *marg.* [5] *Δελματίαν* L. [6] *Τύχικον* WH. [7] *φελόνην* BELTTrWH. [8] *ἀπέλειπον* WH (*non marg.*). [9] *Τρωάδι* LTWH. [10] *ἀποδώσει* LTTrWHR. [11] *ἀντέστη* LTTrWHR. [12] *παρεγένετο* LTTrWHR. [13] *ἐγκατέλειπον* WH (*non marg.*). [14] *ἀκούσωσιν* LTTrWH. [15] *ἐρύσθην* LTTrWH. [16] *—καί* LTTrWHR.

[a] Vid. 1 Tim. 1. 4. [b] Vid. 1 Tim. 1. 6. [c] Vid. 1 Pet. 1. 13. [d] Vid. cap. 1. 8. [e] Vid. Act. 21. 8. [f] ver. 17. Vid. Luc. 1. 1. [g] Phil. 2. 17. [h] Cf. Phil. 1. 23. Cf. 2 Pet. 1. 14. [i] 1 Tim. 6. 12. [k] Vid. Act. 20. 24. [l] Col. 1. 5. [m] cap. 2. 5. Jac. 1. 12. [n] cap. 1. 12. [o] Vid. ver. 1. [p] ver. 21. Tit. 3. 12. Cf. cap. 1. 4. [q] Col. 4. 14. Philem. 24. ver. 11. [r] ver. 11, 16. cap. 1. 15. [s] 1 Joan. 2. 15. [t] 1 Tim. 6. 17. Cf. Matt. 13. 22. [u] Vid. Act. 17. 1. [x] Vid. Act. 16. 6. [y] Vid. 2 Cor. 2. 13. [z] Vid. Act. 12. 12. Cf. Col. 4. 10. [a] cap. 2. 21. [b] Vid. Act. 20. 4. [c] Vid. Act. 18. 19. [d] Act. 16. 8; 20. 6. [e] Act. 19. 33? 1 Tim. 1. 20. [f] Gen. 4. 22 (Septuagint.). [g] 2 Sam. 3. 39. Cf. Neh. 6. 14. Ps. 28. 4. Rev. 18. 6. [h] Vid. 2 Cor. 7. 11. [i] Cf. Act. 7. 60. [k] Act. 23. 11; 27. 23. [l] Vid. 1 Tim. 1. 12. [m] Vid. 1 Cor. 1. 21. [n] Vid. Act. 9. 15. [o] cap. 3. 11. Cf. cap. 2. 9. [p] Ps. 22. 21. Cf. 1 Sam. 17. 37. [q] Ps. 121. 7. [r] Vid. Phil. 4. 20.

19 [a]Ἄσπασαι [a]Πρίσκαν καὶ [a]Ἀκύλαν, καὶ [b]τὸν Ὀνησι-
20 φόρου οἶκον. [c]Ἔραστος ἔμεινεν ἐν [d]Κορίνθῳ· [e]Τρό-
21 φιμον δὲ ἀπέλιπον[1] ἐν [f]Μιλήτῳ ἀσθενοῦντα. [g]Σπού-
δασον πρὸ χειμῶνος ἐλθεῖν.
Ἀσπάζεταί σε Εὔβουλος, καὶ Πούδης, καὶ Λῖνος[2],
22 καὶ Κλαυδία, καὶ οἱ ἀδελφοὶ πάντες[3]. [h]ὁ Κύριος
Ἰησοῦς[4] Χριστὸς[5] μετὰ τοῦ πνεύματός σου. [i]ἡ χάρις
μεθ' ὑμῶν. ἀμήν[6].

Πρὸς Τιμόθεον δευτέρα, τῆς Ἐφεσίων ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντα, ἐγράφη ἀπὸ Ῥώμης, ὅτε ἐκ δευτέρου παρέστη Παῦλος τῷ Καίσαρι Νέρωνι.[7]

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΟΣ

ΤΙΤΟΝ ΕΠΙΣΤΟΛΗ[8].

---

1 ΠΑΥΛΟΣ [k]δοῦλος Θεοῦ, [l]ἀπόστολος δὲ Ἰησοῦ
Χριστοῦ[9], κατὰ πίστιν [m]ἐκλεκτῶν Θεοῦ καὶ [n]ἐπίγνω-
2 σιν ἀληθείας τῆς κατ' [o]εὐσέβειαν, [p]ἐπ' ἐλπίδι ζωῆς αἰω-
νίου, ἣν ἐπηγγείλατο [q]ὁ ἀψευδὴς Θεὸς [r]πρὸ χρόνων
3 αἰωνίων, ἐφανέρωσε δὲ [s]καιροῖς ἰδίοις τὸν λόγον
αὐτοῦ, ἐν [t]κηρύγματι [u]ὃ ἐπιστεύθην ἐγὼ [x]κατ' ἐπιταγὴν
4 [y]τοῦ σωτῆρος ἡμῶν Θεοῦ, [z]Τίτῳ [a]γνησίῳ τέκνῳ κατὰ
κοινὴν πίστιν, [bc]χάρις, [b]ἔλεος[10], [bc]εἰρήνη ἀπὸ Θεοῦ πα-
τρός, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ[11] τοῦ σωτῆρος ἡμῶν.
Δ'. 5 [d]Τούτου χάριν κατέλιπόν[12] σε ἐν [e]Κρήτῃ, ἵνα [f]τὰ
λείποντα ἐπιδιορθώσῃ[13], καὶ καταστήσῃς κατὰ πόλιν
6 [g]πρεσβυτέρους, ὡς ἐγώ σοι [h]διεταξάμην·[14] [i]εἴ τίς ἐστιν

[1] ἀπέλειπον WH (*non marg.*). [2] Λίνος LTWH. [3] [πάντες] WH. [4] –Ἰησοῦς TTrWH (*non marg.*) R. [5] –Χριστὸς LTTrWHR. [6] –ἀμήν LTTrWHR. [7] + Ἐν στίχοις ροβ' S: *deest subscriptio in* LTWHR, ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Β Tr. [8] Ἡ πρὸς Τίτον ἐπιστολὴ Παύλου S: Πρὸς Τίτον *tantum* LTTrWH. [9] Χριστοῦ [Ἰησοῦ] WH *marg.* [10] καὶ TTrWHR. [11] Χριστοῦ Ἰησοῦ (–Κυρίου) LTTrWHR. [12] ἀπέλιπόν LTTrWH *marg.* R, *at* ἀπέλειπόν WH *text.* [13] ἐπιδιορθώσῃς L. [14] διεταξάμην, LTWH.

[a] Vid. Act. 18. 2.
[b] cap. 1. 16.
[c] Vid. Act. 19. 22.
[d] Vid. Act. 18. 1.
[e] Vid. Act. 20. 4.
[f] Act. 20. 15, 17.
[g] ver. 9.
[h] Gal. 6. 18. Philem. 25.
[i] Vid. Col. 4. 18.
[k] Jac. 1. 1.
[l] Vid. 2 Cor. 1. 1.
[m] Cf. Luc. 18. 7. Vid. Rom. 8. 33.
[n] Vid. 1 Tim. 2. 4.
[o] Vid. 1 Tim. 3. 16.
[p] cap. 3. 7. Cf. cap. 2. 13. Col. 1. 5. Heb. 6. 18.
[q] 2 Tim. 2. 13.
[r] Vid. 2 Tim. 1. 9.
[s] Vid. 1 Tim. 2. 6.
[t] Vid. 1 Cor. 1. 21. Cf. Rom. 10. 14.
[u] 1 Tim. 1. 11. Vid. Gal. 2. 7.
[x] 1 Tim. 1. 1. Cf. Rom. 16. 26.
[y] cap. 2. 10; 3. 4. Vid. Luc. 1. 47.
[z] Vid. 2 Cor. 2. 13.
[a] Vid. Phil. 4. 3.
[b] Vid. 1 Tim. 1. 2 (var. lect.).
[c] Rom. 1. 7.
[d] Cf. 1 Tim. 1. 3.
[e] ver. 12. Vid. Act. 2. 11.
[f] Luc. 18. 22. cap. 3. 13.
[g] Vid. Act. 11. 30.
[h] Vid. 1 Cor. 7. 17.
[i] ver. 6–8, 1 Tim. 3. 2–4.

[a]ἀνέγκλητος, [b]μιᾶς γυναικὸς ἀνήρ, τέκνα ἔχων πιστά,
μὴ ἐν κατηγορίᾳ [c]ἀσωτίας, ἢ [d]ἀνυπότακτα. δεῖ γὰρ 7
τὸν [e]ἐπίσκοπον [a]ἀνέγκλητον εἶναι, ὡς Θεοῦ [f]οἰκονόμον·
μὴ [g]αὐθάδη, μὴ ὀργίλον, μὴ πάροινον, μὴ πλήκτην,
μὴ [h]αἰσχροκερδῆ, ἀλλὰ φιλόξενον, [i]φιλάγαθον, σώ- 8
φρονα, δίκαιον, ὅσιον, ἐγκρατῆ, ἀντεχόμενον τοῦ 9
κατὰ τὴν [k]διδαχὴν [l]πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ
παρακαλεῖν ἐν [m]τῇ [n]διδασκαλίᾳ τῇ ὑγιαινούσῃ, καὶ
τοὺς ἀντιλέγοντας [o]ἐλέγχειν. Εἰσὶ γὰρ πολλοὶ καὶ[1] 10 B'.
[d]ἀνυπότακτοι, [p]ματαιολόγοι καὶ [q]φρεναπάται, μάλιστα[2]
[r]οἱ ἐκ[3] περιτομῆς, οὓς δεῖ ἐπιστομίζειν· οἵτινες [s]ὅλους 11
οἴκους ἀνατρέπουσι, διδάσκοντες ἃ μὴ δεῖ, [t]αἰσχροῦ
κέρδους χάριν· εἶπέ [u]τις ἐξ αὐτῶν ἴδιος αὐτῶν προ- 12
φήτης, [x]'Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, [y]γαστέρες
ἀργαί.' ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής· [z]δι' ἣν 13
αἰτίαν ἔλεγχε αὐτοὺς [a]ἀποτόμως, ἵνα ὑγιαίνωσιν ἐν[4]
τῇ πίστει, μὴ προσέχοντες Ἰουδαϊκοῖς [b]μύθοις, καὶ 14
[c]ἐντολαῖς ἀνθρώπων ἀποστρεφομένων τὴν ἀλήθειαν.
[d]πάντα μὲν[5] καθαρὰ τοῖς καθαροῖς· [e]τοῖς δὲ μεμιασμέ- 15
νοις[6] καὶ ἀπίστοις οὐδὲν καθαρόν, ἀλλὰ [f]μεμίανται
αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις. Θεὸν ὁμολο- 16
γοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις [g]ἀρνοῦνται, βδελυκτοὶ
ὄντες καὶ [h]ἀπειθεῖς καὶ πρὸς [i]πᾶν ἔργον ἀγαθὸν [k]ἀδό-
κιμοι.

ΣΥ δὲ λάλει ἃ πρέπει [m]τῇ ὑγιαινούσῃ [n]διδασκαλίᾳ· **2** Γ'.
[l]πρεσβύτας [m]νηφαλίους εἶναι, σεμνούς, [m]σώφρονας, 2
ὑγιαίνοντας [n]τῇ πίστει, [n]τῇ ἀγάπῃ, [n]τῇ ὑπομονῇ· πρεσ- 3
βύτιδας ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖς[7], μὴ
[o]διαβόλους, [o]μὴ[8] οἴνῳ πολλῷ δεδουλωμένας, καλοδι-
δασκάλους, ἵνα σωφρονίζωσι[9] [p]τὰς νέας φιλάνδρους 4
εἶναι, φιλοτέκνους, [m]σώφρονας, ἁγνάς, [p]οἰκουρούς[10], ἀγα- 5
θάς, [q]ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, [p]ἵνα μὴ ὁ
λόγος τοῦ Θεοῦ βλασφημῆται. [q]Τοὺς νεωτέρους ὡσ- 6
αύτως παρακάλει [r]σωφρονεῖν·[11] περὶ πάντα[12] σεαυτὸν 7

[1] –καὶ LTTrWHR. [2] +[δὲ] L. [3] +τῆς TTrWH. [4] [ἐν] WH. [5] –μὲν LTTrWHR. [6] μεμιαμμένοις LTTrWH. [7] ἱεροπρεπεῖ L marg. [8] (om. ,) μηδὲ TTrWH (non marg.) R. [9] σωφρονίζουσιν L marg. TTR. [10] οἰκουργούς LTTrWHR. [11] –· T (, SELTr). [12] +, T.

[a] 1 Tim. 3. 10. [b] Cf. 1 Tim. 3. 4, 5, 12. [c] Vid. Eph. 5. 18. Vid. Luc. 15. 13. [d] ver. 10. 1 Tim. 1. 9. [e] Vid. Act. 20. 28. [f] 1 Pet. 4. 10. [g] 2 Pet. 2. 10. [h] Vid. 1 Tim. 3. 8. [i] Cf. 2 Tim. 3. 3. [k] 2 Tim. 4. 2. [l] Vid. 1 Tim. 1. 15. [m] cap. 2. 1. Vid. 1 Tim. 1. 10. [n] cap. 2. 1, 7, 10. Vid. 1 Tim. 4. 6. [o] Vid. Joan. 16. 8. [p] 1 Tim. 1. 6. [q] Cf. 2 Cor. 11. 13. [r] Vid. Act. 11. 2. [s] Cf. 2 Tim. 3. 6. [t] Cf. 2 Pet. 2 3. [u] Cf. Act. 17. 28. [x] ver. 5. [y] Cf. Phil. 3. 19. [z] cap. 2. 15. Vid. 1 Tim. 5. 20. [a] 2 Cor. 13. 10. [b] Vid. 1 Tim. 1. 4. [c] Cf. Marc. 7. 7. Col. 2. 22. [d] Luc. 11. 41. Vid. Act. 10. 15. [e] Rom. 14. 20. [f] Cf. 1 Tim. 6. 5. [g] 1 Tim. 5. 8. [h] cap. 3. 3. [i] cap. 3. 1. Vid. Act. 9. 36. [k] 2 Tim. 3. 8. Vid. 1 Cor. 9. 27. [l] Luc. 1. 18. Philem. 9. [m] 1 Tim. 3. 2. [n] 2 Tim. 3. 10. Vid. 1 Tim. 1. 14. [o] 1 Tim. 3. 8, 11. Cf. 1 Tim. 2. 9, 15. [p] ver. 8. 1 Tim. 5. 14. [q] 1 Tim. 5. 2. 1 Pet. 5. 5. [r] Rom. 12. 3.

παρεχόμενος [a]τύπον καλῶν ἔργων, ἐν τῇ [b]διδασκαλίᾳ[1]
8 ἀδιαφθορίαν[2], [c]σεμνότητα, ἀφθαρσίαν[3], [d]λόγον ὑγιῆ,
ἀκατάγνωστον, ἵνα [e]ὁ ἐξ ἐναντίας ἐντραπῇ, μηδὲν
Δ'. 9 ἔχων περὶ ὑμῶν λέγειν[4] φαῦλον. [f]Δούλους ἰδίοις δεσπό-
ταις[5] [g]ὑποτάσσεσθαι,* ἐν πᾶσιν† εὐαρέστους εἶναι, μὴ
10 ἀντιλέγοντας, μὴ[6] νοσφιζομένους, ἀλλὰ πίστιν πᾶσαν[7]
ἐνδεικνυμένους ἀγαθήν[8]· ἵνα τὴν [b]διδασκαλίαν[9] [h]τοῦ
σωτῆρος ὑμῶν[10] Θεοῦ κοσμῶσιν ἐν πᾶσιν.
11 [i]Ἐπεφάνη γὰρ [k]ἡ χάρις τοῦ Θεοῦ [l]ἡ[11] σωτήριος
12 πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμε-
νοι τὴν ἀσέβειαν καὶ [m]τὰς κοσμικὰς ἐπιθυμίας, σω-
φρόνως καὶ δικαίως καὶ [n]εὐσεβῶς ζήσωμεν [o]ἐν τῷ νῦν
13 αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν [p]ἐλπίδα καὶ
[q]ἐπιφάνειαν τῆς δόξης [r]τοῦ μεγάλου Θεοῦ καὶ σωτῆ-
14 ρος ἡμῶν[12] Ἰησοῦ Χριστοῦ[13], [s]ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ
ἡμῶν, ἵνα [t]λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας,
καὶ [u]καθαρίσῃ ἑαυτῷ λαὸν [t]περιούσιον, ζηλωτὴν κα-
Ε'. 15 λῶν ἔργων. [x]Ταῦτα λάλει, καὶ παρακάλει, καὶ
[y]ἔλεγχε μετὰ πάσης ἐπιταγῆς. [x]μηδείς σου περι-
φρονείτω.

3 [z]ὙΠΟΜΙΜΝΗΣΚΕ αὐτοὺς [a]ἀρχαῖς καὶ[14] [ab]ἐξουσί-
αις ὑποτάσσεσθαι, πειθαρχεῖν, [c]πρὸς πᾶν ἔργον ἀγα-
2 θὸν ἑτοίμους εἶναι, μηδένα βλασφημεῖν, [d]ἀμάχους εἶναι,
[df]ἐπιεικεῖς, [e]πᾶσαν ἐνδεικνυμένους πρᾳότητα[15] [f]πρὸς
3 πάντας ἀνθρώπους. ἦμεν γάρ [g]ποτε καὶ ἡμεῖς ἀνόητοι,
[h]ἀπειθεῖς, [i]πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ
ἡδοναῖς ποικίλαις, ἐν [k]κακίᾳ καὶ [k]φθόνῳ διάγοντες,
4 στυγητοί, μισοῦντες ἀλλήλους· ὅτε δὲ [l]ἡ χρηστότης
καὶ ἡ φιλανθρωπία [l]ἐπεφάνη [m]τοῦ σωτῆρος ἡμῶν
5 Θεοῦ, [n]οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ὧν[16] ἐποιή-
σαμεν ἡμεῖς, ἀλλὰ [o]κατὰ τὸν[17] αὐτοῦ ἔλεον[17] [p]ἔσωσεν
ἡμᾶς, [q]διὰ λουτροῦ [18]παλιγγενεσίας, καὶ [r]ἀνακαινώσεως

[a] 1 Tim. 4. 12. Vid. 1 Pet. 5. 3. [b] ver. 1, 10. [c] Vid. ver. 2. [d] Vid. 1 Tim. 6. 3. [e] ver. 5. Neh. 5. 9. 1 Pet. 2. 12. [f] 1 Tim. 6. 1. 1 Pet. 2. 18. [g] Act. 5. 2, 3. [h] Vid. cap. 1. 3. [i] cap. 3. 4. [k] Vid. Act. 11. 23. [l] cap. 3. 7. Vid. Act. 15. 11. Cf. Ps. 67. 2. 1 Tim. 2. 4. [m] 1 Pet. 4. 2. [n] 2 Tim. 3. 12. Cf. Luc. 1. 75. Act. 17. 30. [o] Vid. 1 Tim. 6. 17. [p] cap. 1. 2; 3. 7. [q] Vid. 2 Thess. 2. 8. [r] Cf. 2 Pet. 1. 1. [s] 1 Tim. 2. 6. Vid. Matt. 20. 28. [t] Cf. Eph. 1. 14. [u] Vid. Eph. 5. 26. [x] Cf. 1 Tim. 4. 12. [y] Vid. cap. 1. 13. [z] 2 Tim. 2. 14. [a] Luc. 12. 11. [b] Rom. 13. 1. [c] 2 Tim. 2. 21. Vid. cap. 1. 16. [d] 1 Tim. 3. 3. [e] 2 Tim. 2. 25. [f] Vid. Phil. 4. 4. [g] Vid. Rom. 11. 30.

[1] ἔργων ἐν τῇ διδασκαλίᾳ, WH *marg.* [2] ἀφθορίαν LTTrWHR. [3] —ἀφθαρσίαν BELTTrWHR. [4] λέγειν περὶ ἡμῶν LTTrWHR. [5] δεσπόταις ἰδίοις L (*non marg.*). * —, WH. † +, WH. [6] (*om.* ,) μηδὲ WH *marg.* [7] πᾶσαν πίστιν LTTrWH *text.* (—πίστ. WH *marg.*) R. [8] ἀγάπην WH *marg.* [9] + τὴν LTTrWHR. [10] ἡμῶν BELTTrWHR. [11] —ἡ LTTrWHR (, σωτήριος R *marg.*). [12] ἡμῶν, WH *marg.* [13] Χριστοῦ Ἰησοῦ TTrWH (*non marg.*). [14] —καὶ LTTr (ἐξουσίας Tr *errore*) WHR (ἀρχαῖς, R). [15] πραΰτητα LTTrWH. [16] ἃ LTTrWHR. [17] τὸ...ἔλεος LTTrWHR. [18] παλιν- TWH.

[h] cap. 1. 16. [i] 2 Tim. 3. 13. [k] Vid. Rom. 1. 29. [l] Eph. 2. 7. Vid. Rom. 2. 4. [m] Vid. cap. 1. 3; 2. 10. [n] Act. 13. 39. Eph. 2. 9. 2 Tim. 1. 9. [o] Eph. 2. 4. 1 Pet. 1. 3. [p] Marc. 16. 16. 1 Pet. 3. 21. [q] Eph. 5. 26. Cf. Joan. 13. 8. Vid. Joan. 3. 5. [r] Rom. 12. 2.

[a]Πνεύματος Ἁγίου, οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως, 6
διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν, ἵνα δικαιω- 7
θέντες [b]τῇ ἐκείνου χάριτι, [c]κληρονόμοι **γενώμεθα**[1] [d]κατ'
ἐλπίδα[2] ζωῆς αἰωνίου. [e]Πιστὸς ὁ λόγος, καὶ περὶ 8
τούτων βούλομαί σε [f]διαβεβαιοῦσθαι, ἵνα φροντί-
ζωσι [g]καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες
τῷ[3] Θεῷ· ταῦτά ἐστι **τὰ**[4] καλὰ καὶ ὠφέλιμα τοῖς
ἀνθρώποις. μωρὰς δὲ [h]ζητήσεις καὶ γενεαλογίας καὶ 9
ἔρεις[5] καὶ [i]μάχας νομικὰς [k]περιΐστασο[6]· [l]εἰσὶ γὰρ ἀν-
ωφελεῖς καὶ μάταιοι. [m]Αἱρετικὸν ἄνθρωπον μετὰ 10 ς'.
μίαν καὶ δευτέραν νουθεσίαν [n]παραιτοῦ, εἰδὼς ὅτι 11
ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει, ὢν αὐτοκα-
τάκριτος.

[o]Ὅταν πέμψω Ἀρτεμᾶν πρός σε ἢ [o]Τυχικόν[7], [p]σπού- 12
δασον ἐλθεῖν πρός με εἰς Νικόπολιν· ἐκεῖ γὰρ κέ-
κρικα παραχειμάσαι. Ζηνᾶν [q]τὸν νομικὸν καὶ [r]**Ἀπολ-** 13
λῶ[8] [s]σπουδαίως [t]πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς [u]**λείπῃ**[9].
μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι [g]καλῶν ἔργων προΐ- 14
στασθαι εἰς τὰς ἀναγκαίας [x]χρείας, ἵνα μὴ ὦσιν
[y]ἄκαρποι. Ἀσπάζονταί σε οἱ μετ' ἐμοῦ πάντες. 15
ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει. [z]ἡ χάρις
μετὰ πάντων ὑμῶν. **ἀμήν**[10].

Πρὸς Τίτον[11], τῆς Κρητῶν ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντα, ἐγράφη ἀπὸ Νικοπόλεως τῆς Μακεδονίας.[12]

[a] Joel 2. 28 (Septuagint.). Cf. Act. 2. 17. Rom. 5. 5.
[b] Vid. cap. 2. 11.
[c] Vid. Rom. 8. 17.
[d] cap. 1. 2. Cf. cap. 2. 13.
[e] Vid. 1 Tim. 1. 15.
[f] 1 Tim. 1. 7.
[g] ver. 14. Cf. cap. 2. 14. Cf. Eph. 4. 28.
[h] 1 Tim. 1. 4.
[i] 1 Tim. 6. 4.
[k] 2 Tim. 2. 16.
[l] Cf. 2 Tim. 2. 14, 16.
[m] 2 Thess. 3. 6, 14. Cf. Matt. 18. 15.
[n] 2 Tim. 2. 23.
[o] Vid. Act. 20. 4.
[p] 2 Tim. 4. 9.
[q] Vid. Matt. 22. 35.
[r] Vid. Act. 18. 24.
[s] Vid. Luc. 7. 4.
[t] Vid. Act. 15. 3.
[u] Vid. cap. 1. 5.
[x] Eph. 4. 29.
[y] 2 Pet. 1. 8. Cf. Phil. 4. 17.
[z] Heb. 13. 25. Vid. Col. 4. 18.

[1] *γενηθῶμεν* LTWHR, *γενήθωμεν* Tr. [2] , *κατ' ἐλπίδα*, R *marg.* [3] −*τῷ* LTTrWHR. [4] −*τὰ* LTTrWHR. [5] *ἔριν* TWH. [6] *περιίστασο* WH. [7] Τύχικον WH. [8] Ἀπολλῶν TWH. [9] *λίπῃ* TWH *marg.* [10] −*ἀμήν* TTr[L]WHR. [11] Τῖτον S. [12] + Ἐν στίχοις ϟζ' S: *deest subscriptio in* LTWHR, ΠΡΟΣ ΤΙΤΟΝ Tr.

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΟΣ

ΦΙΛΗΜΟΝΑ ΕΠΙΣΤΟΛΗ[1].

---

1 ΠΑΥΛΟΣ [a]δέσμιος Χριστοῦ Ἰησοῦ, καὶ [b]Τιμόθεος
ὁ ἀδελφός, Φιλήμονι τῷ ἀγαπητῷ καὶ [cd]συνεργῷ ἡμῶν,
2 καὶ Ἀπφίᾳ τῇ ἀγαπητῇ[2], καὶ [e]Ἀρχίππῳ τῷ [3d]συστρα-
3 τιώτῃ ἡμῶν, καὶ [f]τῇ κατ᾽ οἶκόν σου ἐκκλησίᾳ· [g]χάρις
ὑμῖν καὶ [g]εἰρήνη ἀπὸ Θεοῦ πατρὸς ἡμῶν καὶ Κυρίου
Ἰησοῦ Χριστοῦ.
Α΄. 4 [h]Εὐχαριστῶ τῷ Θεῷ μου, [i]πάντοτε[4] μνείαν σου
5 ποιούμενος ἐπὶ τῶν προσευχῶν μου, ἀκούων σου [k]τὴν
ἀγάπην* καὶ [k]τὴν πίστιν, ἣν ἔχεις πρὸς[5] τὸν Κύριον
6 Ἰησοῦν καὶ εἰς πάντας τοὺς ἁγίους, ὅπως ἡ κοινωνία
τῆς πίστεώς σου ἐνεργὴς γένηται [l]ἐν ἐπιγνώσει παν-
7 τὸς ἀγαθοῦ τοῦ[6] ἐν ὑμῖν[7] εἰς Χριστὸν Ἰησοῦν[8]. χάριν[9]
γὰρ ἔχομεν πολλὴν[10] καὶ [m]παράκλησιν ἐπὶ τῇ ἀγάπῃ
σου, ὅτι [n]τὰ σπλάγχνα τῶν ἁγίων [m]ἀναπέπαυται διὰ
8 σοῦ, ἀδελφέ. Διὸ [o]πολλὴν ἐν Χριστῷ παρρησίαν
9 ἔχων ἐπιτάσσειν σοι [p]τὸ ἀνῆκον, διὰ τὴν ἀγάπην
μᾶλλον [q]παρακαλῶ· τοιοῦτος ὢν ὡς Παῦλος[11] [r]πρεσ-
Β΄. 10 βύτης,† νυνὶ[12] δὲ καὶ [a]δέσμιος Ἰησοῦ Χριστοῦ[13]·[14] [q]παρα-
καλῶ σε περὶ [s]τοῦ ἐμοῦ τέκνου, [t]ὃν ἐγέννησα ἐν τοῖς
11 δεσμοῖς μου[15], [u]Ὀνήσιμον, τόν ποτέ σοι ἄχρηστον,
12 νυνὶ δέ[16] σοι καὶ ἐμοὶ [x]εὔχρηστον, ὃν ἀνέπεμψα· σὺ
δὲ[17] αὐτόν, τουτέστι[18] [n]τὰ ἐμὰ σπλάγχνα, προσλαβοῦ[19].
13 ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν, ἵνα [y]ὑπὲρ
σοῦ διακονῇ μοι[20] ἐν [tz]τοῖς δεσμοῖς τοῦ εὐαγγελίου·

[1] Ἡ πρὸς Φιλήμονα ἐπιστολὴ Παύλου S: Πρὸς Φιλήμονα *tantum* LTTrWH. [2] ἀδελφῇ LTTrWHR. [3] συν- LTTrWH. [4] μου πάντοτε, R. * + , BER *text.* [5] εἰς LTrWH (*non marg.*). [6] — τοῦ LTr[WH]. [7] ἡμῖν LTr (*non marg.*) WH (*non marg.*) R *marg.* [8] — Ἰησοῦν LTTrWHR. [9] χαρὰν BELTTrWHR. [10] πολλὴν ἔσχον LTTrWHR. [11] (ὡς Παῦλος) L. [12] νῦν WH *marg.* [13] Χριστοῦ Ἰησοῦ LTTrWHR. [14] ,— WH. [15] — μου LTTrWHR. [16] + καὶ TWH *marg.* [17] σοι, (— δὲ) LTTrWHR ([σὺ δὲ] Tr *marg.*) (*jungit* R ἀνέπεμψά σοι). [18] τοῦτ᾽ ἔστιν TWH. [19] — προσλαβοῦ LTTr ([πρόσλαβου] Tr *marg.*) WHR. [20] μοι διακονῇ LTTrWHR. † WH *dub.*

[a] ver. 9. Vid. Eph. 3. 1.
[b] Vid. Act. 16. 1.
[c] ver. 24. Vid. Rom. 16. 3.
[d] Phil. 2. 25.
[e] Col. 4. 17.
[f] Rom. 16. 5.
[g] Vid. Rom. 1. 7.
[h] Rom. 1. 8. Phil. 1. 3.
[i] Vid. Rom. 1. 9.
[k] Eph. 1. 16, 15. Col. 1. 4, 3. Vid. Act. 20. 21. Cf. 1 Thess. 1. 3.
[l] Phil. 1. 9.
[m] Vid. 2 Cor. 7. 4, 13. Cf. Rom. 15. 32. 2 Tim. 1. 16.
[n] ver. 12, 20. Vid. Col. 3. 12.
[o] Cf. 1 Thess. 2. 6.
[p] Eph. 5. 4. Col. 3. 18.
[q] Vid. Rom. 12. 1.
[r] Luc. 1. 18. Tit. 2. 2.
[s] 3 Joan. 4.
[t] ver. 13. Cf. 1 Cor. 4. 15.
[u] Col. 4. 9. Cf. ver. 20.
[x] 2 Tim. 2. 21.
[y] Cf. 1 Cor. 16. 17.
[z] Phil. 1. 7.

χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα ποιῆσαι, 14
ἵνα μὴ ὡς [ab]κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ, ἀλλὰ
[a]κατὰ ἑκούσιον. [c]τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη [d]πρὸς 15
ὥραν, ἵνα αἰώνιον αὐτὸν [e]ἀπέχῃς· [f]οὐκέτι[1] ὡς δοῦλον, 16
ἀλλ'[2] ὑπὲρ δοῦλον, [g]ἀδελφὸν ἀγαπητόν, μάλιστα ἐμοί,
πόσῳ δὲ μᾶλλόν σοι καὶ [h]ἐν σαρκὶ καὶ ἐν Κυρίῳ;[3] εἰ 17
οὖν ἐμὲ[4] ἔχεις [i]κοινωνόν, προσλαβοῦ αὐτὸν ὡς ἐμέ.
Εἰ δέ τι ἠδίκησέ σε ἢ ὀφείλει, τοῦτο ἐμοὶ ἐλλόγει[5]. 18
ἐγὼ Παῦλος ἔγραψα [k]τῇ ἐμῇ χειρί, ἐγὼ ἀποτίσω· [l]ἵνα 19
μὴ λέγω σοι ὅτι καὶ σεαυτόν μοι προσοφείλεις.
Ναί, ἀδελφέ, ἐγώ σου [m]ὀναίμην [n]ἐν Κυρίῳ· [o]ἀνάπαυ- 20
σόν μου τὰ σπλάγχνα ἐν Κυρίῳ[6]. [p]πεποιθὼς τῇ 21
ὑπακοῇ σου ἔγραψά σοι, εἰδὼς ὅτι καὶ ὑπὲρ ὃ[7] λέγω
ποιήσεις. Ἅμα δὲ καὶ ἑτοίμαζέ μοι [q]ξενίαν· [r]ἐλπίζω 22
γὰρ ὅτι [s]διὰ τῶν προσευχῶν ὑμῶν [t]χαρισθήσομαι
ὑμῖν. Ἀσπάζονταί[8] σε [ux]Ἐπαφρᾶς ὁ [x]συναιχμάλωτός 23
μου ἐν Χριστῷ Ἰησοῦ, [xy]Μάρκος, [xz]Ἀρίσταρχος, [a]Δη- 24
μᾶς, [b]Λουκᾶς, οἱ [c]συνεργοί μου. [d]ἡ χάρις τοῦ Κυρίου 25
ἡμῶν[9] Ἰησοῦ Χριστοῦ [de]μετὰ τοῦ πνεύματος ὑμῶν.
ἀμήν[10].

Πρὸς Φιλήμονα ἐγράφη ἀπὸ Ῥώμης διὰ Ὀνησίμου οἰκέτου.[11]

ΠΑΥΛΟΥ ΤΟΥ ΑΠΟΣΤΟΛΟΥ

Η ΠΡΟΣ

ΕΒΡΑΙΟΥΣ ΕΠΙΣΤΟΛΗ[12].

ΠΟΛΥΜΕΡΩΣ καὶ [f]πολυτρόπως πάλαι [g]ὁ Θεὸς 1 Α'.
λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, [h]ἐπ' ἐσχά- 2

[a] Cf. 1 Cor. 9. 7. [b] 1 Pet. 5. 2. [c] Cf. Gen. 45. 5, 8. [d] 2 Cor. 7. 8. [e] Vid. Matt. 6. 2. [f] 1 Cor. 7. 22. [g] 1 Tim. 6. 2. Cf. Matt. 23. 8. [h] Cf. Eph. 6. 5. Col. 3. 22, 23. [i] 2 Cor. 8. 23. [k] Vid. 1 Cor. 16. 21. [l] 2 Cor. 9. 4. [m] Cf. ver. 10. [n] Act. 21. 20 (var. lect.). [o] ver. 7. [p] Phil. 1. 25. Vid. 2 Cor. 2. 3. [q] Act. 28. 23. [r] Phil. 2. 24. [s] 2 Cor. 1. 11. [t] Cf. Heb. 13. 19. [u] Col. 1. 7. [x] Col. 4. 10. Vid. Rom. 16. 7. [y] Vid. Act. 12. 12. [z] Vid. Act. 19. 29. [a] Col. 4. 14. 2 Tim. 4. 10, 11. [b] Col. 4. 14. [c] Vid. ver. 1. [d] Gal. 6. 18. [e] 2 Tim. 4. 22. [f] Num. 12. 6, 8. Joel 2. 28. [g] Cf. Matt. 10. 20. [h] Deut. 4. 30. 1 Pet. 1. 20. Cf. cap. 9. 26.

[1] οὐκ ἔτι T. [2] ἀλλὰ TTrWH. [3] . pro ; WHR. [4] με LTTrWHR. [5] ἐλλόγα LTTrWHR. [6] Χριστῷ LTTrWHR. [7] ἃ LTTrWHR. [8] ἀσπάζεταί LTTrWHR. [9] — ἡμῶν TWH (*non marg.*) R *marg.* [10] — ἀμήν LTTrWH.R *marg.* [11] + Ἐν στίχοις λς' S: *deest subscriptio in* LTWHR, ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ Tr. [12] Ἡ πρὸς Ἑβραίους ἐπιστολὴ Παύλου S: Πρὸς Ἑβραίους *tantum* LTTrWH.

των[1] τῶν ἡμερῶν τούτων [a]ἐλάλησεν ἡμῖν ἐν [b]υἱῷ, ὃν
ἔθηκε [c]κληρονόμον πάντων, [d]δι᾿ οὗ καὶ [e]τοὺς αἰῶνας
3 ἐποίησεν[2], ὃς ὢν [f]ἀπαύγασμα [g]τῆς δόξης καὶ [g]χαρακτὴρ
τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα [e]τῷ ῥή-
ματι τῆς δυνάμεως αὐτοῦ, δι᾿ ἑαυτοῦ[3] [h]καθαρισμὸν
ποιησάμενος τῶν ἁμαρτιῶν[4] ἡμῶν[5], [i]ἐκάθισεν ἐν δεξιᾷ
4 τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, [k]τοσούτῳ κρείττων
γενόμενος τῶν ἀγγέλων, ὅσῳ [l]διαφορώτερον παρ᾿
Β΄. 5 αὐτοὺς κεκληρονόμηκεν ὄνομα. Τίνι γὰρ εἶπέ ποτε
τῶν ἀγγέλων, [m]'Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέν-
νηκά σε'; καὶ πάλιν, [n]'Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα,
6 καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν'; ὅταν δὲ πάλιν[6] [o]εἰσα-
γάγῃ [p]τὸν πρωτότοκον εἰς [q]τὴν οἰκουμένην, λέγει,
[r]'Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ.'
7 Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει, [s]'Ὁ ποιῶν τοὺς
ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς [t]λειτουργοὺς
8 αὐτοῦ πυρὸς φλόγα·' πρὸς δὲ [b]τὸν υἱόν, [u]'Ὁ θρόνος
σου, ὁ Θεός,[7] εἰς τὸν αἰῶνα τοῦ αἰῶνος*·[8] ῥάβδος[9]
9 εὐθύτητος ἡ[10] ῥάβδος τῆς βασιλείας σου[11]. [u]ἠγάπησας
δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν[12]· διὰ τοῦτο [x]ἔχρισέ
σε ὁ Θεός, ὁ Θεός σου,† [y]ἔλαιον ἀγαλλιάσεως παρὰ
10 τοὺς μετόχους σου.' Καί, [z]'Σὺ κατ᾿ ἀρχάς, Κύριε,
τὴν γῆν ἐθεμελίωσας, [d]καὶ ἔργα τῶν χειρῶν σού εἰ-
11 σιν οἱ οὐρανοί· [za]αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις·
12 καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, [z]καὶ ὡσεὶ
περιβόλαιον ἑλίξεις[13] αὐτούς[14] καὶ ἀλλαγήσονται·
σὺ δὲ [b]ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι.'
13 Πρὸς τίνα δὲ [c]τῶν ἀγγέλων εἴρηκέ ποτε, [ide]'Κάθου ἐκ
δεξιῶν μου, [e]ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον
14 τῶν ποδῶν σου'; οὐχὶ [c]πάντες εἰσὶ [t]λειτουργικὰ πνεύ-
ματα, [f]εἰς διακονίαν ἀποστελλόμενα διὰ τοὺς μέλ-
λοντας [g]κληρονομεῖν σωτηρίαν;

2 ΔΙΑ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς προσέχειν[15] τοῖς

[1] ἐσχάτου LTTrWHR. [2] ἐποίησεν τοὺς αἰῶνας LTTrWHR. [3] —δι᾿ ἑαυτοῦ LTTrWHR. [4] τῶν ἁμαρτιῶν ποιησάμενος LTTrWHR. [5] —ἡμῶν LTTrWHR. [6] , πάλιν, R *marg.* [7] σου ὁ θεός, WH *marg.* * [τοῦ αἰῶνος] WH. [8] + καὶ L, + καὶ ἡ TTrWHR. [9] + τῆς LTTrWHR. [10] —ἡ LTTrWHR. [11] αὐτοῦ WH (*non marg.*) R *marg.* [12] ἀδικίαν T. [13] ἐλίξεις S, ἀλλάξεις TTr *marg.* [14] + , ὡς ἱμάτιον, L[Tr]WHR. [15] προσέχειν ἡμᾶς LTTrWHR. † σε, ὁ...σου ἔλ. LT.

[a] cap. 2. 8. [b] ver. 8. cap. 3. 6; 4. 14; 5. 8; 6. 6; 7. 3, 28; 10. 29. Vid. Matt. 14. 33. [c] Ps. 2. 8. Matt. 21. 38. [d] Vid. Joan. 1. 3. Cf. ver. 10. cap. 3. 3. [e] cap. 11. 3. [f] Wisd. 7. 26. [g] Cf. Joan. 14. 19. 2 Cor. 4. 4. Col. 1. 15. [h] cap. 9. 14. [i] ver. 13. cap. 8. 1; 10. 12; 12. 2. Vid. Marc. 16. 19. Cf. Matt. 26. 64. Luc. 22. 69. [k] cap. 7. 22; 10. 25. [l] cap. 8. 6. Cf. Phil. 2. 9. [m] Ps. 2. 7. Act. 13. 33. cap. 5. 5. [n] 2 Sam. 7. 14. Cf. 1 Chr. 22. 10; 28. 6. Ps. 89. 26, 27. [o] cap. 10. 5. [p] Vid. Rom. 8. 29. [q] cap. 2. 5. Vid. Matt. 24. 14. [r] Cf. Deut. 32. 43 (Septuagint.). Ps. 97. 7. [s] Ps. 104. 4. [t] Cf. ver. 14. cap. 8. 2, 6; 9. 21; 10. 11. Vid. Rom. 13. 6. [u] Ps. 45. 6, 7. [x] Esa. 61. 1. Vid. Act. 4. 26. [y] Esa. 61. 3. [z] Ps. 102. 25—27.

[a] Esa. 34. 4; 51. 6. Cf. 2 Pet. 3. 10. [b] cap. 13. 8. [c] ver. 14. cap. 2. 16. Vid. Luc. 15. 10. [d] Ps. 110. 1. [e] Vid. Matt. 22. 44. [f] Gen. 19. 16; 28. 12; 32. 1, 2. Judic. 6. 11; 13. 3, 6, 9. Ps. 34. 7; 91. 11; 103. 20, 21. Dan. 3. 28; 6. 22; 10. 11. Matt. 18. 10. Act. 5. 19; 8. 26; 12. 7, 15; 27. 23. [g] Matt. 25. 34.

ἀκουσθεῖσι, μή ποτε [a]παραρρυῶμεν[1]. εἰ γὰρ [b]ὁ δι' 2
ἀγγέλων [c]λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ [d]πᾶσα
παράβασις καὶ [e]παρακοὴ ἔλαβεν ἔνδικον [f]μισθαποδο-
σίαν, [g]πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελή- 3
σαντες [h]σωτηρίας;[2] ἥτις [i]ἀρχὴν λαβοῦσα [b]λαλεῖσθαι
διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς [k]ἐβε-
βαιώθη, συνεπιμαρτυροῦντος τοῦ Θεοῦ [lm]σημείοις τε 4
καὶ [lm]τέρασι, καὶ ποικίλαις [mn]δυνάμεσι, καὶ [n]Πνεύματος
Ἁγίου [o]μερισμοῖς, [p]κατὰ τὴν αὐτοῦ θέλησιν.[2]
Οὐ γὰρ ἀγγέλοις ὑπέταξε [q]τὴν οἰκουμένην [r]τὴν 5
μέλλουσαν; περὶ ἧς λαλοῦμεν· [s]διεμαρτύρατο δέ [t]πού 6
τις λέγων, [u]'Τί[3] ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐ-
τοῦ· ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; [u]ἠλάτ- 7
τωσας αὐτὸν [y]βραχύ τι παρ' ἀγγέλους· [u]δόξῃ καὶ
τιμῇ ἐστεφάνωσας αὐτόν, **καὶ κατέστησας αὐτὸν ἐπὶ**
τὰ ἔργα τῶν χειρῶν σου[4]· [x]πάντα ὑπέταξας ὑποκάτω 8
τῶν ποδῶν αὐτοῦ.' Ἐν **γὰρ τῷ**[5] ὑποτάξαι **αὐτῷ**[6] τὰ
πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον· νῦν δὲ
οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα. [y]τὸν δὲ 9 Γ'.
βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰη-
σοῦν, [z]διὰ τὸ πάθημα τοῦ θανάτου [a]δόξῃ καὶ τιμῇ
ἐστεφανωμένον, ὅπως **χάριτι Θεοῦ**[7] [b]ὑπὲρ παντὸς [c]γεύ-
σηται θανάτου. Ἔπρεπε γὰρ αὐτῷ, δι' ὃν τὰ πάντα 10
καὶ [d]δι' οὗ τὰ πάντα, [e]πολλοὺς υἱοὺς [f]εἰς δόξαν ἀγα-
γόντα, [g]τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ [h]παθη-
μάτων [i]τελειῶσαι. [k]ὅ τε γὰρ ἁγιάζων καὶ [l]οἱ ἁγιαζό- 11
μενοι, ἐξ ἑνὸς πάντες· δι' ἣν αἰτίαν [m]οὐκ ἐπαισχύνε-
ται [n]ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων, [o]'Ἀπαγγελῶ τὸ 12
ὄνομά σου [n]τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ [p]ἐκκλησίας
ὑμνήσω σε.' Καὶ πάλιν, [q]'Ἐγὼ ἔσομαι πεποιθὼς 13
ἐπ' αὐτῷ.' Καὶ πάλιν, [r]'Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία [s]ἅ
μοι ἔδωκεν ὁ Θεός.' Ἐπεὶ οὖν τὰ παιδία κεκοινώ- 14
νηκε [t]**σαρκὸς καὶ αἵματος**[8], καὶ αὐτὸς παραπλησίως
[u]μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου [x]καταργήσῃ

[1] παραρυῶμεν LTTrWH. [2] σωτηρίας, ἥτις...θέλησιν; WH. [3] Τίς L *marg.* [4] —καὶ κατέστησας *ad fin. vers.* T[LTrWH]R *marg.* [5] τῷ γὰρ LTTrWHR. [6] [αὐτῷ] LWH. [7] χωρὶς θεοῦ Tr *marg.* [8] αἵματος καὶ σαρκός LTTrWHR.

[a] Job 6. 15. [b] Cf. Deut. 33. 2. Ps. 68. 17. Act. 7. 53. [c] cap. 1. 2. [d] Num. 15. 30, 31. Deut. 4. 8; 17. 2, 5, 12; 27. 26. cap. 10. 28. [e] Rom. 5. 19. [f] cap. 10. 35; 11. 26. [g] cap. 10. 29; 12. 25. [h] Jud. 3. [i] Cf. Luc. 1. 2. [k] Marc. 16. 20. [l] Vid. Joan. 4. 48. [m] Act. 2. 22. Cf. Act. 1. 3. [n] cap. 6. 4, 5. 1 Cor. 2. 4. [o] Cf. 1 Cor. 12. 4, 11. [p] Eph. 1. 5. [q] Vid. cap. 1. 6. [r] cap. 6. 5. [s] Vid. Luc. 16. 28. [t] cap. 4. 4. [u] Ps. 8. 4—6. Cf. Job 7. 17. Ps. 145. 3. [x] 1 Cor. 15. 27. Vid. Matt. 28. 18. [y] ver. 7. Cf. 1 Pet. 1. 21. [z] Phil. 2. 7—9. Vid. Joan. 10.17. [a] Luc. 24. 6. Act. 2. 33. [b] Vid. Joan. 12. 32. [c] Matt. 16. 28. Joan. 8. 52. [d] Rom. 11. 36. [e] cap. 9. 28. Vid. Matt. 20. 28. [f] Rom. 8. 30. Cf. cap. 3. 1. [g] cap. 12. 2. Vid. Act. 3. 15. Cf. cap. 5. 9. [h] Act. 26. 23. [i] cap. 5. 9; 7. 28. Luc. 13. 32. Cf. Phil. 3. 12. cap. 11. 40; 12. 23. [k] cap. 13. 12. [l] cap. 10. 10, 14, 29. [m] cap. 11. 16. [n] ver. 12, 17. cap. 3. 1. Cf. Matt. 12. 50; 28. 10. [o] Ps. 22. 22. [p] Act. 7. 38. cap. 12. 23. [q] 2 Sam. 22. 3. Ps. 18. 2. Esa. 12. 2. [r] Esa. 8. 17, 18. [s] Joan. 17. 2. [t] Vid. Matt. 16. 17. [u] ver. 17. Vid. Joan. 1. 14. [x] Vid. 2 Tim. 1. 10. Cf. Joan. 16. 11. 1 Cor. 15. 54. Col. 2. 15.

τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι[1] [a]τὸν
15 διάβολον, καὶ ἀπαλλάξῃ τούτους, ὅσοι [b]φόβῳ θανά-
16 του διὰ παντὸς τοῦ ζῆν [c]ἔνοχοι ἦσαν δουλείας[2]. οὐ
γὰρ δήπου[3] [d]ἀγγέλων [e]ἐπιλαμβάνεται, ἀλλὰ σπέρμα-
17 τος Ἀβραὰμ [e]ἐπιλαμβάνεται. ὅθεν ὤφειλε [f]κατὰ
πάντα [g]τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, [f h]ἵνα ἐλεήμων γέ-
νηται καὶ πιστὸς [i]ἀρχιερεὺς [k]τὰ πρὸς τὸν Θεόν, [l]εἰς τὸ
18 ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. ἐν ᾧ γὰρ πέ-
πονθεν [f]αὐτὸς [m]πειρασθείς, δύναται τοῖς πειραζομένοις
βοηθῆσαι.

Δʹ. 3 ὍΘΕΝ, [n]ἀδελφοὶ ἅγιοι, [o]κλήσεως ἐπουρανίου μέ-
τοχοι, κατανοήσατε [p]τὸν ἀπόστολον καὶ [i]ἀρχιερέα τῆς
2 [q]ὁμολογίας ἡμῶν **Χριστὸν**[4] Ἰησοῦν· πιστὸν ὄντα τῷ
ποιήσαντι αὐτόν, [r]ὡς καὶ **Μωσῆς**[5] ἐν **ὅλῳ**[6] τῷ οἴκῳ
3 αὐτοῦ. Πλείονος γὰρ **δόξης οὗτος**[7] παρὰ **Μωσῆν**[8]
ἠξίωται, καθʼ ὅσον πλείονα τιμὴν ἔχει τοῦ οἴκου [s]ὁ
4 [t]κατασκευάσας αὐτόν· πᾶς γὰρ οἶκος [t]κατασκευάζεται
ὑπό τινος· [u]ὁ δὲ **τὰ**[9] πάντα [t]κατασκευάσας, Θεός.
5 [r]καὶ **Μωσῆς**[5] μὲν [x]πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, [y]ὡς
6 [x]θεράπων, [z]εἰς μαρτύριον τῶν λαληθησομένων· Χρισ-
τὸς δέ, [a]ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, [b]οὗ οἶκός ἐσμεν
ἡμεῖς, **ἐάνπερ**[10] τὴν [c]παρρησίαν καὶ τὸ [d]καύχημα τῆς
7 [e]ἐλπίδος [f]**μέχρι τέλους βεβαίαν**[11] [f]κατάσχωμεν. Διό,
καθὼς λέγει [g]τὸ Πνεῦμα τὸ Ἅγιον, [h]"Σήμερον ἐὰν
8 τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρ-
δίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, [i]κατὰ τὴν ἡμέ-
9 ραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν **με**[12]
οἱ πατέρες ὑμῶν, **ἐδοκίμασάν με**[13], καὶ εἶδον τὰ ἔργα
10 μου [k]**τεσσαράκοντα**[14] ἔτη· [h]διὸ προσώχθισα τῇ γενεᾷ
ἐκείνῃ[15], καὶ **εἶπον**[16], [l]'Ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ
11 δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου· [m]ὡς ὤμοσα ἐν τῇ
ὀργῇ μου, Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.'"

[1] τοῦτʼ ἔστιν T, τοῦτʼ ἔστι WH. [2] δουλίας T. [3] δή που WH. [4] —Χριστὸν LTTrWHR. [5] Μωυσῆς LT(-ϋ-)TrWH. [6] [ὅλῳ] Tr *marg.* WH. [7] οὗτος δόξης LTTrWHR. [8] Μωυσῆν LT(-ϋ-)TrWH. [9] —τὰ LTTrWHR. [10] ἐάν[περ] L, ἐὰν TTrWHR. [11] [μέχρι τέλους βεβαίαν] Tr *marg.* WH. [12] —με LTTrWHR. [13] ἐν δοκιμασίᾳ LTTrWHR. [14] τεσσεράκοντα TTrWH. [15] ταύτῃ LTTrWHR. [16] εἶπα L.

[a] 1 Joan. 3. 8.
[b] Rom. 8. 15.
[c] Vid. Matt. 5. 21.
[d] Vid. cap. 1. 13.
[e] Esa. 41. 8, 9 (Septuagint.). Ecclus. 4. 11 (Gr.). cap. 8. 9.
[f] cap. 4. 15.
[g] ver. 11, 14.
[h] Cf. cap. 5. 7, 8.
[i] cap. 3. 1; 4. 14, 15; 5. 5, 10; 6. 20; 7. 26, 28; 8. 1, 3; 9. 11. Cf. cap. 10. 21.
[k] Vid. Rom. 15. 17.
[l] Dan. 9. 24.
[m] Luc. 22. 28.
[n] Cf. cap. 2. 10, 11.
[o] 2 Tim. 1. 9. Cf. Phil. 3. 14. cap. 9. 15.
[p] Cf. Joan. 20. 21. Rom. 15. 8.
[q] cap. 4. 14; 10. 23. Vid. 2 Cor. 9. 13.
[r] ver. 5. Num. 12. 7.
[s] Cf. cap. 1. 2.
[t] ver. 4. cap. 9. 2, 6; 11. 7. 1 Pet. 3. 20
[u] Cf. 1 Pet. 2. 5.
[x] Num. 12. 7 (Septuagint.). Vid. Matt. 24. 45.
[y] Ex. 14. 31. Deut. 34. 5. Josh. 1. 2; 8. 31. Ps. 105. 26. Cf. Rev. 15. 3.
[z] Deut. 18. 15, 18, 19.
[a] Vid. cap. 1. 2.

[b] Vid. 1 Tim. 3. 15. [c] cap. 4. 16; 10. 19, 35. Vid. Act. 4. 13. [d] Rom. 5. 2. Vid. Phil. 1. 26. Cf. Ps. 119. 33, 112. Rom. 11. 23. Vid. Matt. 10. 22. [e] Col. 1. 5, 23. cap. 6. 11, 18; 7. 19; 10. 23. [f] ver. 14. Cf. cap. 6. 11. Rev. 2. 26. [g] cap. 9. 8; 10. 15. Vid. Act. 1. 16. [h] Ps. 95. 7—11. ver. 15. cap. 4. 7. [i] Ex. 17. 7. Num. 20. 13. [k] ver. 17. Vid. Act. 7. 36. [l] Cf. cap. 5. 2. [m] cap. 4. 3, 5.

[a]βλέπετε, ἀδελφοί, μή ποτε ἔσται ἔν τινι ὑμῶν καρ- 12
δία πονηρὰ [a]ἀπιστίας, ἐν τῷ [b]ἀποστῆναι ἀπὸ [c]Θεοῦ
ζῶντος· ἀλλὰ [d]παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην 13
ἡμέραν, [e]ἄχρις οὗ τὸ σήμερον καλεῖται, ἵνα μὴ [f]σκλη-
ρυνθῇ **τις ἐξ ὑμῶν**[1] [g]ἀπάτῃ τῆς ἁμαρτίας· μέτοχοι 14
γὰρ **γεγόναμεν τοῦ Χριστοῦ**[2], [h]ἐάνπερ τὴν ἀρχὴν τῆς
[i]ὑποστάσεως [h]μέχρι τέλους βεβαίαν κατάσχωμεν·*[k]ἐν 15
τῷ λέγεσθαι, 'Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκού-
σητε,[3] μὴ [f]σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ
παραπικρασμῷ.' [l]Τίνες γὰρ ἀκούσαντες [m]παρεπίκρα- 16
ναν,[4] [n]ἀλλ' οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ
Μωσέως[5].[6] τίσι δὲ[7] προσώχθισε [o]**τεσσαράκοντα**[8] ἔτη; 17
οὐχὶ τοῖς ἁμαρτήσασιν,‡ὧν [p]τὰ κῶλα ἔπεσεν ἐν τῇ
ἐρήμῳ;‡ τίσι δὲ ὤμοσε [q]μὴ εἰσελεύσεσθαι εἰς τὴν 18
κατάπαυσιν αὐτοῦ, εἰ μὴ [r]τοῖς ἀπειθήσασι; καὶ βλέ- 19
πομεν ὅτι [s]οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι' [t]ἀπιστίαν.
Φοβηθῶμεν οὖν μή ποτε καταλειπομένης ἐπαγγελίας 4 Ε'.
εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, [u]δοκῇ τις ἐξ
ὑμῶν [x]ὑστερηκέναι. καὶ γάρ ἐσμεν εὐηγγελισμένοι, 2
καθάπερ κἀκεῖνοι· [y]ἀλλ' οὐκ ὠφέλησεν [y]ὁ λόγος τῆς
ἀκοῆς ἐκείνους, μὴ [z]**συγκεκραμένος**[9]†τῇ πίστει τοῖς
ἀκούσασιν.† εἰσερχόμεθα **γὰρ**[10] εἰς **τὴν**[11] κατάπαυσιν οἱ 3
πιστεύσαντες, καθὼς εἴρηκεν, [a]'Ὡς ὤμοσα ἐν τῇ ὀργῇ
μου, Εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου·'
καίτοι τῶν ἔργων [b]ἀπὸ καταβολῆς κόσμου γενηθέν-
των.[12] Εἴρηκε γάρ [c]που περὶ τῆς ἑβδόμης οὕτω, [d]'Καὶ 4
κατέπαυσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ
πάντων τῶν ἔργων αὐτοῦ·' καὶ ἐν τούτῳ πάλιν, [a]'Εἰ 5
εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.' Ἐπεὶ οὖν 6
ἀπολείπεται τινὰς εἰσελθεῖν εἰς αὐτήν, καὶ οἱ πρό-
τερον εὐαγγελισθέντες [s]οὐκ εἰσῆλθον [r z e]δι' ἀπείθειαν,
πάλιν τινὰ ὁρίζει ἡμέραν, [k]'Σήμερον,' ἐν [f]**Δαβὶδ**[13] λέ- 7
γων, μετὰ τοσοῦτον χρόνον· καθὼς **εἴρηται**[14], 'Σή-

[1] ἐξ ὑμῶν τις L (*non marg.*) Tr *marg.* WH *marg.* [2] τοῦ Χριστοῦ γεγόναμεν LTTrWHR. [3] ἀκούσητε,— WH *marg.* [4] Τινὲς SBE. [5] Μωυσέως LT(-ϋ-)TrWH. [6] ; LTTrWHR. [7] + [καὶ] L. [8] τεσσεράκοντα TTrWH. [9] συγκεκερασμένους LTrR (*non marg.*), συνκεκερασμένους WH *text.*, συνκεκερασμένος TWH *marg.* [10] οὖν Tr *marg.* WH *marg.* R *marg.* [11] [τὴν] TrWH. [12] γενηθέντων, WH. [13] Δαυεὶδ LTTrWH. [14] προείρηται LTTrWH *text.* R, προείρηκεν WH *marg.* * , *pro* · L. † WH *dub.* ‡ ; *et* . *pro* , *et* ; LT.

[a] cap. 12. 25. Col. 2. 8. Cf. cap. 4. 11.
[b] Luc. 8. 13. 1 Tim. 4. 1. Cf. cap. 10. 38, 39.
[c] cap. 9. 14; 10. 31; 12. 22. Vid. Matt. 16. 16.
[d] cap. 10. 24, 25.
[e] Vid. 2 Cor. 6. 2.
[f] ver. 8, 15. cap. 4. 7.
[g] Cf. Esa. 44. 20. Rom. 7. 11. Eph. 4. 22.
[h] ver. 6.
[i] cap. 11. 1. 2 Cor. 9. 4; 11. 17. cap. 1. 3.
[k] ver. 7. cap. 4. 7. Ps. 95. 7, 8.
[l] Num. 14. 2, 4, 11. Deut. 1. 34, 35.
[m] Ps. 78. 17 (Septuagint.).
[n] Num. 14. 24, 30. Deut. 1. 36, 38.
[o] ver. 9.
[p] Num. 14. 29 (Septuagint.). Jud. 5.
[q] Num. 14. 30. Cf. cap. 4. 2.
[r] cap. 11. 31. Cf. cap. 4. 6, 11.
[s] Ps. 78. 22; 106. 24. cap. 4. 6.
[t] ver. 12. Matt. 13. 58.
[u] Matt. 3. 9. Jac. 1. 26.
[x] cap. 12. 15. Vid. 1 Cor. 1. 7.
[y] 1 Thess. 2. 13.
[z] ver. 6. Rom. 3. 3.
[a] Ps. 95. 11. ver. 5. cap. 3. 11.
[b] cap. 9. 26. Vid. Matt. 13. 35. Cf. Gen. 1. 31.
[c] cap. 2. 6.
[d] Gen. 2. 2. Ex. 20. 11; 31. 17.
[e] ver. 11.
[f] Ps. 95 tit. (Septuagint.).

μερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ [a]σκληρύ-
8 νητε τὰς καρδίας ὑμῶν.' Εἰ γὰρ αὐτοὺς Ἰησοῦς
κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα
9 ἡμέρας· ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ
10 Θεοῦ. ὁ γὰρ εἰσελθὼν εἰς τὴν κατάπαυσιν αὐτοῦ,
[b]καὶ αὐτὸς κατέπαυσεν ἀπὸ τῶν ἔργων αὐτοῦ, [c]ὥσπερ
ϛ'. 11 ἀπὸ τῶν ἰδίων ὁ Θεός. Σπουδάσωμεν οὖν εἰσελθεῖν
εἰς ἐκείνην τὴν κατάπαυσιν, [d]ἵνα μὴ ἐν τῷ αὐτῷ τις
12 [e]ὑποδείγματι πέσῃ τῆς [f]ἀπειθείας. [g]ζῶν γὰρ ὁ λόγος
τοῦ Θεοῦ, καὶ [h]ἐνεργής, καὶ τομώτερος [i]ὑπὲρ πᾶσαν
μάχαιραν [k]δίστομον, καὶ διϊκνούμενος[1] ἄχρι μερισμοῦ
[l]ψυχῆς τε[2] καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ
13 [m]κριτικὸς **ἐνθυμήσεων**[3] καὶ [n]ἐννοιῶν καρδίας· καὶ [o]οὐκ
ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ· πάντα δὲ [p]γυμνὰ
καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ, πρὸς ὃν
ἡμῖν ὁ λόγος.
14 Ἔχοντες οὖν [q]ἀρχιερέα μέγαν, [r]διεληλυθότα τοὺς
οὐρανούς, Ἰησοῦν [s]τὸν υἱὸν τοῦ Θεοῦ, κρατῶμεν [t]τῆς
15 ὁμολογίας. οὐ γὰρ ἔχομεν [q]ἀρχιερέα [u]μὴ δυνάμενον
[4]**συμπαθῆσαι** ταῖς ἀσθενείαις ἡμῶν, [x]**πεπειραμένον**[5] δὲ
16 κατὰ πάντα καθ' ὁμοιότητα, [y]χωρὶς ἁμαρτίας. προσ-
ερχώμεθα οὖν μετὰ [z]παρρησίας τῷ θρόνῳ τῆς χάριτος,
ἵνα λάβωμεν **ἔλεον**[6], καὶ [a]χάριν εὕρωμεν εἰς εὔκαιρον
βοήθειαν.

5 ΠΑΣ γὰρ [b]ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμε-
νος, ὑπὲρ ἀνθρώπων [c]καθίσταται [d]τὰ πρὸς τὸν Θεόν,
[e]ἵνα προσφέρῃ [ef]δῶρά τε[7] καὶ [eg]θυσίας [h]ὑπὲρ ἁμαρτιῶν,
2 [b]μετριοπαθεῖν δυνάμενος [i]τοῖς ἀγνοοῦσι καὶ πλανω-
3 μένοις, ἐπεὶ [u]καὶ αὐτὸς [k]περίκειται ἀσθένειαν· [l]καὶ
διὰ ταύτην[8] ὀφείλει, καθὼς [m]περὶ τοῦ λαοῦ, οὕτω καὶ
4 [n]περὶ **ἑαυτοῦ**[9] προσφέρειν [h]**ὑπὲρ**[10] ἁμαρτιῶν. Καὶ [o]οὐχ
ἑαυτῷ τις [p]λαμβάνει τὴν τιμήν, ἀλλὰ ὁ[11] καλούμενος
5 ὑπὸ τοῦ Θεοῦ, [q]**καθάπερ**[12] καὶ ὁ[11] Ἀαρών. οὕτω καὶ ὁ
Χριστὸς οὐχ ἑαυτὸν [r]ἐδόξασε γενηθῆναι [q]ἀρχιερέα,

[1] διικνούμενος LWH. [2] —τε LTTrWHR. [3] ἐνθυμήσεως L marg. [4] συν- TWH. [5] πεπειρασμένον BELTTrWH. [6] ἔλεος LTTrWHR. [7] —τε L[TrWH]. [8] δι' αὐτὴν LTTrWHR. [9] αὐτοῦ LTr marg. [10] περὶ LTTrWHR. [11] —ὁ LTTrWHR. [12] καθὼς L, καθώσπερ TTrWHR.

[a] cap. 3. 8, 13, 15. [b] Rev. 6. 11; 14. 13. [c] ver. 4. [d] Cf. cap. 3. 12. [e] Joan. 13. 15. Jac. 5. 10. [f] ver. 6. [g] Act. 7. 38. 1 Pet. 1. 23. [h] Jer. 23. 29. 1 Thess. 2. 13. [i] Esa. 49. 2. Eph. 6. 17. [k] Ps. 149. 6. Prov. 5. 4. Rev. 1. 16; 2. 12. [l] 1 Thess. 5. 23. [m] 1 Cor. 14. 24, 25. [n] 1 Pet. 4. 1. [o] 1 Chr. 16. 9. Job 34. 21. Ps. 33. 13, 14; 139. 4, 11, 12. Prov. 15. 11. [p] Job 26. 6. [q] Vid. cap. 2. 17. [r] Vid. Luc. 24. 51, & Eph. 4. 10. [s] Vid. cap. 1. 2. [t] Vid. cap. 3. 1. Cf. cap. 5. 5, 10. [u] Esa. 53. 3. cap. 5. 2. [x] cap. 2. 17, 18. [y] cap. 9. 28. Cf. Joan. 8. 46; 14. 30. cap. 7. 26. 1 Pet. 2. 22. [z] cap. 10. 19. Eph. 3. 12. Vid. cap. 8. 6. [a] Cf. cap. 12. 28. Vid. Luc. 1. 30. [b] Vid. cap. 2. 17. [c] cap. 8. 3. [d] Vid. Rom. 15. 17. [e] cap. 9. 9; 11. 4.

[f] cap. 8. 4. [g] cap. 10. 11. [h] ver. 3 (var. lect.). Vid. 1 Cor. 15. 3. [i] Cf. cap. 3. 10. [k] cap. 7. 28. [l] Lev. 4. 3; 9. 7. cap. 7. 27; 9. 7. [m] Lev. 16. 15, 16. [n] Lev. 16. 6. [o] Num. 16. 5, 40; 18. 7. 2 Chr. 26. 18. [p] Joan. 3. 27. [q] 1 Chr. 23. 13. [r] Vid. Joan. 8. 54.

ἀλλ᾽ ὁ λαλήσας πρὸς αὐτόν, [a]'Υἱός μου εἶ σύ, ἐγὼ
σήμερον γεγέννηκά σε.' καθὼς καὶ ἐν ἑτέρῳ λέγει, 6
[b]'Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.'
[c]Ὃς ἐν ταῖς ἡμέραις τῆς σαρκὸς αὐτοῦ, [d]δεήσεις τε καὶ 7
ἱκετηρίας [e]πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ θανά-
του, [f]μετὰ κραυγῆς ἰσχυρᾶς καὶ [g]δακρύων προσενέγκας,
καὶ [h]εἰσακουσθεὶς ἀπὸ τῆς [i]εὐλαβείας, [k]καίπερ ὢν υἱός, 8
[l]ἔμαθεν ἀφ᾽ ὧν ἔπαθε [m]τὴν ὑπακοήν, καὶ [n]τελειωθεὶς 9
ἐγένετο **τοῖς ὑπακούουσιν αὐτῷ πᾶσιν**[1] [o]αἴτιος [p]σωτηρίας
[q]αἰωνίου· προσαγορευθεὶς ὑπὸ τοῦ Θεοῦ [b c]ἀρχιερεὺς 10
κατὰ τὴν τάξιν Μελχισεδέκ.

Περὶ οὗ πολὺς ἡμῖν ὁ λόγος καὶ [r]δυσερμήνευτος 11 Ζ'.
λέγειν, ἐπεὶ [s]νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. καὶ γὰρ 12
ὀφείλοντες εἶναι διδάσκαλοι [t]διὰ τὸν χρόνον, πάλιν
χρείαν ἔχετε τοῦ διδάσκειν ὑμᾶς, τίνα[2] [u]τὰ στοιχεῖα
[x]τῆς ἀρχῆς [y]τῶν λογίων τοῦ Θεοῦ· καὶ [z]γεγόνατε χρείαν
ἔχοντες γάλακτος, **καὶ**[3] οὐ στερεᾶς τροφῆς. πᾶς γὰρ 13
ὁ μετέχων γάλακτος, ἄπειρος λόγου δικαιοσύνης·
[a]νήπιος γάρ ἐστι· [b]τελείων δέ ἐστιν ἡ στερεὰ τροφή, 14
τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια [c]γεγυμνασμένα ἐχόν-
των [d]πρὸς [e]διάκρισιν καλοῦ τε καὶ κακοῦ.

ΔΙΟ ἀφέντες [w f]τὸν τῆς ἀρχῆς τοῦ Χριστοῦ λόγον, ἐπὶ 6
[b]τὴν [g]τελειότητα φερώμεθα· μὴ πάλιν [h]θεμέλιον κατα-
βαλλόμενοι μετανοίας [i]ἀπὸ νεκρῶν ἔργων, καὶ πίστεως
ἐπὶ Θεόν, [k]βαπτισμῶν **διδαχῆς**[4], [l]ἐπιθέσεώς τε χειρῶν, 2
[m]ἀναστάσεώς **τε**[5] νεκρῶν, καὶ [n]κρίματος αἰωνίου. καὶ 3
τοῦτο **ποιήσομεν**[6], [o]ἐάνπερ ἐπιτρέπῃ ὁ Θεός. [p]Ἀδύνα- 4
τον γὰρ [q]τοὺς ἅπαξ φωτισθέντας,[7] γευσαμένους τε τῆς
[r]δωρεᾶς τῆς ἐπουρανίου, καὶ [s]μετόχους γενηθέντας Πνεύ-
ματος Ἁγίου, καὶ καλὸν [t]γευσαμένους Θεοῦ [u]ῥῆμα, δυ- 5
νάμεις τε [x]μέλλοντος αἰῶνος, καὶ παραπεσόντας, πάλιν 6
ἀνακαινίζειν [y]εἰς μετάνοιαν, [z]ἀνασταυροῦντας ἑαυτοῖς
[k]τὸν υἱὸν τοῦ Θεοῦ καὶ [a]παραδειγματίζοντας. [b]γῆ γὰρ 7
ἡ πιοῦσα τὸν ἐπ᾽ αὐτῆς **πολλάκις ἐρχόμενον**[8] ὑετόν, καὶ

[a] Ps. 2. 7. cap. 1. 5. Act. 13. 33. [b] Ps. 110. 4. ver. 10. cap. 6. 20; 7. 8, 11, 17, 21. [c] Cf. cap. 2. 17. [d] Matt. 26. 39, 44. Marc. 14. 36, 39. [e] Marc. 14. 36. [f] Ps. 22. 1, 2. Matt. 27. 46, 50. Marc. 15. 34, 37. Luc. 22. 44; 23. 46. [g] Cf. Luc. 19. 41. [h] Ps. 22. 24. [i] cap. 12. 28. Cf. cap. 11. 7. [k] cap. 6. 6. Vid. cap. 1. 2. [l] Phil. 2. 8. [m] Rom. 5. 19. [n] Cf. Phil. 3. 12. [o] Cf. cap. 2. 10. [p] cap. 9. 28. [q] cap. 9. 12, 15. [r] Cf. 2 Pet. 3. 16. [s] cap. 6. 12. [t] cap. 10. 32. [u] Vid. Gal. 4. 3. [x] Cf. cap. 6. 1. [y] Act. 7. 38. [z] 1 Cor. 3. 2. 1 Pet. 2. 2. [a] Vid. 1 Cor. 3. 1 & 14. 20. [b] Eph. 4. 13. Cf. cap. 6. 1. [c] cap. 12. 11. Vid. 2 Pet. 2. 14. [d] Gen. 3. 22. 1 Reg. 3. 9. Esa. 7. 15.

[1] πᾶσιν τοῖς ὑπακούουσιν αὐτῷ LTTrWHR. [2] ὑμᾶς τινὰ LWHR (*non marg.*). [3] —καὶ T[Tr]WH (*non marg.*). [4] διδαχήν L (*non marg.*) WH (*non marg.*) R *marg.* [5] —τε [Tr]WH (*non marg.*). [6] ποιήσωμεν L *marg.* [7] — , WH (*non marg.*) R (*non marg.*). [8] ἐρχόμενον πολλάκις LTTrWHR.

[e] Vid. Rom. 14. 1. [f] Phil. 3. 13. [g] Col. 3. 14. [h] Vid. 1 Cor. 3. 11. [i] cap. 9. 14. [k] cap. 9. 10. Act. 19. 4, 5. [l] Act. 8. 17; 19. 6. [m] Act. 17. 31, 32. [n] Vid. Act. 10. 42. [o] 1 Cor. 16. 7. Vid. Act. 18. 21. [p] Matt. 19. 26. Cf. cap. 10. 26, 27. 2 Pet. 2. 21. 1 Joan. 5. 16. [q] cap. 10. 32. Eph. 1. 18. [r] Joan. 4. 10. [s] cap. 2. 4. [t] 1 Pet. 2. 3. [u] Eph. 5. 26; 6. 17. [x] cap. 2. 5. [y] Cf. cap. 12. 17. [z] Cf. cap. 10. 29. [a] Matt. 1. 19 (var. lect.). [b] Deut. 11. 11. Ps. 65. 10.

τίκτουσα βοτάνην εὔθετον ἐκείνοις [a]δι' οὓς καὶ γεωρ-
8 γεῖται, μεταλαμβάνει [b]εὐλογίας ἀπὸ τοῦ Θεοῦ· [c]ἐκφέ-
ρουσα δὲ ἀκάνθας καὶ τριβόλους, [d]ἀδόκιμος καὶ κατά-
9 ρας [e]ἐγγύς, ἧς τὸ τέλος [f]εἰς καῦσιν. [g]Πεπείσμεθα δὲ
περὶ ὑμῶν, ἀγαπητοί, [h]τὰ κρείττονα[1] καὶ ἐχόμενα σω-
10 τηρίας, εἰ καὶ οὕτω λαλοῦμεν. [i]οὐ γὰρ ἄδικος ὁ Θεὸς
ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν, καὶ [k]τοῦ κόπου[2] τῆς
ἀγάπης [l]ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, [m]διακονή-
11 σαντες τοῖς ἁγίοις καὶ [n]διακονοῦντες. ἐπιθυμοῦμεν
δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι [o]σπουδὴν
12 πρὸς [p]τὴν πληροφορίαν [q]τῆς ἐλπίδος [r]ἄχρι τέλους· ἵνα
μὴ [s]νωθροὶ γένησθε, [t]μιμηταὶ δὲ τῶν [u]διὰ πίστεως καὶ
Η'. 13 [x]μακροθυμίας [ux]κληρονομούντων [y]τὰς ἐπαγγελίας. Τῷ
γὰρ Ἀβραὰμ [z]ἐπαγγειλάμενος ὁ Θεός, ἐπεὶ κατ' οὐ-
δενὸς εἶχε μείζονος ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ,
14 λέγων, [a]'Ἦ[3] μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύ-
15 νων πληθυνῶ σε·' καὶ οὕτω [x]μακροθυμήσας ἐπέτυχε
16 [yb]τῆς ἐπαγγελίας. ἄνθρωποι μὲν[4] γὰρ κατὰ τοῦ μεί-
ζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς [c]ἀντιλογίας πέρας
17 εἰς [d]βεβαίωσιν [e]ὁ ὅρκος· ἐν ᾧ περισσότερον βουλόμε-
νος ὁ Θεὸς ἐπιδεῖξαι τοῖς κληρονόμοις [y]τῆς ἐπαγγελίας
[f]τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, [g]ἐμεσίτευσεν ὅρκῳ,
18 ἵνα διὰ δύο πραγμάτων [f]ἀμεταθέτων, ἐν οἷς [h]ἀδύνατον
ψεύσασθαι[5] Θεόν, ἰσχυρὰν παράκλησιν ἔχωμεν οἱ
καταφυγόντες κρατῆσαι [i]τῆς προκειμένης ἐλπίδος·
19 ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ[6] τε καὶ
βεβαίαν, καὶ εἰσερχομένην [k]εἰς τὸ ἐσώτερον τοῦ κατα-
20 πετάσματος, ὅπου [l]πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν
Ἰησοῦς, [m]κατὰ τὴν τάξιν Μελχισεδὲκ [n]ἀρχιερεὺς γενό-
μενος εἰς τὸν αἰῶνα.

Θ'. 7 ΟΥΤΟΣ γὰρ [o]ὁ Μελχισεδέκ, βασιλεὺς [p]Σαλήμ,
ἱερεὺς [q]τοῦ Θεοῦ τοῦ[7] ὑψίστου, ὁ[8] συναντήσας Ἀβραὰμ
ὑποστρέφοντι ἀπὸ τῆς κοπῆς τῶν βασιλέων, καὶ
2 εὐλογήσας αὐτόν· [o]ᾧ καὶ δεκάτην ἀπὸ πάντων ἐμέρι-

[1] κρείσσονα LTTrWH. [2] —τοῦ κόπου LTTrWHR. [3] Εἰ LTTrWHR. [4] —μὲν LTTrWHR. [5] + τὸν TWH *marg.* [6] ἀσφαλήν LTr. [7] —τοῦ BE. [8] ὃς LTr, † ὁ † WH *text.*, *at* ὃς WH *marg.* *Ap.*

[a] Cf. 2 Tim. 2. 6. [b] Gen. 27. 27. Deut. 33. 13. [c] Esa. 5. 6. Cf. Gen. 3. 18. Deut. 29. 22, 23. Jer. 44. 22. [d] Vid. 1 Cor. 9. 27. [e] cap. 8. 13. [f] Cf. Mal. 4. 1. Joan. 15. 6. [g] Rom. 15. 14. [h] cap. 7. 19, 22; 8. 6; 9. 23; 10. 34; 11. 16, 35, 40; 12. 24. [i] Prov. 19. 17. Matt. 10. 42. 2 Thess. 1. 6, 7. [k] 1 Thess. 1. 3. Col. 1. 4 (var. lect.). [l] Matt. 25. 40. Cf. Act. 10. 4. [m] 2 Tim. 1. 18. Vid. Rom. 15. 31. [n] Cf. cap. 13. 1. [o] Vid. Rom. 12. 8. [p] cap. 10. 22. Vid. Luc. 1. 1. [q] cap. 3. 6. ver. 18. [r] Rev. 2. 26. [s] cap. 5. 11. [t] cap. 13. 7. [u] Gal. 3. 7. [x] ver. 15. [y] ver. 15, 17. cap. 10. 36. Cf. Gal. 3. 18, 29. [z] Gen. 22. 16. [a] Gen. 22. 17. Cf. Luc. 1. 73. [b] cap. 7. 6; 11. 9, 17. Vid. Rom. 4. 13. [c] cap. 7. 7; 12. 3. Jud. 11. [d] Phil. 1. 7.
[e] Ex. 22. 11. [f] ver. 18. Cf. Ps. 110. 4. Prov. 19. 21. [g] Cf. Gal. 3. 19. [h] Vid. Tit. 1. 2. [i] cap. 12. 1, 2. [k] Lev. 16. 15. cap. 9. 3, 7. [l] Cf. cap. 4. 14. [m] Vid. cap. 5. 6. [n] Vid. cap. 2. 17. [o] ver. 6. Gen. 14. 18—20. [p] Ps. 76. 2. ver. 2. [q] Vid. Marc. 5. 7.

σεν Ἀβραάμ· πρῶτον μὲν ἑρμηνευόμενος **βασιλεὺς**
δικαιοσύνης, ἔπειτα δὲ καὶ βασιλεὺς Σαλήμ, ὅ ἐστι
βασιλεὺς [a]εἰρήνης· ἀπάτωρ, ἀμήτωρ, [b]ἀγενεαλόγητος· 3
μήτε ἀρχὴν ἡμερῶν, μήτε ζωῆς τέλος ἔχων· ἀφωμοιω-
μένος δὲ [c]τῷ υἱῷ τοῦ Θεοῦ, μένει ἱερεὺς [d]εἰς τὸ διηνεκές.
Θεωρεῖτε δὲ πηλίκος οὗτος, ᾧ **καὶ**[1] δεκάτην Ἀβραὰμ 4
ἔδωκεν ἐκ τῶν ἀκροθινίων [e]ὁ πατριάρχης. καὶ οἱ μὲν 5
ἐκ τῶν υἱῶν[2] **Λευὶ**[3] τὴν ἱερατείαν λαμβάνοντες [f]ἐντο-
λὴν ἔχουσιν **ἀποδεκατοῦν**[4] τὸν λαὸν κατὰ τὸν νόμον,
τουτέστι[5] τοὺς ἀδελφοὺς αὐτῶν, καίπερ ἐξεληλυθό-
τας [g]ἐκ τῆς ὀσφύος Ἀβραάμ· [b]ὁ δὲ μὴ γενεαλογούμε- 6
νος ἐξ αὐτῶν, [h]δεδεκάτωκε **τὸν**[6] Ἀβραάμ, καὶ τὸν
ἔχοντα [i]τὰς ἐπαγγελίας [k]**εὐλόγηκε**[7]· χωρὶς δὲ πάσης 7
[k]ἀντιλογίας, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖ-
ται. καὶ ὧδε μὲν δεκάτας [f]ἀποθνήσκοντες ἄνθρωποι 8
λαμβάνουσιν· [l]ἐκεῖ δέ, μαρτυρούμενος [m]ὅτι ζῇ. καί, 9
ὡς ἔπος **εἰπεῖν**[8], **διὰ**[9] Ἀβραὰμ καὶ **Λευὶ**[10] [e]ὁ δεκάτας
λαμβάνων δεδεκάτωται· ἔτι γὰρ [g]ἐν τῇ ὀσφύϊ τοῦ 10
πατρὸς ἦν, ὅτε συνήντησεν αὐτῷ ὁ[11] Μελχισεδέκ.
[n]Εἰ μὲν οὖν τελείωσις διὰ τῆς **Λευϊτικῆς**[12] ἱερωσύνης 11 Γ'.
ἦν· ὁ λαὸς γὰρ ἐπ' **αὐτῇ**[13] [o]**νενομοθέτητο**[14]· τίς ἔτι
χρεία, [l]κατὰ τὴν τάξιν Μελχισεδὲκ' ἕτερον ἀνίστασ-
θαι ἱερέα, καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι;
μετατιθεμένης γὰρ τῆς ἱερωσύνης, ἐξ ἀνάγκης καὶ 12
νόμου μετάθεσις γίνεται. ἐφ' ὃν γὰρ λέγεται ταῦτα, 13
[p]φυλῆς ἑτέρας [q]μετέσχηκεν, ἀφ' ἧς οὐδεὶς προσέσχηκε
τῷ θυσιαστηρίῳ· [r]πρόδηλον γὰρ [p]ὅτι [s]ἐξ Ἰούδα ἀνατέ- 14
ταλκεν ὁ Κύριος ἡμῶν, εἰς ἣν φυλὴν **οὐδὲν περὶ ἱερω-
σύνης**[15] **Μωσῆς**[16] ἐλάλησε. Καὶ περισσότερον ἔτι 15
κατάδηλόν ἐστιν, εἰ κατὰ τὴν ὁμοιότητα Μελχισεδὲκ
ἀνίσταται ἱερεὺς ἕτερος, ὃς οὐ κατὰ νόμον ἐντολῆς 16
[t]**σαρκικῆς**[17] γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκατα-

[a] Ps. 76. 2 (Septuagint.).
[b] Cf. ver. 6.
[c] ver. 28. Vid. cap. 1. 2.
[d] cap. 10. 1, 12, 14.
[e] Vid. Act. 2. 29.
[f] Num. 18. 21, 26. 2 Chr. 31. 4, 5.
[g] ver. 10.
[h] ver. 1, 2.
[i] Vid. cap. 6. 15.
[k] Vid. cap. 6. 16.
[l] ver. 11, 17, 21. Vid. cap. 5. 6.
[m] Vid. Luc. 24. 5.
[n] Cf. ver. 18, 19. cap. 8. 7. Gal. 2. 21.
[o] cap. 8. 6.
[p] ver. 14.
[q] cap. 2. 14.
[r] 1 Tim. 5. 24, 25.
[s] Esa. 11. 1. Mic. 5. 2. Matt. 1. 3. Luc. 3. 33. Rev. 5. 5.
[t] Cf. cap. 9. 10. Gal. 3. 3. Vid. Rom. 7. 14.

[1] –*καὶ* LTrWH (*non marg.*) R. [2] –*υἱῶν* L *errore*. [3] Λευεὶ TTrWH. [4] *ἀποδεκατοῖν* TTrWH. [5] *τοῦτ' ἔστιν* TWH. [6] (*ν*) –*τὸν* LTTrWHR. [7] *ηὐλόγηκεν* L. [8] *εἶπεν* L *marg.* [9] *δι'* LT (*ita vult*) TrWH. [10] Λευὶς L, Λευεὶς TTrWH. [11] –*ὁ* LT (*ita vult*) TrWHR. [12] Λευειτικῆς TWH. [13] *αὐτῆς* LTTrWHR. [14] *νενομοθέτηται* LTTrWHR. [15] *περὶ ἱερέων οὐδὲν* LTTrWHR. [16] Μωυσῆς LT(-ϋ-)TrWH. [17] *σαρκίνης* LTTrWHR.

17 λύτου· **μαρτυρεῖ**[1] γάρ, [a]‘Ὅτι σὺ ἱερεὺς εἰς τὸν αἰῶνα
18 κατὰ τὴν τάξιν Μελχισεδέκ.’ [b]Ἀθέτησις μὲν γὰρ γί-
νεται προαγούσης ἐντολῆς, διὰ τὸ αὐτῆς [c]ἀσθενὲς καὶ
19 [d]ἀνωφελές·[2] [e]οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος,[3] ἐπεισα-
γωγὴ δὲ[4] [f]κρείττονος [g]ἐλπίδος, δι᾽ ἧς [h]ἐγγίζομεν τῷ Θεῷ.
20, 21 Καὶ καθ᾽ ὅσον οὐ χωρὶς [i]ὁρκωμοσίας· οἱ μὲν γάρ,
χωρὶς ὁρκωμοσίας εἰσὶν ἱερεῖς γεγονότες, ὁ δέ, **μετὰ**[5]
[i]ὁρκωμοσίας, [k]διὰ τοῦ λέγοντος πρὸς αὐτόν, [a]‘Ὤμοσε
Κύριος καὶ οὐ [l]μεταμεληθήσεται, [a]Σὺ ἱερεὺς [m]εἰς τὸν
22 αἰῶνα[6] **κατὰ τὴν τάξιν Μελχισεδέκ**[7]·’ [n]κατὰ **τοσοῦτον**[8]
23 [f 9]κρείττονος [o]διαθήκης γέγονεν [p]ἔγγυος Ἰησοῦς. Καὶ οἱ
μέν, πλείονές **εἰσι γεγονότες ἱερεῖς**[10], διὰ τὸ θανάτῳ
24 κωλύεσθαι παραμένειν· ὁ δέ, διὰ τὸ μένειν αὐτὸν [m]εἰς
25 τὸν αἰῶνα, ἀπαράβατον ἔχει τὴν ἱερωσύνην· ὅθεν καὶ
σώζειν [q]εἰς τὸ παντελὲς δύναται [h r]τοὺς προσερχομένους
δι᾽ αὐτοῦ τῷ Θεῷ, πάντοτε ζῶν εἰς τὸ [s]ἐντυγχάνειν
26 [t]ὑπὲρ αὐτῶν. τοιοῦτος γὰρ ἡμῖν[11,12] ἔπρεπεν [u]ἀρχιε-
ρεύς, [x]ὅσιος, [y]ἄκακος, ἀμίαντος, [z]κεχωρισμένος ἀπὸ τῶν
ἁμαρτωλῶν, καὶ [a]ὑψηλότερος τῶν οὐρανῶν γενόμενος·
27 ὃς οὐκ ἔχει [b]καθ᾽ ἡμέραν ἀνάγκην, ὥσπερ οἱ ἀρχιερεῖς,
πρότερον [c]ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν,
ἔπειτα τῶν τοῦ λαοῦ· τοῦτο γὰρ ἐποίησεν [d]ἐφάπαξ[13],
28 [e]ἑαυτὸν **ἀνενέγκας**[14]. ὁ νόμος γὰρ ἀνθρώπους καθίστη-
σιν[15] [u]ἀρχιερεῖς, [f]ἔχοντας ἀσθένειαν· ὁ λόγος δὲ τῆς
[i]ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον, [g]υἱὸν [m]εἰς τὸν αἰῶνα
[h]τετελειωμένον.

8 ΚΕΦΑΛΑΙΟΝ δὲ ἐπὶ τοῖς λεγομένοις, τοιοῦτον
ἔχομεν [u]ἀρχιερέα, [i]ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου
2 τῆς μεγαλωσύνης [a]ἐν τοῖς οὐρανοῖς, [k]τῶν ἁγίων [l]λει-
τουργός, καὶ [m]τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν [n]ἔπηξεν ὁ
3 Κύριος, **καὶ**[16] οὐκ ἄνθρωπος. πᾶς γὰρ [u]ἀρχιερεὺς εἰς
τὸ προσφέρειν [o]δῶρά τε καὶ θυσίας [o]καθίσταται· ὅθεν
4 ἀναγκαῖον ἔχειν τι καὶ τοῦτον ὃ προσενέγκῃ. εἰ μὲν

[a] ver. 8, 21. [b] cap. 9. 26. Cf. cap. 10. 28. [c] Rom. 8. 3. [d] cap. 13. 9. [e] cap. 9. 9; 10. 1. Vid. Act. 13. 39. [f] Vid. cap. 6. 9. ver. 22. [g] Vid. cap. 3. 6. [h] Jac. 4. 8. Cf. ver. 25. Lev. 10. 3. [i] ver. 21, 28. [k] ver. 11, 17. cap. 5. 6. [l] Vid. Matt. 21. 29. [m] ver. 24, 28. [n] cap. 1. 4. [o] Vid. Rom. 9. 4. [p] Job 17. 3. [q] Luc. 13. 11. [r] cap. 4. 16; 11. 6. [s] Rom. 8. 34. Cf. 1 Joan. 2. 1. [t] cap. 9. 24. [u] ver. 28. cap. 8. 1, 3. Vid. cap. 2. 17. [x] Ps. 16. 10. Rev. 15. 4; 16. 5. [y] Rom. 16. 18. [z] Vid. cap. 4. 15. [a] Eph. 4. 10. Cf. cap. 4. 14; 8. 1. [b] cap. 10. 11. [c] cap. 5. 3; 9. 7. [d] Rom. 6. 10. cap. 9. 12; 10. 10. [e] Vid. Eph. 5. 2. cap. 9. 14; 10. 12. [f] cap. 5. 2. [g] ver. 3. [h] Lev. 21. 10 (Septuagint.). Vid. cap. 2 10.

[1] *μαρτυρεῖται* LTTrWHR. [2] *ἀνωφελές*, WH. [3] *ἀνωφελὲς (οὐδὲν γὰρ ἐτελείωσεν ὁ νόμος)*, R. [4] *ἐπεισαγωγὴ δὲ*... WHR. [5] *μεθ᾽* L. [6] *ver.* 20—21 *ὁρκωμοσίας, (οἱ μὲν γὰρ...εἰς τὸν αἰῶνα,)* WHR. [7] —*κατὰ τὴν τάξιν Μελχισεδέκ* TTrWHR. [8] *τοσοῦτο* LTTrWHR. [9] + *καὶ* T[Tr *marg.*]WHR. [10] *ἱερεῖς γεγονότες* LTr *marg.* [11] *ὑμῖν* T *errore.* [12] + *καὶ* TTr[LWH]. [13] *ἐφ᾽ ἅπαξ* Tr. [14] *προσενέγκας* TTr *marg.* WH *marg.* [15] *καθίστησαν* L *errore.* [16] —*καὶ* LTTrWHR.

[i] Vid. cap. 1. 3. [k] cap. 9. 1, 2, 8, 12, 24, 25; 10. 19; 13. 11. [l] cap. 1. 7. Vid. Rom. 13. 6. [m] Cf. cap. 9. 11, 24. [n] Ex. 33. 7. [o] cap. 5. 1.

γὰρ[1] ἦν ἐπὶ γῆς, οὐδ᾽ ἂν ἦν ἱερεύς, ὄντων **τῶν ἱερέων**[2]
τῶν [a]προσφερόντων κατὰ **τὸν**[3] νόμον [a]τὰ δῶρα, οἵτινες 5
[b]ὑποδείγματι καὶ [c]σκιᾷ λατρεύουσι τῶν ἐπουρανίων,
καθὼς [d]κεχρημάτισται **Μωσῆς**[4] μέλλων ἐπιτελεῖν [e]τὴν
σκηνήν, [f]'Ὅρα,' γάρ φησι, '**ποιήσῃς**[5] πάντα κατὰ
τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει·' **νυνὶ**[6] δὲ 6
[g]διαφορωτέρας **τέτευχε**[7] [h]λειτουργίας, ὅσῳ καὶ [i]κρείτ-
τονός ἐστι διαθήκης [k]μεσίτης, ἥτις ἐπὶ κρείττοσιν
ἐπαγγελίαις [l]νενομοθέτηται. [l]Εἰ γὰρ ἡ πρώτη ἐκείνη 7 ΙΑ'.
ἦν ἄμεμπτος, οὐκ ἂν δευτέρας ἐζητεῖτο τόπος. μεμ- 8
φόμενος γὰρ **αὐτοῖς**[8] λέγει, [m]'Ἰδού, ἡμέραι ἔρχονται,
λέγει Κύριος, καὶ συντελέσω ἐπὶ τὸν οἶκον Ἰσραὴλ
καὶ ἐπὶ τὸν οἶκον Ἰούδα [n]διαθήκην καινήν· [m]οὐ κατὰ 9
τὴν διαθήκην ἣν ἐποίησα τοῖς πατράσιν αὐτῶν, ἐν
ἡμέρᾳ [o]ἐπιλαβομένου μου[9] τῆς χειρὸς αὐτῶν, [p]ἐξαγα-
γεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ὅτι αὐτοὶ οὐκ ἐνέ-
μειναν ἐν τῇ διαθήκῃ μου, κἀγὼ ἠμέλησα αὐτῶν,
λέγει Κύριος. [m q]ὅτι αὕτη ἡ διαθήκη[10] ἣν διαθήσομαι 10
τῷ οἴκῳ Ἰσραὴλ μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει
Κύριος, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν,
καὶ [r]ἐπὶ **καρδίας**[11] αὐτῶν ἐπιγράψω αὐτούς· καὶ ἔσομαι
αὐτοῖς εἰς Θεόν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν.
[m]καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν **πλησίον**[12] αὐτοῦ, 11
καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων, Γνῶθι τὸν
Κύριον· ὅτι [s]πάντες εἰδήσουσί με, [t]ἀπὸ μικροῦ **αὐ-
τῶν**[13] ἕως μεγάλου αὐτῶν· ὅτι ἵλεως ἔσομαι ταῖς 12
ἀδικίαις αὐτῶν, καὶ [q u]τῶν ἁμαρτιῶν αὐτῶν **καὶ τῶν
ἀνομιῶν αὐτῶν**[14] οὐ μὴ μνησθῶ ἔτι.' Ἐν τῷ λέγειν, 13
[n]'Καινήν,' πεπαλαίωκε τὴν πρώτην· τὸ δὲ [x]παλαιού-
μενον καὶ γηράσκον, [y]ἐγγὺς ἀφανισμοῦ.

ΕΙΧΕ μὲν οὖν **καὶ**[15] ἡ πρώτη **σκηνὴ**[16] [z]δικαιώματα 9
[a]λατρείας, [b]τό τε ἅγιον κοσμικόν. [c]Σκηνὴ γὰρ [d]κατε- 2
σκευάσθη [c]ἡ πρώτη, ἐν ᾗ [e]ἥ τε λυχνία καὶ [f]ἡ τράπεζα

[a] cap. 5. 1. [b] cap. 9. 23. [c] cap. 10. 1. Vid. Col. 2. 17. [d] cap. 11. 7; 12. 25. Vid. Luc. 2. 26. [e] Vid. Act. 7. 44. [f] Ex. 25. 40; 26. 30; 27. 8. Num. 8. 4. [g] cap. 1. 4. [h] cap. 1. 7; 9. 21; 10. 11. Vid. Luc. 1. 23. [i] Vid. cap. 6. 9. [k] Vid. Gal. 3. 19. [l] Cf. cap. 7. 11. [m] Jer. 31. 31—34. [n] ver. 18. cap. 9. 15. 2 Cor. 3. 6. Vid. Luc. 22. 20. [o] cap. 2. 16. [p] Act. 7. 36. [q] cap. 10. 16. Cf. Rom. 11. 27. [r] Cf. 2 Cor. 3. 3. [s] Cf. Joan. 6. 45. 1 Joan. 2. 17. [t] Vid. Act. 8. 10. [u] cap. 10. 17. [x] Cf. 2 Cor. 5. 17. [y] cap. 6. 8. [z] ver. 10. Ex. 15. 25, 26 (Septuagint.). [a] ver. 6. Rom. 9. 4. [b] ver. 2, 8, 12, 24, 25. Vid. cap. 8. 2. [c] Ex. 26. 1. ver. 6. [d] Vid. cap. 3. 3. [e] Ex. 25. 31—39. [f] Ex. 26. 35; 40. 4.

[1] οὖν LTTrWHR. [2] —τῶν ἱερέων LTTrWHR. [3] —τὸν LTTrWHR. [4] Μωυσῆς LT(-ϋ-)TrWH. [5] ποιήσεις LTTrWHR. [6] νῦν LTr *marg.* WH (*non marg.*). [7] τέτυχεν LTTr *marg.* WHR. [8] αὐτοὺς LTTr *marg.* WH (*non marg.*). [9] —μου E. [10] + [μου] L. [11] καρδίαν TWH *marg.* [12] πολίτην LTTrWHR. [13] —αὐτῶν LTTrWHR. [14] —καὶ τῶν ἀνομιῶν αὐτῶν TTrWHR. [15] [καὶ] TrWH. [16] —σκηνὴ BLTTrWHR.

3 καὶ [a]ἡ πρόθεσις τῶν ἄρτων[1], ἥτις λέγεται[2] [b]**ἁγία**[3]. μετὰ
δὲ [c]τὸ δεύτερον [d]καταπέτασμα σκηνὴ ἡ λεγομένη[4] [e]ἅγια
4 [5]ἁγίων, **χρυσοῦν**[6] ἔχουσα [f]**θυμιατήριον, καὶ**[6] [g]τὴν κιβω-
τὸν [h]τῆς διαθήκης [i]περικεκαλυμμένην πάντοθεν χρυ-
σίῳ, [k]ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ [l]ἡ
ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ [m]αἱ πλάκες τῆς
5 διαθήκης· ὑπεράνω δὲ αὐτῆς [n]**Χερουβὶμ**[7] δόξης, κατα-
σκιάζοντα [o]τὸ ἱλαστήριον· περὶ ὧν οὐκ ἔστι νῦν λέ-
6 γειν κατὰ μέρος. Τούτων δὲ οὕτω [p]κατεσκευασμένων,
εἰς μὲν [q]τὴν πρώτην σκηνὴν [r]διαπαντὸς[8] εἰσίασιν οἱ
7 ἱερεῖς [h]τὰς λατρείας ἐπιτελοῦντες· [s]εἰς δὲ [e]τὴν δευτέ-
ραν [t]ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ ἀρχιερεύς, οὐ χωρὶς
αἵματος, [u]ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ καὶ τῶν τοῦ λαοῦ
8 [x]ἀγνοημάτων· τοῦτο δηλοῦντος [y]τοῦ Πνεύματος τοῦ
Ἁγίου, μήπω πεφανερῶσθαι τὴν [b]τῶν ἁγίων [z]ὁδόν, ἔτι
9 [q]τῆς πρώτης σκηνῆς ἐχούσης στάσιν· ἥτις [a]παραβολὴ
εἰς τὸν καιρὸν τὸν ἐνεστηκότα, καθ' ὃν[9] [b]δῶρά τε καὶ
[b]θυσίαι προσφέρονται, μὴ δυνάμεναι κατὰ συνείδησιν
10 [c]τελειῶσαι τὸν λατρεύοντα, μόνον[10] ἐπὶ [d][e]βρώμασι καὶ
πόμασι καὶ [f]διαφόροις [g]βαπτισμοῖς[10], **καὶ** [h]**δικαιώμασι**[11]
ΙΒ'. 11 [i]σαρκός, μέχρι καιροῦ διορθώσεως ἐπικείμενα. Χρισ-
τὸς δὲ παραγενόμενος [k]ἀρχιερεὺς [l]τῶν **μελλόντων**[12] ἀγα-
θῶν, [m]διὰ τῆς μείζονος καὶ τελειοτέρας σκηνῆς, οὐ
[n]χειροποιήτου, τουτέστιν[13], οὐ ταύτης τῆς κτίσεως,
12 οὐδὲ [o]δι' αἵματος τράγων καὶ μόσχων, [p]διὰ δὲ τοῦ
ἰδίου αἵματος εἰσῆλθεν [q]ἐφάπαξ[14] εἰς [b]τὰ ἅγια, [r]αἰωνίαν
13 [s]λύτρωσιν **εὑράμενος**[15]. [t]εἰ γὰρ [o]τὸ αἷμα **ταύρων καὶ τρά-
γων**[16], καὶ [u]σποδὸς δαμάλεως [x]ῥαντίζουσα τοὺς κεκοι-
νωμένους, ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα,
14 πόσῳ μᾶλλον [o]τὸ αἷμα τοῦ Χριστοῦ, ὃς διὰ πνεύ-
ματος αἰωνίου ἑαυτὸν [y]προσήνεγκεν [z]ἄμωμον τῷ Θεῷ,
[a]καθαριεῖ [b]τὴν συνείδησιν ὑμῶν[17] [c]ἀπὸ νεκρῶν ἔργων,
15 εἰς τὸ [d]λατρεύειν [e]Θεῷ ζῶντι[18];[19] Καὶ διὰ τοῦτο δια-

[a] Ex. 25. 23—30. [b] Vid. ver. 1. [c] Ex. 26. 31—33; 40. 8, 21. Cf. ver. 7. cap. 10. 20. [d] cap. 6. 19. [e] Ex. 26. 33. [f] 2 Chr. 26. 19. Ezek. 8. 11. Cf. Lev. 16. 12, 13. Rev. 8. 3. [g] Ex. 25. 10; 26. 33; 40. 3, 21. Rev. 11. 19. [h] Vid. Rom. 9. 4. [i] Ex. 25. 11. [k] Ex. 16. 33, 34. [l] Num. 17. 10. [m] Ex. 25. 16, 21; 40. 20. Deut. 10. 2, 5. Cf. 1 Reg. 8. 9. 2 Chr. 5. 10. [n] Ex. 25. 18—22. 1 Reg. 8. 6, 7. [o] Lev. 16. 2, 13, 15. Cf. Rom. 3. 25. [p] ver. 2. [q] ver. 1, 8. [r] Cf. Num. 28. 3. [s] ver. 3. cap. 6. 19. [t] Lev. 16. 34. ver. 25. Cf. cap. 10. 3. [u] cap. 5. 3; 7. 27. [x] Ecclus. 23. 2 (Gr.). [y] Vid. Act. 1. 16 & cap. 3. 7. [z] cap. 10. 20. Joan. 14. 6. [a] cap. 11. 19. [b] cap. 5. 1; 11. 4. [c] cap. 7. 19; 10. 1, 11.

[1] + [καὶ τὸ χρυσοῦν θυμιατήριον] Tr *marg.* [2] + τὰ WH *marg.* [3] ἅγια BETTrWHR, *at* ἅγια. ἁγίων L. [4] + τὰ TrWH *marg.* [5] + τῶν TrWH *marg.* [6] [χρυσοῦν] *et* [θυματήριον καὶ] Tr *marg.* [7] Χερουβεὶν LTTrWH. [8] διὰ παντὸς LTrWH. [9] ἣν LTTrWHR. [10] (ἐπὶ βρώμασι...βαπτισμοῖς) R. [11] δικαιώματα (—καὶ LT[Tr]) LTTrWH (*habet* καὶ WH *marg.*) R. [12] γενομένων LTr *marg.* WH (*non marg.*) R *marg.* [13] τοῦτ' ἔστιν TWH. [14] ἐφ' ἅπαξ Tr. [15] εὑρόμενος E. [16] τράγων καὶ ταύρων LTTrWHR. [17] ἡμῶν LTr *marg.* WH (*non marg.*) R *marg.* [18] + καὶ ἀληθινῷ L. [19] . *pro* ; WH.

[d] Col. 2. 16. [e] Lev. 11. 2—47. cap. 13. 9. [f] Lev. 11. 25, 28, 40; 13. 6, 34; 14. 8, 9, 47; 15. 5; 16. 26, 28; 17. 15. Num. 19. 7, 10, 21; 31. 24. [g] Marc. 7. 4. cap. 6. 2. [h] ver. 1. [i] Gal. 3. 3. cap. 7. 16. [k] Vid. cap. 2. 17. [l] cap. 10. 1. [m] ver. 24. Cf. cap. 8. 2. [n] ver. 24. Vid. Marc. 14. 58. [o] ver. 13, 19. cap. 10. 4. [p] ver. 14. cap. 13. 12. Vid. Act. 20. 28. [q] Vid. cap. 7. 27. [r] cap. 5. 9. ver. 15. [s] Vid. Luc. 1. 68. Cf. Job 33. 24. Dan. 9. 24. 1 Cor. 6. 20. [t] Lev. 16. 14—16. [u] Num. 19. 2. [x] Num. 19. 17, 18. [y] Vid. cap. 7. 27. [z] Vid. 1 Pet. 1. 19. [a] Tit. 2. 14. ver. 22, 23. cap. 1. 3. [b] cap. 10. 22. [c] cap. 6. 1. [d] Act. 24. 14. cap. 12. 28. [e] Vid. cap. 3. 12.

θήκης [a]καινῆς [b]μεσίτης ἐστίν, ὅπως θανάτου γενομέ-
νου, εἰς [c]ἀπολύτρωσιν τῶν ἐπὶ τῇ πρώτῃ διαθήκῃ
παραβάσεων, [d]τὴν ἐπαγγελίαν λάβωσιν [e]οἱ κεκλημέ-
νοι [f]τῆς αἰωνίου [g]κληρονομίας. ὅπου γὰρ διαθήκη, 16
θάνατον ἀνάγκη φέρεσθαι τοῦ διαθεμένου· [h]διαθήκη 17
γὰρ ἐπὶ νεκροῖς βεβαία, ἐπεὶ μή ποτε[1] ἰσχύει ὅτε ζῇ
ὁ διαθέμενος.[2] ὅθεν οὐδ'[3] ἡ πρώτη χωρὶς αἵματος 18
[i][4]ἐγκεκαίνισται. λαληθείσης γὰρ πάσης ἐντολῆς 19
κατὰ[5] νόμον ὑπὸ Μωϋσέως[6] παντὶ τῷ λαῷ, λαβὼν
[k]τὸ αἷμα τῶν μόσχων καὶ[7] τράγων, [l]μετὰ ὕδατος καὶ
ἐρίου [m]κοκκίνου καὶ [mn]ὑσσώπου, αὐτό τε τὸ βιβλίον καὶ
πάντα τὸν λαὸν ἐρράντισε[8], λέγων, [o]'Τοῦτο τὸ αἷμα 20
τῆς διαθήκης ἧς ἐνετείλατο πρὸς ὑμᾶς ὁ Θεός·' καὶ 21
[p]τὴν σκηνὴν δὲ καὶ πάντα τὰ σκεύη τῆς [q]λειτουργίας
τῷ αἵματι ὁμοίως ἐρράντισε[8]. καὶ σχεδὸν ἐν αἵματι 22
πάντα [r]καθαρίζεται κατὰ τὸν νόμον, καὶ [s]χωρὶς αἱματ-
εκχυσίας οὐ γίνεται ἄφεσις. Ἀνάγκη οὖν τὰ μὲν 23
[t]ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς, τούτοις καθαρί-
ζεσθαι· αὐτὰ δὲ τὰ ἐπουράνια [u]κρείττοσι θυσίαις
παρὰ ταύτας. οὐ γὰρ εἰς [x]χειροποίητα [y]ἅγια εἰσῆλθεν[9] 24
ὁ[10] Χριστός, [z]ἀντίτυπα [a]τῶν ἀληθινῶν, [b]ἀλλ' εἰς αὐ-
τὸν τὸν οὐρανόν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ
Θεοῦ [c]ὑπὲρ ἡμῶν· οὐδ' ἵνα πολλάκις προσφέρῃ ἑαυ- 25
τόν, ὥσπερ [d]ὁ ἀρχιερεὺς [e]εἰσέρχεται εἰς [y]τὰ ἅγια κατ'
ἐνιαυτὸν [e]ἐν αἵματι ἀλλοτρίῳ· ἐπεὶ ἔδει αὐτὸν πολ- 26
λάκις παθεῖν [f]ἀπὸ καταβολῆς κόσμου· νῦν[11] δὲ [g]ἅπαξ
ἐπὶ [h]συντελείᾳ τῶν αἰώνων, εἰς [i]ἀθέτησιν[12] ἁμαρτίας,
διὰ τῆς θυσίας αὐτοῦ [k]πεφανέρωται. καὶ καθ' ὅσον 27
ἀπόκειται τοῖς ἀνθρώποις [l]ἅπαξ ἀποθανεῖν, [m]μετὰ δὲ
τοῦτο κρίσις· οὕτως[13] ὁ Χριστὸς ἅπαξ [n]προσενεχθεὶς 28
εἰς τὸ [o]πολλῶν [p]ἀνενεγκεῖν ἁμαρτίας, ἐκ δευτέρου
[q]χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν [r]ἀπεκδεχομέ-
νοις [s]εἰς σωτηρίαν.

[a] cap. 8. 8. Vid. Luc. 22. 20. Cf. cap. 12. 24. [b] cap. 8. 6. Vid. Gal. 3. 19. [c] Vid. Rom. 3. 24. [d] cap. 10. 36. Cf. 2 Tim. 1. 1. [e] cap. 8. 1. Vid. Rom. 8. 28. [f] ver. 12. [g] Act. 20. 32. [h] Cf. Gal. 3. 15. [i] cap. 10. 20. 1 Reg. 8. 63. Cf. Num. 7. 10. [k] ver. 12. [l] Ex. 24. 6—8. [m] Lev. 14. 4, 6, 7, 49, 51, 52. Num. 19. 6, 17, 18. [n] Vid. Joan. 19. 29. [o] Cf. Matt. 26. 28. [p] Ex. 29. 12, 36. Lev. 8. 15, 19; 16. 14, 18, 19. 2 Chr. 29. 22. [q] Vid. cap. 8. 6. [r] ver. 14. [s] Lev. 17. 11. [t] cap. 8. 5. [u] Vid. cap. 6. 9. [x] ver. 11. [y] ver. 25. Vid. ver. 1. [z] 1 Pet. 3. 21. [a] cap. 8. 2. Cf. ver. 11. [b] Eph. 4. 10. [c] cap. 7. 25. Cf. 1 Joan. 2. 1. [d] ver. 7. [e] cap. 10. 19. [f] Vid. cap. 4. 3. [g] 1 Pet. 3. 18. Vid. cap. 7. 27. [h] Vid. Matt. 13. 39. Cf. cap. 1. 2. 1 Cor. 10. 11. [i] cap. 7. 18. [k] 1 Joan. 3. 5. [l] Gen. 3. 19. [m] Vid. Matt. 16. 27. [n] Vid. cap. 7. 27 (var. lect.). [o] Vid. cap. 2. 10. [p] 1 Pet. 2. 24. [q] Vid. cap. 4. 15. [r] 1 Cor. 1. 7. Cf. Gen. 49. 18. [s] cap. 5. 9.

[1] μὴ τότε WH (*non marg.*). [2] ; LWH *marg.* R (*non marg.*). [3] οὐδὲ LTrWH. [4] ἐν- TWH. [5] + τὸν LTrWHR. [6] Μωυσέως LWH. [7] + τῶν LTTrWHR. [8] ἐράντισεν LTTrWH. [9] εἰσῆλθεν ἅγια TTrWH. [10] — ὁ LTTrWHR. [11] νυνὶ LTTrWHR. [12] + τῆς LT (*ita vult*) TrWH. [13] + καὶ LTTrWHR.

10 [a]ΣΚΙΑΝ γὰρ ἔχων ὁ νόμος [b]τῶν μελλόντων ἀγα-
θῶν, [c]οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, κατ'
ἐνιαυτὸν ταῖς αὐταῖς θυσίαις[1] **ἃς**[2] προσφέρουσιν [c]εἰς
τὸ διηνεκές, [z]οὐδέποτε **δύναται**[3] τοὺς προσερχομένους
2 [d]τελειῶσαι. ἐπεὶ **οὐκ**[4] ἂν ἐπαύσαντο προσφερόμεναι,
διὰ τὸ μηδεμίαν ἔχειν ἔτι συνείδησιν ἁμαρτιῶν τοὺς
3 λατρεύοντας, ἅπαξ **κεκαθαρμένους**[5]; ἀλλ' [e]ἐν αὐταῖς
4 ἀνάμνησις ἁμαρτιῶν [f]κατ' ἐνιαυτόν· [g z]ἀδύνατον γὰρ
ΙΓ'. 5 [h]αἷμα **ταύρων καὶ τράγων**[6] ἀφαιρεῖν ἁμαρτίας. Διὸ
[i]εἰσερχόμενος εἰς τὸν κόσμον λέγει, [k]‘Θυσίαν καὶ
προσφορὰν [l]οὐκ ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοι·
6 [m]ὁλοκαυτώματα καὶ [n]περὶ ἁμαρτίας οὐκ **εὐδόκησας**[7]·
7 [k]τότε εἶπον, [o]Ἰδοὺ ἥκω, ἐν [p]κεφαλίδι βιβλίου γέγρα-
πται περὶ ἐμοῦ, τοῦ ποιῆσαι, ὁ Θεός, τὸ θέλημά
8 σου.' Ἀνώτερον λέγων, [q]‘Ὅτι **θυσίαν**[8] καὶ **προσ-
φορὰν**[9] καὶ [m]ὁλοκαυτώματα καὶ [n]περὶ ἁμαρτίας οὐκ
ἠθέλησας, οὐδὲ **εὐδόκησας**[7],' αἵτινες κατὰ **τὸν**[10] νόμον
9 προσφέρονται, τότε εἴρηκεν, [r]‘Ἰδοὺ ἥκω τοῦ ποιῆσαι,
ὁ Θεός[11], τὸ θέλημά σου.' ἀναιρεῖ τὸ πρῶτον, ἵνα
10 τὸ δεύτερον στήσῃ· ἐν ᾧ θελήματι [s]ἡγιασμένοι ἐσ-
μὲν **οἱ**[12] διὰ τῆς προσφορᾶς τοῦ σώματος **τοῦ**[13] Ἰησοῦ
11 Χριστοῦ [t]ἐφάπαξ[14]. Καὶ πᾶς μὲν **ἱερεὺς**[15] ἕστηκε [u]καθ'
ἡμέραν [x]λειτουργῶν, καὶ [y]τὰς αὐτὰς πολλάκις προσ-
φέρων θυσίας, [g z]αἵτινες οὐδέποτε δύνανται περιελεῖν
12 ἁμαρτίας· **αὐτὸς**[16] δὲ μίαν ὑπὲρ ἁμαρτιῶν [t]προσεν-
έγκας θυσίαν[17] [c]εἰς τὸ διηνεκὲς* [a]ἐκάθισεν ἐν δεξιᾷ τοῦ
13 Θεοῦ, τὸ λοιπὸν ἐκδεχόμενος [b]ἕως τεθῶσιν οἱ ἐχθροὶ
14 αὐτοῦ ὑποπόδιον τῶν ποδῶν αὐτοῦ. μιᾷ γὰρ προσ-
φορᾷ [d]τετελείωκεν [c]εἰς τὸ διηνεκὲς [cc]τοὺς ἁγιαζομένους.
15 Μαρτυρεῖ δὲ ἡμῖν καὶ [d]τὸ Πνεῦμα τὸ Ἅγιον· μετὰ
16 γὰρ τὸ **προειρηκέναι**[18], [e]‘Αὕτη ἡ διαθήκη ἣν διαθή-
σομαι πρὸς αὐτοὺς μετὰ τὰς ἡμέρας ἐκείνας, λέγει

[1] + αὐτῶν WH *marg.* [2] αἷς T, ἃς WH *dub.* [3] δύνανται LTrWH (*non marg.*) R (*non marg.*). [4] — οὐκ E. [5] κεκαθερισμένους L, κεκαθαρισμένους TTrWHR. [6] τράγων καὶ ταύρων WH *marg.* [7] ηὐδόκησας LTTr. [8] θυσίας LTTrWHR. [9] προσφορὰς LTTrWHR. [10] — τὸν LTTrWHR. [11] — ὁ Θεός LTTrWHR. [12] — οἱ BELTTrWHR. [13] — τοῦ LTTrWHR. [14] ἐφ' ἅπαξ Tr. [15] ἀρχιερεὺς LTr *marg.* WH *marg.* R *marg.* [16] οὗτος LTTrWHR. [17] , εἰς τὸ διηνεκὲς ἐκάθισεν SBER *marg.* * + , LR *text.* [18] εἰρηκέναι LTTrWHR.

[a] Vid. cap. 8. 5. Cf. Rom. 8. 3, 4.
[b] cap. 9. 11.
[c] ver. 12, 14. cap. 7. 3.
[d] cap. 7. 19; 9. 9. Cf. ver. 11, 14.
[e] Lev. 16. 21.
[f] cap. 9. 7.
[g] Cf. Mic. 6. 6—8. ver. 11.
[h] cap. 9. 12.
[i] cap. 1. 6.
[k] Ps. 40. 6—8.
[l] 1 Sam. 15. 22. Ps. 50. 8; 51. 16. Prov. 21. 3. Esa. 1. 11. Jer. 6. 20. Amos 5. 21, 22.
[m] Vid. Marc. 12. 33.
[n] ver. 8. Vid. Rom. 8. 3.
[o] Zech. 2. 10.
[p] Ezra 6. 2. Esa. 8. 1. Jer. 36. 2, 4. Ezek. 2. 9. Zech. 5. 1, 2.
[q] ver. 5.
[r] ver. 7.
[s] ver. 14, 29. cap. 2. 11. Cf. Joan. 17. 19.
[t] Vid. cap. 7. 27.
[u] Num. 28. 3.
[x] Vid. cap. 8. 6.
[y] cap. 5. 1.
[z] ver. 1, 4. cap. 9. 9.
[a] Vid. cap. 1. 3.
[b] cap. 1. 13. Cf. Matt. 22. 44. 1 Cor. 15. 25—28.
[cc] cap. 2. 11.
[d] Vid. cap. 3. 7 & Act. 1. 16.
[e] Jer. 31. 33. cap. 8. 10.

Κύριος, διδοὺς νόμους μου ἐπὶ καρδίας αὐτῶν, καὶ
ἐπὶ **τῶν διανοιῶν**[1] αὐτῶν ἐπιγράψω αὐτούς· [a]καὶ τῶν 17
ἁμαρτιῶν αὐτῶν καὶ τῶν ἀνομιῶν αὐτῶν οὐ μὴ
μνησθῶ[2] ἔτι.' Ὅπου δὲ ἄφεσις τούτων, οὐκ ἔτι[3] 18
προσφορὰ περὶ ἁμαρτίας.
Ἔχοντες οὖν, ἀδελφοί, [b]παρρησίαν εἰς τὴν εἴσοδον 19
[c]τῶν ἁγίων [d]ἐν τῷ αἵματι Ἰησοῦ, ἣν [e]ἐνεκαίνισεν ἡμῖν 20
[f]ὁδὸν πρόσφατον καὶ ζῶσαν, διὰ τοῦ [g]καταπετάσμα-
τος, τουτέστι[4], τῆς σαρκὸς αὐτοῦ, καὶ [h]ἱερέα μέγαν ἐπὶ 21
[i]τὸν οἶκον τοῦ Θεοῦ, προσερχώμεθα μετὰ ἀληθινῆς 22
καρδίας ἐν [k]πληροφορίᾳ πίστεως, [l]**ἐρραντισμένοι**[5] τὰς
καρδίας [m]ἀπὸ συνειδήσεως πονηρᾶς,[6] καὶ [n]**λελουμένοι**[7]
τὸ σῶμα ὕδατι καθαρῷ,[8] [o]κατέχωμεν [p]τὴν ὁμολογίαν 23
[o]τῆς ἐλπίδος ἀκλινῆ, [q]πιστὸς γὰρ [r]ὁ ἐπαγγειλάμενος·
καὶ κατανοῶμεν ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης 24 ΙΔ΄.
καὶ καλῶν ἔργων, [s]μὴ ἐγκαταλείποντες τὴν ἐπισυνα- 25
γωγὴν ἑαυτῶν, καθὼς ἔθος τισίν, ἀλλὰ [t]παρακαλοῦν-
τες· καὶ [u]τοσούτῳ μᾶλλον ὅσῳ βλέπετε [x]ἐγγίζουσαν
[y]τὴν ἡμέραν. [z]Ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν 26
μετὰ τὸ λαβεῖν [a]τὴν ἐπίγνωσιν τῆς ἀληθείας, [b]οὐκ
ἔτι[3] περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία· [b]φοβερὰ δέ 27
τις ἐκδοχὴ κρίσεως, καὶ [c]πυρὸς ζῆλος ἐσθίειν μέλλον-
τος τοὺς ὑπεναντίους. [d]ἀθετήσας τις νόμον **Μωσέως**[9], 28
χωρὶς οἰκτιρμῶν [e]ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνή-
σκει· πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας 29
ὁ [f]τὸν υἱὸν τοῦ Θεοῦ [g]καταπατήσας, καὶ [h]τὸ αἷμα τῆς
διαθήκης [i]κοινὸν ἡγησάμενος ἐν ᾧ [k]ἡγιάσθη, καὶ [l]τὸ
πνεῦμα τῆς χάριτος ἐνυβρίσας;[10] οἴδαμεν γὰρ τὸν 30
εἰπόντα, [m]'Ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, **λέγει
Κύριος**[11].' καὶ πάλιν, [n]'**Κύριος κρινεῖ**[12] τὸν λαὸν αὐτοῦ.'
[o]Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας [p]Θεοῦ ζῶντος. Ἀνα- 31
μιμνήσκεσθε δὲ [q]τὰς πρότερον ἡμέρας, ἐν αἷς [r]φωτισ- 32 ΙΕ΄.
θέντες πολλὴν [s]ἄθλησιν ὑπεμείνατε παθημάτων·
τοῦτο μέν, [t]ὀνειδισμοῖς τε καὶ θλίψεσι [u]θεατριζόμενοι· 33

1 τὴν διάνοιαν LTTrWHR. 2 μνησθήσομαι LTTrWHR. 3 οὐκέτι LTTrWH. 4 τοῦτ' ἔστιν TWH. 5 ῥεραντισμένοι (ῥερ. LTrWH) LTTrWHR. 6 πονηρᾶς· R *marg*. 7 λελουσμένοι TWH. 8 καθαρῷ· WH. 9 Μωυσέως LT(-ϋ-)TrWH. 10 . *pro* ; WH. 11 —λέγει Κυριος TTrWHR. 12 Κρινεῖ κύριος LTTrWHR.

[a] Jer. 31. 34. cap. 8. 12. [b] ver. 35. Eph. 3. 12. cap. 4. 16. Vid. cap. 8. 6. [c] cap. 9. 25. Vid. cap. 8. 2. [d] Vid. Rom. 3. 25. [e] cap. 9. 18. [f] cap. 9. 8. Joan. 14. 6. [g] Cf. cap. 9. 3. [h] Zech. 6. 11—13. cap. 4. 14. Vid. cap. 2. 17. [i] 1 Pet. 4. 17. [k] cap. 6. 11. Vid. Luc. 1. 1. [l] Ps. 51. 7 (Septuagint.). Ezek. 36. 25. Cf. 2 Cor. 7. 1. cap. 12. 24. 1 Pet. 1. 2. [m] cap. 9. 14. [n] 1 Cor. 6. 11. Cf. Joan. 13. 8. Vid. Act. 22. 16. [o] Vid. cap. 3. 6. [p] Vid. cap. 8. 1. [q] cap. 11. 11. Vid. 1 Cor. 1. 9. [r] Cf. 2 Cor. 1. 20. [s] Cf. Act. 2. 42. [t] cap. 3. 13. [u] cap. 1. 4. [x] ver. 37. Cf. Jac. 5. 8. [y] 1 Cor. 3. 13. [z] Num. 15. 30. Deut. 17. 12. [a] Vid. 1 Tim. 2. 4. [b] Vid. cap. 6. 4. Cf. 2 Pet. 2. 20, 21. [c] Ps. 79. 5. Esa. 26. 11. Ezek. 36. 5. Zeph. 1. 18; 3. 8. Zech. 8. 2. Vid. 2 Thess. 1. 8. [d] Deut. 17. 2—6. Cf. cap. 2. 2, 3; 7. 18. Vid. Luc. 7. 30. [e] Deut. 19. 15. Vid. Matt. 18. 16. [f] Vid. cap. 1. 2. [g] Cf. cap. 6. 6. [h] Zech. 9. 11. cap. 13. 20. [i] Vid. Marc. 7. 2. [k] ver. 10. [l] Cf. Matt. 12. 31, 32. [m] Deut. 32. 35. Rom. 12. 19. [n] Deut. 32. 36. Ps. 135. 14. [o] Luc. 12. 5. Cf. 2 Cor. 5. 11. [p] Vid. cap. 3. 12. Cf. Deut. 32. 40. [q] Cf. cap. 5. 12. [r] cap. 6. 4. Cf. Eph. 1. 18. [s] Cf. Phil. 1. 30; cap. 12. 4. [t] cap. 11. 26; 13. 13. [u] 1 Cor. 4. 9.

τοῦτο δέ, [a]κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενη-
34 θέντες· καὶ γὰρ [b]τοῖς **δεσμοῖς μου**[1] συνεπαθήσατε, καὶ
τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν [c]μετὰ χαρᾶς
προσεδέξασθε, γινώσκοντες ἔχειν **ἐν**[2] **ἑαυτοῖς**[3] [d]**κρείτ-**
35 **τονα**[4] ὕπαρξιν **ἐν οὐρανοῖς**[5] καὶ μένουσαν. μὴ ἀποβά-
λητε οὖν τὴν [e]παρρησίαν ὑμῶν, ἥτις ἔχει [f]**μισθαποδο-**
36 **σίαν μεγάλην**[6]. [g]ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα [h]τὸ
θέλημα τοῦ Θεοῦ ποιήσαντες, [i]κομίσησθε τὴν ἐπαγ-
37 γελίαν. [k]"Ἔτι γὰρ [l]μικρὸν ὅσον ὅσον, [m]'ὁ ἐρχόμενος
38 ἥξει, καὶ οὐ **χρονιεῖ**[7]. [m]ὁ δὲ δίκαιος[8] [n]ἐκ πίστεως ζήσε-
ται· καὶ ἐὰν [o]ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου
39 ἐν αὐτῷ.' Ἡμεῖς δὲ οὐκ ἐσμὲν ὑποστολῆς [p]εἰς ἀπώ-
λειαν, [q]ἀλλὰ πίστεως εἰς [r]περιποίησιν ψυχῆς.
ΙϚ'. 11 "ΕΣΤΙ δὲ πίστις [s]ἐλπιζομένων [t]ὑπόστασις, πραγμά-
2 των[9] [u]ἔλεγχος [s]οὐ βλεπομένων. [x]ἐν ταύτῃ γὰρ [y]ἐμαρτυ-
3 ρήθησαν οἱ [z]πρεσβύτεροι. Πίστει νοοῦμεν κατηρτίσθαι
[a]τοὺς αἰῶνας [ab]ῥήματι Θεοῦ, [c]εἰς τὸ μὴ ἐκ φαινομένων
4 **τὰ βλεπόμενα**[10] γεγονέναι. Πίστει πλείονα θυσίαν
[d]Ἄβελ[11] παρὰ Κάϊν[11] προσήνεγκε τῷ Θεῷ, δι' ἧς ἐμαρ-
τυρήθη εἶναι δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς [e]δώροις
αὐτοῦ **τοῦ Θεοῦ**[12]· καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι [f]**λαλεῖται**[13].
5 Πίστει [g]Ἐνὼχ[14] μετετέθη [h]τοῦ μὴ ἰδεῖν θάνατον, καὶ
[i]'οὐχ **εὑρίσκετο**[15], διότι μετέθηκεν αὐτὸν ὁ Θεός·' πρὸ
γὰρ τῆς μεταθέσεως **αὐτοῦ**[16] μεμαρτύρηται [k]**εὐηρεστη-**
6 **κέναι**[17] τῷ Θεῷ· χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆ-
σαι· πιστεῦσαι γὰρ δεῖ [l]τὸν προσερχόμενον τῷ[18] Θεῷ,
ὅτι ἔστι,* καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης
7 γίνεται. Πίστει [m]χρηματισθεὶς [n]Νῶε περὶ [s]τῶν μηδέπω
βλεπομένων, [o]εὐλαβηθεὶς [p]κατεσκεύασε [q]κιβωτὸν εἰς
σωτηρίαν τοῦ οἴκου αὐτοῦ· [r]δι' ἧς κατέκρινε τὸν
κόσμον, καὶ [s]τῆς κατὰ πίστιν δικαιοσύνης ἐγένετο κλη-
8 ρονόμος. Πίστει[19] καλούμενος [t]Ἀβραὰμ ὑπήκουσεν

[a] Phil. 4. 14, 15. Cf. 1 Thess. 2. 14.
[b] cap. 13. 3. Cf. Matt. 25. 36.
[c] Vid. Matt. 5. 12.
[d] Vid. cap. 6. 9. Cf. 1 Pet. 1. 4.
[e] ver. 19.
[f] cap. 2. 2. Cf. Matt. 10. 32.
[g] Vid. Luc. 8. 15. Cf. Rom. 12. 12. cap. 12. 1.
[h] cap. 13. 21. Vid. 1 Thess. 4. 3.
[i] cap. 11. 39. Cf. cap. 6. 12; 9. 15.
[k] Cf. ver. 25. Luc. 18. 8. 2 Pet. 3. 9. Rev. 22. 20.
[l] Esa. 26. 20. Agg. 2. 7. Cf. Ps. 37. 10.
[m] Hab. 2. 3, 4. Cf. Matt. 11. 2.
[n] Vid. Rom. 1. 17.
[o] Vid. Act. 20. 20, 27. Gal. 2. 12. Cf. cap. 3. 12.
[p] Cf. ver. 26.
[q] Act. 16. 31.
[r] Vid. Luc. 17. 33 (var. lect.). 1 Thess. 5. 9.
[s] Rom. 8. 24. 2 Cor. 4. 18. Cf. ver. 7, 27.
[t] Vid. cap. 3. 14.
[u] 2 Tim. 3. 16.
[x] ver. 4.
[y] ver. 39.

[1] δεσμίοις LTTr (*non marg.*) WHR. [2] —ἐν LTTrWHR. [3] ἑαυτοὺς LTTrWHR (*non marg.*). [4] κρείσσονα LTTrWH. [5] —ἐν οὐρανοῖς LTTrWHR. [6] μεγάλην μισθαποδοσίαν LTTrWHR. [7] χρονίσει TTr (*non marg.*) WH. [8] + μου LTTr[WH]R (*non marg.*). [9] ὑπόστασις πραγμάτων, WH *marg.* [10] τὸ βλεπόμενον LTTrWHR. [11] Ἄβελ, Καὶν WH. [12] τῷ θεῷ LTr (*lectionem in dubium vocant* WHR). [13] λαλεῖ LTTrWHR. [14] Ἑνὼχ WH. [15] ηὑρίσκετο LTTrWH. [16] —αὐτοῦ LTTrWHR [17] εὐαρεστηκέναι LWH. [18] —τῷ T[TrWH]. * ἐστὶ SBE (ἐστίν, Tr). [19] + ὁ L[Tr].

[z] Matt. 15. 2. [a] cap. 1. 2, 3. [b] Cf. 2 Pet. 3. 5. [c] Rom. 4. 17. [d] Gen. 4. 4, 8. Matt. 23. 35. Cf. Jud. 11. [e] cap. 5. 1; 9. 9. [f] (var. lect.) cap. 12. 24. [g] Gen. 5. 22. Ecclus. 44. 16. [h] Vid. Luc. 2. 26. [i] Gen. 5. 24. [k] cap. 13. 16. Cf. cap. 12. 28. [l] cap. 4. 16; 7. 25. [m] Vid. cap. 8. 5. [n] Gen. 6. 9, 13—22. Ezek. 14. 14, 20. Ecclus. 44. 17. [o] Cf. cap. 5. 7. [p] Vid. cap. 3. 3. [q] 1 Pet. 3. 20. [r] Cf. Matt. 12. 41. [s] Rom. 4. 13; 9. 30. [t] Gen. 12. 1—4. Act. 7. 2—4. Ecclus. 44. 19—21.

ἐξελθεῖν εἰς **τὸν**[1] τόπον [a]ὃν **ἤμελλε**[2] λαμβάνειν εἰς
κληρονομίαν, καὶ ἐξῆλθε, μὴ ἐπιστάμενος ποῦ ἔρχεται.
Πίστει [b]παρῴκησεν [c]εἰς **τὴν**[3] γῆν τῆς ἐπαγγελίας, ὡς 9
ἀλλοτρίαν, [d]ἐν σκηναῖς κατοικήσας [e]μετὰ Ἰσαὰκ καὶ
Ἰακὼβ [f]τῶν [g]**[4]συγκληρονόμων** [h]τῆς ἐπαγγελίας τῆς
αὐτῆς· ἐξεδέχετο γὰρ [i]τὴν [k]τοὺς θεμελίους ἔχουσαν 10
πόλιν, [l]ἧς [m]τεχνίτης καὶ δημιουργὸς ὁ Θεός.
Πίστει καὶ **αὐτὴ** [n]**Σάρρα**[5] δύναμιν εἰς καταβολὴν 11
σπέρματος ἔλαβε, καὶ παρὰ καιρὸν ἡλικίας **ἔτεκεν**[6],
ἐπεὶ [o]πιστὸν ἡγήσατο [p]τὸν ἐπαγγειλάμενον. διὸ καὶ 12
ἀφ᾽ ἑνὸς **ἐγεννήθησαν**[7], καὶ ταῦτα [q]νενεκρωμένου,
[r]καθὼς τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ [s]**ὡσεὶ**[8]
ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης [t]ἡ ἀναρίθμη-
τος. Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, [u]μὴ **λαβόν-** 13
τες[9] τὰς ἐπαγγελίας, ἀλλὰ [x]πόρρωθεν αὐτὰς ἰδόντες,
καὶ πεισθέντες[10], καὶ ἀσπασάμενοι, καὶ [y]ὁμολογήσαντες
ὅτι [z]ξένοι καὶ [a]παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς. οἱ γὰρ 14
τοιαῦτα λέγοντες, ἐμφανίζουσιν ὅτι πατρίδα ἐπιζη-
τοῦσι. καὶ εἰ μὲν ἐκείνης **ἐμνημόνευον**[11] ἀφ᾽ ἧς **ἐξῆλθον**[12], 15
[b]εἶχον ἂν καιρὸν ἀνακάμψαι· **νυνὶ**[13] δὲ [c]κρείττονος 16
ὀρέγονται, τουτέστιν[14] ἐπουρανίου· διὸ [d]οὐκ ἐπαισχύ-
νεται αὐτοὺς ὁ Θεός, [e]Θεὸς ἐπικαλεῖσθαι αὐτῶν·
[f]ἡτοίμασε γὰρ αὐτοῖς [i]πόλιν. Πίστει [g]προσενήνοχεν 17
Ἀβραὰμ τὸν Ἰσαὰκ πειραζόμενος, καὶ τὸν [h]μονογενῆ
προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος, [i]πρὸς ὃν 18
ἐλαλήθη, [k]“Ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα·”
[l]λογισάμενος ὅτι [q]καὶ ἐκ νεκρῶν **ἐγείρειν δυνατὸς**[15] ὁ 19
Θεός, ὅθεν αὐτὸν καὶ ἐν [m]παραβολῇ ἐκομίσατο. Πί- 20
στει[16] [n]περὶ μελλόντων **εὐλόγησεν**[17] Ἰσαὰκ [n]τὸν Ἰακὼβ
καὶ [n]τὸν Ἠσαῦ[18]. Πίστει Ἰακὼβ [o]ἀποθνήσκων [o]ἕκασ- 21
τον τῶν υἱῶν Ἰωσὴφ **εὐλόγησε**[17]· καὶ προσεκύνησεν
[p]ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. Πίστει Ἰωσὴφ 22

[a] Gen. 12. 7.
[b] 1 Chr. 16. 19 (Septuagint.).
[c] Act. 7. 5.
[d] Gen. 12. 8; 13. 3, 18; 18. 1, 9.
[e] Gen. 35. 27.
[f] cap. 6. 17.
[g] Eph. 3. 6.
[h] ver. 17. Vid. cap. 6. 15.
[i] cap. 12. 22. Cf. ver. 16. cap. 13. 14.
[k] Ps. 87. 1. Rev. 21. 14.
[l] Cf. ver. 17. Rev. 21. 2, 10.
[m] Wisd. 13. 1 (Gr.).
[n] Gen. 17. 19; 18. 11—14; 21. 2.
[o] Vid. cap. 10. 23.
[p] Gal. 4. 23.
[q] Rom. 4. 19. Cf. ver. 19.
[r] Gen. 15. 5; 26. 4. Ex. 32. 13. Deut. 1. 10; 10. 22. 1 Chr. 27. 23.
[s] Gen. 22. 17. Esa. 48. 19. Rev. 20. 8.
[t] Gen. 32. 12. 2 Sam. 17. 11. 1 Reg. 4. 20. Jer. 33. 22. Rom. 9. 27.
[u] ver. 39.
[x] Vid. Matt. 13. 17. Cf. Joan. 8. 56. 2 Cor. 4. 18.
[y] Gen. 23. 4; 47. 9. 1 Chr. 29. 15. Ps. 39. 12; 119. 19.
[z] Eph. 2. 19.
[a] 1 Pet. 1. 1; 2. 11. Cf. 2 Cor. 5. 6.
[b] Gen. 24. 6—8.
[c] ver. 35, 40. Vid. cap. 6. 9.
[d] cap. 2. 11. Vid. Marc. 8. 38.
[e] Gen. 26. 24; 28. 13. Ex. 3. 6, 15; 4. 5. Cf. Matt. 22. 32.
[f] Vid. Matt. 25. 34.
[g] Gen. 22. 1—10. Jac. 2. 21, 22.
[h] Luc. 7. 12.
[i] cap. 1. 7, 8.
[k] Gen. 21. 12. Rom. 9. 7, 9. Cf. Gal. 3. 29.
[l] Cf. Rom. 4. 21.
[m] cap. 9. 9.
[n] Gen. 27. 27, 29, 39, 40.
[o] Gen. 48. 1, 5, 16, 20.
[p] Gen. 47. 31 (Septuagint.).

[1] —τὸν LTTrWHR. [2] ἔμελλεν L. [3] —τὴν LTTrWHR. [4] συν- TWH. [5] αὐτῇ Σάρρᾳ WH *marg.* [6] —ἔτεκεν LTTrWHR. [7] ἐγενήθησαν LWH *marg.* [8] ὡς ἡ LTTrWHR. [9] προσδεξάμενοι L, κομισάμενοι TTrWHR. [10] —καὶ πεισθέντες LTTrWHR. [11] μνημονεύουσιν TTr. [12] ἐξέβησαν LTTrWHR. [13] νῦν LTTrWHR. [14] τοῦτ᾽ ἔστιν TWH. [15] ἐγεῖραι δύναται L. [16] + καὶ L[Tr]WHR. [17] ηὐλόγησεν L. [18] Ἡσαῦ E, *non* S (*cf.* xii. 16).

[a]τελευτῶν περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐμνημό-
23 νευσε, καὶ περὶ τῶν ὀστέων αὐτοῦ ἐνετείλατο. Πί-
στει **Μωσῆς**[1] γεννηθεὶς [b]ἐκρύβη τρίμηνον ὑπὸ τῶν
πατέρων αὐτοῦ, διότι εἶδον [c]ἀστεῖον τὸ παιδίον· καὶ
24 οὐκ ἐφοβήθησαν [d]τὸ **διάταγμα**[2] τοῦ βασιλέως. Πίστει
Μωσῆς[1] μέγας γενόμενος ἠρνήσατο λέγεσθαι [e]υἱὸς
25 θυγατρὸς Φαραώ, [f]μᾶλλον ἑλόμενος [g3]**συγκακουχεῖσθαι**
τῷ λαῷ τοῦ Θεοῦ, ἢ [h]πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπό-
26 λαυσιν· μείζονα πλοῦτον [i]ἡγησάμενος τῶν **ἐν**[4] **Αἰ-
γύπτῳ**[5] θησαυρῶν τὸν [k]ὀνειδισμὸν τοῦ Χριστοῦ·
27 ἀπέβλεπε γὰρ εἰς τὴν [l]μισθαποδοσίαν. Πίστει [m]κατέ-
λιπεν Αἴγυπτον, μὴ φοβηθεὶς [n]τὸν θυμὸν τοῦ βασι-
28 λέως· τὸν γὰρ [o]ἀόρατον [p]ὡς ὁρῶν ἐκαρτέρησε. Πί-
στει [q]πεποίηκε [r]τὸ πάσχα καὶ [s]τὴν πρόσχυσιν τοῦ
αἵματος, ἵνα μὴ [t]ὁ **ὀλοθρεύων**[6] [u]τὰ πρωτότοκα θίγῃ
29 αὐτῶν. Πίστει [x]διέβησαν τὴν ἐρυθρὰν θάλασσαν ὡς
διὰ ξηρᾶς[7]· [y]ἧς πεῖραν λαβόντες οἱ Αἰγύπτιοι κατε-
30 πόθησαν. Πίστει [z]τὰ τείχη **Ἱεριχὼ**[8] **ἔπεσε**[9], [a]κυκλω-
31 θέντα ἐπὶ ἑπτὰ ἡμέρας. Πίστει [b]Ῥαὰβ ἡ πόρνη οὐ
συναπώλετο [c]τοῖς ἀπειθήσασι, [d]δεξαμένη τοὺς κατα-
32 σκόπους [e]μετ' εἰρήνης. Καὶ τί ἔτι λέγω; ἐπιλείψει
γάρ με[10] διηγούμενον ὁ χρόνος περὶ [f]Γεδεών, [g]Βαράκ
τε[11] **καὶ**[12] [h]Σαμψὼν **καὶ**[12] [i]Ἰεφθάε, [k]**Δαβὶδ**[13] τε καὶ [lm]Σα-
33 μουὴλ καὶ [l]τῶν προφητῶν· οἳ διὰ πίστεως κατηγωνί-
σαντο βασιλείας, **εἰργάσαντο**[14] δικαιοσύνην, [n]ἐπέτυχον
34 ἐπαγγελιῶν, [o]ἔφραξαν στόματα λεόντων, [p]ἔσβεσαν
δύναμιν πυρός, ἔφυγον [q]στόματα **μαχαίρας**[15], **ἐνεδυνα-
μώθησαν**[16] ἀπὸ ἀσθενείας, [r]ἐγενήθησαν ἰσχυροὶ ἐν
35 πολέμῳ, [r]παρεμβολὰς ἔκλιναν ἀλλοτρίων· [s]ἔλαβον
γυναῖκες[17] ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν· [t]ἄλλοι
δὲ ἐτυμπανίσθησαν, [u]οὐ προσδεξάμενοι τὴν ἀπολύ-
36 τρωσιν, [x]ἵνα [y]κρείττονος ἀναστάσεως τύχωσιν· ἕτεροι
δὲ [z]ἐμπαιγμῶν καὶ [a]μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ

[1] Μωυσῆς LT(-ϋ-)TrWH. [2] δόγμα L. [3] συν- TWH. [4] —ἐν TTrWHR. [5] Αἰγύπτου LTTrWHR. [6] ὀλεθρεύων L. [7] + γῆς LTTrWHR. [8] Ἱερειχὼ T, Ἰερειχὼ WH. [9] ἔπεσαν LTTrWHR. [10] με γὰρ LTTrWHR. [11] —τε LTTrWHR. [12] , *pro* καὶ LTTrWHR. [13] Δαυείδ LTTrWH. [14] ἠργάσαντο TTrWH. [15] μαχαίρης LTTrWH. [16] ἐδυναμώθησαν LTTrWHR. [17] γυναῖκας LWH *marg.* (MSS. *Ap.*).

[a] Gen. 50. 24, 25. Ex. 13. 19. [b] Ex. 2. 3. [c] Ex. 2. 2 (Septuagint.). Act. 7. 20. [d] Ex. 1. 16, 22. [e] Ex. 2. 10, 11. [f] Cf. Job 36. 21. Ps. 84. 10. [g] ver. 37. [h] Vid. Matt. 13. 21. 2 Cor. 4. 18. [i] Cf. Phil. 3. 7, 8. Rev. 2. 9. Vid. Luc. 14. 33. [k] cap. 10. 33; 13. 13. Cf. Ps. 89. 50, 51. 1 Pet. 4. 14. [l] cap. 2. 2. [m] Ex. 2. 15 vel Ex. 12. 27. [n] Ex. 10. 28, 29. [o] Col. 1. 15. [p] Cf. ver. 1, 13. 1 Pet. 1. 8. [q] Matt. 26. 18. [r] Ex. 12. 21. [s] Ex. 12. 22. [t] Ex. 12. 23 (Septuagint.). [u] Ex. 12. 29. [x] Ex. 14. 22, 30. [y] Ex. 14. 23—29. [z] Josh. 6. 20. [a] Josh. 6. 14—16. [b] Josh. 6. 23. Jac. 2. 25. [c] cap. 3. 18. [d] Josh. 2. 1, 8—13. [e] Vid. Act. 15. 33. [f] Judic. 6. 11.

[g] Judic. 4. 6. [h] Judic. 13. 24. [i] Judic. 11. 1. [k] 1 Sam. 16. 1, 13. [l] Vid. Act. 3. 24. [m] 1 Sam. 1. 20. [n] Cf. 2 Sam. 7. 11, 12. 1 Chr. 22. 9. [o] Judic. 14. 5, 6. 1 Sam. 17. 34—36. Dan. 6. 22. [p] Dan. 3. 25. [q] Gen. 34. 26. Luc. 21. 24. [r] Judic. 7. 21; 15. 8, 15. 1 Sam. 17. 51, 52. 2 Sam. 8. 1—6; 10. 15—19; 12. 29. 1 Macc. 1. 1—7. [s] 1 Reg. 17. 22. 2 Reg. 4. 35. [t] 2 Macc. 6. 19, 28. [u] 2 Macc. 6. 18—31. [x] 2 Macc. 7. 9, 14, 23, 29. [y] ver. 16, 40. [z] 2 Macc. 7. 7 (Gr.). [a] Matt. 21. 35.

[a]δεσμῶν καὶ φυλακῆς· [b]ἐλιθάσθησαν, **ἐπρίσθησαν**, 37
ἐπειράσθησαν[1], [c]ἐν φόνῳ **μαχαίρας**[2] ἀπέθανον· περι-
ῆλθον [d]ἐν μηλωταῖς, [d]ἐν **αἰγείοις**[3] δέρμασιν, ὑστερού-
μενοι, θλιβόμενοι, [e]κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ 38
κόσμος· [f]**ἐν**[4] ἐρημίαις πλανώμενοι καὶ [g]ὄρεσι καὶ
[gh]σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς. Καὶ οὗτοι πάντες 39
[i]μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ [k]ἐκομίσαντο **τὴν**
ἐπαγγελίαν[5], τοῦ Θεοῦ περὶ ἡμῶν [l]κρεῖττόν τι προ- 40
βλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν [m]τελειωθῶσι.

ΤΟΙΓΑΡΟΥΝ καὶ ἡμεῖς τοσοῦτον ἔχοντες [n]περι- 12 ΙΖ΄.
κείμενον ἡμῖν νέφος μαρτύρων, ὄγκον ἀποθέμενοι
πάντα καὶ [o]τὴν εὐπερίστατον ἁμαρτίαν, [p]δι' ὑπομονῆς
[q]τρέχωμεν τὸν [n]προκείμενον ἡμῖν [r]ἀγῶνα· ἀφορῶντες 2
εἰς τὸν τῆς πίστεως [s]ἀρχηγὸν καὶ [s]τελειωτὴν Ἰησοῦν,
ὅς, [t]ἀντὶ τῆς [n]προκειμένης αὐτῷ χαρᾶς, ὑπέμεινε [u]σταυ-
ρόν, [x]αἰσχύνης καταφρονήσας, [y]ἐν δεξιᾷ τε τοῦ θρό-
νου τοῦ Θεοῦ **ἐκάθισεν**[6]. [z]ἀναλογίσασθε γὰρ τὸν 3
τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς
αὐτὸν[7] [a]ἀντιλογίαν, ἵνα μὴ κάμητε,* ταῖς ψυχαῖς ὑμῶν
[b]ἐκλυόμενοι.

[c]Οὔπω μέχρις αἵματος ἀντικατέστητε† πρὸς τὴν 4
ἁμαρτίαν [d]ἀνταγωνιζόμενοι, καὶ ἐκλέλησθε τῆς [e]παρα- 5
κλήσεως, ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται· [f]'Υἱέ μου,
[g]μὴ ὀλιγώρει **παιδείας**[8] Κυρίου, μηδὲ [b]ἐκλύου, ὑπ' αὐ-
τοῦ ἐλεγχόμενος. [fh]ὃν γὰρ ἀγαπᾷ Κύριος, [i]παιδεύει· 6
μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται.' **Εἰ**[9] **παι-** 7
δείαν[10] ὑπομένετε,[11] [k]ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός·
τίς γάρ **ἐστιν**[12] υἱὸς ὃν οὐ παιδεύει πατήρ; εἰ δὲ χωρίς 8
ἐστε **παιδείας**[8], [l]ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νό-
θοι **ἐστὲ καὶ οὐχ υἱοί**[13]. εἶτα τοὺς μὲν τῆς σαρκὸς 9
ἡμῶν πατέρας εἴχομεν παιδευτάς, καὶ [m]ἐνετρεπόμεθα[14]·
οὐ **πολλῷ**[15] μᾶλλον ὑποταγησόμεθα [n]τῷ πατρὶ τῶν
πνευμάτων, [o]καὶ ζήσομεν; οἱ μὲν γὰρ πρὸς ὀλίγας 10
ἡμέρας, κατὰ τὸ δοκοῦν αὐτοῖς, ἐπαίδευον· ὁ δὲ ἐπὶ

[1] *ἐπειράσθησαν, ἐπρίσθησαν*, TTr *marg.* WH (*non marg.*) *dub.* [2] *μαχαίρης* LTTrWH. [3] *αἰγίοις* WH. [4] *ἐπὶ* LTTrWH (*non marg.*) R. [5] *τὰς ἐπαγγελίας* L. [6] *κεκάθικεν* LTTrWHR. [7] *ἑαυτὸν* LTTr, *αὐτὸν* SB, *at ἑαυτοὺς* WH *text.* R *text.*, *ἑαυτὸν* WH *marg.* R *marg.* * – , LTWH. † + , BER. [8] *παιδίας* T. [9] *εἰς* LTTrWHR. [10] *παιδίαν* T. [11] . L, · WHR. [12] – *ἐστιν* LTTrWHR. [13] *καὶ οὐχ υἱοί ἐστε* LTTrWHR. [14] *ἐντρεπόμεθα* E. [15] *πολὺ* LTTrWHR.

[a] Gen. 39. 20. Jer. 20. 2; 37. 15. [b] 1 Reg. 21. 13. 2 Chr. 24. 21. Matt. 21. 35. [c] 2 Reg. 23. 29. [d] 2 Reg. 1. 8. Zech. 13. 4. Matt. 3. 4. [e] ver. 25. cap. 13. 3. [f] 1 Sam. 23. 15, 19; 24. 1. 2 Macc. 5. 27. [g] Judic. 6. 2. [h] 1 Sam. 22. 1. [i] Cf. ver. 2. [k] ver. 13. cap. 10. 36. Cf. 1 Pet. 1. 12. [l] ver. 16, 40. Cf. Rev. 6. 11. [m] Phil. 3. 12. cap. 12. 23. Vid. cap. 2. 10. [n] Cf. ver. 2. cap. 6. 18. [o] Cf. Eph. 4. 22. [p] cap. 10. 36. [q] Vid. 1 Cor. 9. 24. [r] Vid. Phil. 1. 30. [s] Vid. cap. 2. 10. [t] Cf. Esa. 53. 11. Luc. 24. 26. Joan. 15. 11. [u] Phil. 2. 8. [x] Ps. 22. 6, 7; 69. 19. Esa. 53. 3. [y] Vid. cap. 1. 3. [z] Cf. Matt. 10. 24. Rev. 2. 3. [a] Vid. cap. 6. 16. [b] ver. 5. Gal. 6. 9. Act. 4. 36. [c] Cf. cap. 10. 32—34. [d] Cf. 1 Cor. 9. 26. [e] cap. 13. 22. Vid. [f] Prov. 3. 11, 12. [g] Job 5. 17. [h] Ps. 94. 12; 119. 67, 75. Rev. 3. 19. [i] Vid. 1 Cor. 11. 32. [k] Deut. 8. 5. 2 Sam. 7. 14. Cf. Prov. 13. 24; 19. 18; 23. 13. [l] Cf. 1 Pet. 5. 9. [m] Vid. Luc. 18. 2. [n] Num. 16. 22; 27. 16. Cf. Job 12. 10. Eccles. 12. 7. Esa. 42. 5; 57. 16. Zech. 12. 1. [o] Esa. 38. 16.

τὸ συμφέρον, εἰς τὸ [a]μεταλαβεῖν τῆς ἁγιότητος αὐ-
11 τοῦ. πᾶσα **δὲ**[1] **παιδεία**[2] [b]πρὸς μὲν τὸ παρὸν οὐ δοκεῖ
χαρᾶς εἶναι, ἀλλὰ λύπης· [b]ὕστερον δὲ [c]καρπὸν εἰρη-
νικὸν τοῖς δι' αὐτῆς [d]γεγυμνασμένοις ἀποδίδωσι [c]δι-
ΙΗ'.12 καιοσύνης. Διὸ [e]'τὰς παρειμένας χεῖρας καὶ τὰ
13 παραλελυμένα [f]γόνατα ἀνορθώσατε·' καὶ [g]'τροχιὰς
ὀρθὰς **ποιήσατε**[3] τοῖς ποσὶν' ὑμῶν, [h]ἵνα μὴ τὸ χωλὸν
14 ἐκτραπῇ, [i]ἰαθῇ δὲ μᾶλλον. [k]Εἰρήνην [kl]διώκετε μετὰ
πάντων, καὶ τὸν [m]ἁγιασμόν, [n]οὗ χωρὶς οὐδεὶς ὄψεται
15 τὸν Κύριον· ἐπισκοποῦντες μή τις [o]ὑστερῶν ἀπὸ [p]τῆς
χάριτος τοῦ Θεοῦ· μή τις [q]ῥίζα πικρίας ἄνω φύουσα
16 [r]ἐνοχλῇ, καὶ [s]**διὰ ταύτης**[4] μιανθῶσι[5] πολλοί· μή τις
[t]πόρνος, ἢ [u]βέβηλος, ὡς Ἠσαῦ[6], [x]ὃς ἀντὶ βρώσεως
17 μιᾶς **ἀπέδοτο**[7] τὰ πρωτοτόκια **αὐτοῦ**[8]. ἴστε γὰρ ὅτι
καὶ μετέπειτα [y]θέλων κληρονομῆσαι τὴν εὐλογίαν,
ἀπεδοκιμάσθη·[9] μετανοίας γὰρ τόπον οὐχ εὗρε,[9] [z]καί-
περ μετὰ δακρύων ἐκζητήσας αὐτήν.
ΙΘ'.18 [a]Οὐ γὰρ προσεληλύθατε [bc]ψηλαφωμένῳ **ὄρει**[10], καὶ
[c]κεκαυμένῳ πυρί, καὶ [c]γνόφῳ, καὶ [c]**σκότῳ**[11], καὶ θυέλλῃ,
19 καὶ [d]σάλπιγγος ἤχῳ, καὶ [d]φωνῇ ῥημάτων, [e]ἧς οἱ ἀκού-
σαντες παρῃτήσαντο **μὴ**[12] προστεθῆναι αὐτοῖς λόγον·
20 οὐκ ἔφερον γὰρ τὸ διαστελλόμενον, [f]'Κἂν θηρίον
θίγῃ τοῦ ὄρους λιθοβοληθήσεται, **ἢ βολίδι κατατοξευ-**
21 **θήσεται**[13].' καί,* [g]οὕτω φοβερὸν ἦν τὸ φανταζόμενον,
22 **Μωσῆς**[14] εἶπεν, "Ἔκφοβός εἰμι καὶ **ἔντρομος**[15]." ἀλλὰ
προσεληλύθατε [h]Σιὼν ὄρει, καὶ [i]πόλει [k]Θεοῦ ζῶντος,
[l]Ἱερουσαλὴμ[16] ἐπουρανίῳ, καὶ [m]μυριάσιν[17] ἀγγέλων,
23 πανηγύρει[18] καὶ [n]ἐκκλησίᾳ [o]πρωτοτόκων **ἐν οὐρανοῖς**
[p]**ἀπογεγραμμένων**[19], καὶ [q]κριτῇ Θεῷ πάντων, καὶ πνεύ-
24 μασι δικαίων [r]τετελειωμένων, καὶ διαθήκης νέας [s]με-
σίτῃ Ἰησοῦ, καὶ [t]αἵματι ῥαντισμοῦ [u]**κρείττονα**[20] λα-
25 λοῦντι παρὰ [x]τὸν [x]Ἄβελ[21]. [y]Βλέπετε [e]μὴ παραιτήσησθε

[a] 2 Pet. 1. 4. Cf. Lev. 11. 44; 19. 2. 1 Pet. 1. 15, 16. [b] Cf. 1 Pet. 1. 6. [c] Jac. 3. 18. [d] cap. 5. 14. [e] Esa. 35. 3. Cf. Job 4. 3, 4. 1 Thess. 5. 14. [f] Ps. 109. 24. [g] Prov. 4. 26 (Septuagint.). [h] Prov. 4. 27. Cf. Gal. 2. 14. [i] Jac. 5. 16. Cf. Gal. 6. 1. [k] Vid. Marc. 9. 50. [l] Vid. Rom. 14. 19. [m] Vid. 1 Thess. 4. 3. [n] Matt. 5. 8. Cf. 1 Pet. 1. 15. [o] Vid. cap. 4. 1 & 1 Cor. 1. 7. Cf. 2 Cor. 6. 1. Cf. Gal. 5. 4. [p] Vid. Act. 11. 23. [q] Deut. 29. 18. Cf. Act. 8. 23. [r] Luc. 6. 18 (var. lect.). [s] Cf. Gal. 5. 9. [t] cap. 13. 4. Vid. 1 Cor. 6. 9. [u] Vid. 1 Tim. 1. 9. [x] Gen. 25. 33. [y] Gen. 27. 34, 36, 38. [z] Cf. cap. 6. 6. [a] Cf. 2 Cor. 3. 7, 9. [b] Ex. 19. 18; 20. 18. [c] Deut. 4. 11; 5. 22. [d] Ex. 19. 16, 19; 20. 18. Cf. ver. 26. [e] Ex. 20. 19. Deut. 5. 5, 25, 27; 18. 16. Cf. ver. 25. [f] Cf. Ex. 19. 12, 13. [g] Ex. 19. 16. [h] Rev. 14. 1. [i] cap. 11. 10. Eph. 2. 19. [k] Vid. cap. 3. 12. [l] Cf. Gal. 4. 26. [m] Jud. 14. [n] cap. 2. 12. [o] Ex. 4. 22. [p] Vid. Luc. 10. 20. [q] Gen. 18. 25. Ps. 9. 8; 50. 6; 58. 11; 67. 4; 75. 7; 82. 1; 94. 2; 96. 10, 13; 98. 9. [r] Vid. cap. 11. 40. [s] Vid. Gal. 3. 19. Cf. cap. 8. 6; 9. 15. [t] 1 Pet. 1. 2. Cf. Ex. 24. 8. cap. 10. 22. [u] Vid. cap. 6. 9. [x] cap. 11. 4. [y] cap. 3. 12.

[1] μὲν TTr *marg.* WH (*non marg.*) *dub.*, R. [2] παιδία T. [3] ποιεῖτε TTrWH (*non marg.*). [4] δι' αὐτῆς LTr *marg.* WH (*non marg.*). [5] (ν) + οἱ LTTrWHR. [6] Ἡσαῦ S, *non* E. [7] ἀπέδετο LWH. [8] ἑαυτοῦ LTTrWHR. [9] ἀπεδοκιμάσθη, μετανοίας...εὗρεν, WH, *at* ἀπεδοκιμάσθη (μετανοίας...εὗρεν), R. [10] — ὄρει LTTrWHR. [11] ζόφῳ LTTrWHR. [12] — μὴ WH (*non marg.*). [13] — ἢ βολίδι κατατοξευθήσεται LTTrWHR. * —, SBLR. [14] Μωυσῆς LT(-ϋ-)TrWH. [15] ἔκτρομος Tr *marg.* WH *marg.* [16] Ἱερουσαλὴμ WH. [17] , LTr. [18] *Jungunt* SLTTrR *marg.* πανηγύρει *cum v.* 22. [19] ἀπογεγραμμένων ἐν οὐρανοῖς LTTrWHR. [20] κρεῖττον LTTrWHR. [21] Ἅβελ WH.

τὸν λαλοῦντα. εἰ γὰρ ἐκεῖνοι οὐκ [a]**ἔφυγον**[1], **τὸν**[2]
ἐπὶ **τῆς**[3] γῆς παραιτησάμενοι[4] [b]χρηματίζοντα, **πολ-
λῷ**[5] μᾶλλον ἡμεῖς οἱ τὸν ἀπ' **οὐρανῶν**[6] ἀποστρεφό-
μενοι, οὗ [c]ἡ φωνὴ τὴν γῆν ἐσάλευσε τότε, νῦν δὲ 26
φεύξεται[14] ὁ θάνατος ἀπ' αὐτῶν. Καὶ [b]τὰ ὁμοιώματα 7
[r]τῶν ἀκρίδων **ὅμοια**[15] ἵπποις ἡτοιμασμένοις εἰς πόλε-

[a] Deut. 29. 18. Jer. 9. 15; 23. 15. Lam. 3. 15, 19. Amos 5. 7.
[b] Cf. Ex. 15. 23.
[c] ver. 1, 7, &c.
[d] cap. 6. 12, 13. Vid. Matt. 24. 29.
[e] cap. 14. 6. Cf. cap. 19. 17.
[f] cap. 9. 12; 11. 14.
[g] cap. 12. 12.
[h] Vid. cap. 3. 10.
[i] ver. 1.
[k] Cf. 6. 13; 8. 10.
[l] Luc. 10. 18.
[m] Cf. cap. 1. 18.
[n] ver. 2, 11. Luc. 8. 31. Rom. 10. 7. cap. 11. 7; 17. 8; 20. 1, 3.
[o] Matt. 13. 42, 50.
[p] Joel 2. 10.
[q] cap. 16. 10.
[r] ver. 7. Ex. 10. 4. Prov. 30. 27. Joel 1. 4; 2. 25. Cf. Judic. 6. 5; 7. 12.
[s] ver. 5, 10. Deut. 8. 15. 1 Reg. 12. 11, 14. 2 Chr. 10. 11, 14. Ezek. 2. 6. Luc. 10. 19; 11. 12.
[t] ver. 10. Vid. ver. 19.
[u] cap. 8. 7.
[x] cap. 7. 2.
[y] cap. 7. 3.
[z] ver. 10.
[a] Job 3. 21; 7. 15, 16. Jer. 8. 3.
[b] Joel 2. 4.

1 +τῶν LTTrWHR. 2 φάνῃ LTWHR, φανῇ Tr. 3 ἴδον T. 4 ἀετοῦ πετομένου LTTrWHR. 5 τοὺς κατοικοῦντας TTrWH (*non marg.*) R. 6 ἐσκοτώθη LTWH. 7 αὐτοῖς T. 8 ἀδικήσουσιν LTTr *marg.* WH. 9 —μόνους LTTrWHR. 10 —αὐτῶν LTTrWHR. 11 αὐτοῖς LTTr *marg.* WH *marg.* 12 βασανισθήσονται LTTrWHR. 13 οὐ μὴ εὕρωσιν (εὑρήσουσιν TTrWH *text.*) LTTrWH *marg.* R. 14 φεύγει LTTrWHR. 15 ὅμοιοι TWH *marg.*

μον, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτῶν [a]ὡς στέφανοι ὅμοιοι
χρυσῷ, καὶ τὰ πρόσωπα αὐτῶν [b]ὡς πρόσωπα ἀνθρώ-
8 πων· καὶ **εἶχον**[1] τρίχας ὡς τρίχας γυναικῶν· καὶ [c]οἱ
9 ὀδόντες αὐτῶν ὡς λεόντων ἦσαν· καὶ **εἶχον**[*] θώρακας
ὡς θώρακας σιδηροῦς· καὶ [d]ἡ φωνὴ τῶν πτερύγων
αὐτῶν ὡς φωνὴ ἁρμάτων[†] [e]ἵππων πολλῶν τρεχόντων
10 εἰς πόλεμον. καὶ ἔχουσιν οὐρὰς **ὁμοίας**[2] [f]σκορπίοις,
καὶ κέντρα **ἦν**[3] ἐν ταῖς οὐραῖς αὐτῶν· **καὶ**[4] ἡ ἐξου-
σία αὐτῶν ἀδικῆσαι τοὺς ἀνθρώπους [g]μῆνας πέντε.
11 **Καὶ**[5] ἔχουσιν **ἐφ' αὐτῶν**[6] [h]βασιλέα τὸν ἄγγελον [i]τῆς
ἀβύσσου· [7]ὄνομα αὐτῷ [k]Ἑβραϊστὶ[8] [l]Ἀβαδδών, καὶ
12 ἐν τῇ Ἑλληνικῇ ὄνομα ἔχει Ἀπολλύων. [m]Ἡ οὐαὶ
ἡ μία ἀπῆλθεν· ἰδοὺ **ἔρχονται**[9] ἔτι δύο οὐαὶ μετὰ
ταῦτα.

ΚΖʹ. 13 ΚΑΙ [n]ὁ ἕκτος ἄγγελος ἐσάλπισε, καὶ ἤκουσα φω-
νὴν μίαν ἐκ τῶν **τεσσάρων**[10] κεράτων [o]τοῦ θυσιαστη-
14 ρίου τοῦ χρυσοῦ τοῦ ἐνώπιον τοῦ Θεοῦ, **λέγουσαν**[11]
τῷ ἕκτῳ ἀγγέλῳ **ὃς εἶχε**[12] τὴν σάλπιγγα, "Λῦσον
[p]τοὺς τέσσαρας ἀγγέλους τοὺς δεδεμένους ἐπὶ [q]τῷ
15 ποταμῷ τῷ μεγάλῳ Εὐφράτῃ." Καὶ ἐλύθησαν [p]οἱ
τέσσαρες ἄγγελοι οἱ ἡτοιμασμένοι εἰς τὴν ὥραν καὶ
[r]ἡμέραν καὶ [s]μῆνα καὶ [r]ἐνιαυτόν, ἵνα [t]ἀποκτείνωσι τὸ
16 τρίτον τῶν ἀνθρώπων. καὶ ὁ ἀριθμὸς[13] στρατευμά-
των [u]τοῦ ἱππικοῦ **δύο** [x]**μυριάδες**[14] μυριάδων· **καὶ**[15]
17 [y]ἤκουσα τὸν ἀριθμὸν αὐτῶν. Καὶ οὕτως **εἶδον**[16] τοὺς
ἵππους ἐν τῇ ὁράσει, καὶ τοὺς καθημένους ἐπ' αὐτῶν,
ἔχοντας θώρακας [z]πυρίνους καὶ [a]ὑακινθίνους καὶ [b]θειώ-
δεις· καὶ [c]αἱ κεφαλαὶ τῶν ἵππων ὡς κεφαλαὶ λεόν-
των, καὶ [d]ἐκ τῶν στομάτων αὐτῶν ἐκπορεύεται πῦρ
18 καὶ [e]καπνὸς καὶ [b]θεῖον. **ὑπὸ**[17] τῶν τριῶν[18] τούτων
ἀπεκτάνθησαν [t]τὸ τρίτον τῶν ἀνθρώπων, ἐκ [e]τοῦ πυ-

[*] **εἶχαν** WH. [†] + , BER.

[1] εἶχαν LTTrWH. [2] ὁμοίοις Tr (*non marg.*) WH *marg.* (*Ap.* †). [3] , καὶ LTWH, · καὶ TrR. [4] — · καὶ LTTrWHR. [5] —Καὶ LTTrWHR. [6] ἐπ' αὐτῶν LTTrWHR. [7] +ᾧ T. [8] Ἐβραϊστὶ WH. [9] ἔρχεται LTTrWHR. [10] —τεσσάρων LTrWHR. [11] λέγοντα LTTrWHR. [12] ὁ ἔχων LTTrWHR. [13] +τῶν LTTrWHR. [14] δισμυριάδες LT, δὶς μυριάδες WH. [15] —καὶ LTTrWHR. [16] ἴδον T. [17] ἀπὸ LTTrWHR. [18] +πληγῶν LTTrWHR.

[a] Nah. 3. 17. Cf. cap. 6. 2.
[b] Dan. 7. 8.
[c] Joel 1. 6.
[d] Joel 2. 5.
[e] Jer. 8. 6.
[f] ver. 3, 5.
[g] ver. 5.
[h] Cf. Job 18. 14. Eph. 2. 2.
[i] ver. 1. 2.
[k] cap. 16. 16. Vid. Joan. 5. 2.
[l] Heb. in Job 26. 6; 28. 22; 31. 12. Ps. 88. 11. Prov. 15. 11; 27. 20.
[m] cap. 8. 13; 11. 14.
[n] cap. 8. 1.
[o] Ex. 30. 3. Vid. cap. 8. 3.
[p] Cf. cap. 7. 1.
[q] cap. 16. 12.
[r] Esa. 34. 8; 61. 2.
[s] Ose. 5. 7.
[t] ver. 18. Vid. cap. 8. 7.
[u] Ezek. 38. 4.
[x] Cf. cap. 5. 11 (var. lect.). Jud. 14.
[y] cap. 7. 4.
[z] Ezek. 28. 14, 16. Ecclus. 48. 9 (Gr.). Cf. ver. 18.
[a] Septuagint. in Ex. 25. 5; 26. 4; 28. 33. Num. 4. 6, 8—11. Cf. Ecclus. 40. 4; 45. 10. 1 Macc. 4. 23. cap. 21. 20.
[b] ver. 18. cap. 14. 10; 19. 20; 20. 10; 21. 8.
[c] Cf. 1 Chr. 12. 8. Esa. 5. 28, 29.
[d] cap. 11. 5.
[e] cap. 16. 8. ver. 18.

ρὸς καὶ ἐκ[1] [a]τοῦ καπνοῦ καὶ ἐκ[1] [a]τοῦ θείου, [a]τοῦ ἐκ-
πορευομένου ἐκ τῶν στομάτων αὐτῶν. **αἱ γὰρ ἐξου-** 19
σίαι αὐτῶν ἐν τῷ στόματι αὐτῶν εἰσίν[2]· αἱ γὰρ οὐραὶ
αὐτῶν ὅμοιαι ὄφεσιν, ἔχουσαι κεφαλάς, καὶ ἐν αὐ-
ταῖς [b]ἀδικοῦσι. Καὶ οἱ λοιποὶ τῶν ἀνθρώπων οἳ οὐκ 20
ἀπεκτάνθησαν ἐν ταῖς πληγαῖς ταύταις, [c]**οὔτε**[3] μετε-
νόησαν ἐκ [d]τῶν ἔργων τῶν χειρῶν αὐτῶν, ἵνα μὴ
προσκυνήσωσι[4] [e]τὰ δαιμόνια, καὶ[5] εἴδωλα [fg]τὰ χρυσᾶ
καὶ [fg]τὰ ἀργυρᾶ καὶ [g]τὰ χαλκᾶ καὶ [g]τὰ λίθινα καὶ τὰ
[g]ξύλινα, [g]ἃ οὔτε βλέπειν **δύναται**[6], οὔτε ἀκούειν, οὔτε
περιπατεῖν· καὶ [c]οὐ μετενόησαν ἐκ τῶν [h]φόνων αὐ- 21
τῶν, οὔτε ἐκ τῶν [hi]**φαρμακειῶν**[7] αὐτῶν, οὔτε ἐκ τῆς
[hk]πορνείας αὐτῶν, οὔτε ἐκ τῶν κλεμμάτων αὐτῶν.

10 ΚΑΙ εἶδον [l]ἄλλον ἄγγελον ἰσχυρὸν [m]καταβαίνοντα ΚΗ΄.
ἐκ τοῦ οὐρανοῦ, περιβεβλημένον νεφέλην, καὶ[8] [n]ἶρις
ἐπὶ **τῆς κεφαλῆς**[9], καὶ [o]τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος,
καὶ [p]οἱ πόδες αὐτοῦ [q]ὡς στύλοι[10] πυρός· καὶ **εἶχεν**[11] ἐν 2
τῇ χειρὶ αὐτοῦ [r]βιβλαρίδιον **ἀνεῳγμένον**[12]· καὶ [s]ἔθηκε
τὸν πόδα αὐτοῦ τὸν δεξιὸν ἐπὶ **τὴν θάλασσαν**[13], τὸν δὲ
εὐώνυμον ἐπὶ **τὴν** γῆν[14], καὶ ἔκραξε [t]φωνῇ μεγάλῃ 3
ὥσπερ λέων μυκᾶται· καὶ ὅτε ἔκραξεν, ἐλάλησαν [u]αἱ
ἑπτὰ βρονταὶ τὰς ἑαυτῶν φωνάς· καὶ ὅτε ἐλάλησαν 4
αἱ ἑπτὰ βρονταὶ **τὰς φωνὰς ἑαυτῶν**[15], **ἔμελλον**[16] γρά-
φειν· καὶ [x]ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ, λέγουσάν
μοι[17], [y]"Σφράγισον ἃ ἐλάλησαν αἱ ἑπτὰ βρονταί,
καὶ [z]μὴ **ταῦτα**[18] γράψῃς." Καὶ ὁ ἄγγελος, ὃν εἶδον 5
[s]ἑστῶτα ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς, [a]ἦρε
τὴν χεῖρα αὐτοῦ[19] εἰς τὸν οὐρανόν, καὶ [a]ὤμοσεν ἐν 6
[b]τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, [c]ὃς ἔκτισε τὸν
οὐρανὸν καὶ τὰ ἐν αὐτῷ, καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτῇ,

[a] Vid. ver. 17. [b] cap. 2. 11; 6. 6; 7. 2, 3; 11. 5. ver. 4, 10. [c] ver. 21. Cf. cap. 2. 21. [d] Deut. 31. 29. Vid. Act. 19. 26. [e] Cf. 1 Cor. 10. 20. [f] Ps. 115. 4–7; 135. 15–17. [g] Dan. 5. 23. [h] cap. 21. 8; 22. 15. [i] 2 Reg. 9. 22. Gal. 5. 20. cap. 18. 23. [k] Vid. 1 Cor. 6. 18. [l] cap. 5. 2. [m] cap. 18. 1. [n] cap. 4. 3. [o] cap. 1. 16. [p] cap. 1. 15. [q] Cant. 5. 15. [r] ver. 8, 9, 10. Ezek. 2. 9. [s] ver. 5, 8. [t] Joel 3. 16. Amos 1. 2. Cf. cap. 6. 1. [u] Cf. cap. 4. 5. [x] ver. 8. [y] Dan. 8. 26; 12. 4, 9. Cf. cap. 22. 10. [z] Cf. cap. 1. 19. [a] Gen. 14. 22. Ex. 6. 8 (Heb.). Num. 14. 30 (Heb.). Deut. 32. 40. Ezek. 20. 5, 6, 15, 23, 28, 42; 36. 7; 47. 14. Dan. 12. 7. [b] Vid. cap. 1. 18. [c] Cf. cap. 4. 11.

[1] –ἐκ LTTrWHR. [2] ἡ γὰρ ἐξουσία τῶν ἵππων ἐν τῷ στόματι αὐτῶν ἐστὶν καὶ ἐν ταῖς οὐραῖς αὐτῶν LTTrWHR. [3] οὐδὲ T, οὐ WH *text*. R, οὔτε *vel* οὐδὲ WH *marg*. [4] προσκυνήσουσιν LTTrWHR. [5] +τὰ LTTrWHR. [6] δύνανται LTTrWHR. [7] φαρμακιῶν TWH *marg*., φαρμάκων Tr *marg*., WH *text*. R. [8] +ἡ LTTrWHR. [9] τὴν κεφαλὴν αὐτοῦ LTTrWHR. [10] στῦλοι LT. [11] ἔχων LTTrWHR. [12] ἠνεῳγμένον LTTrWH. [13] τῆς θαλάσσης LTTrWHR. [14] τῆς γῆς LTTrWHR. [15] –τὰς φωνας ἑαυτῶν LTTrWHR. [16] ἤμελλον LTrWH. [17] –μοι LTTrWHR. [18] αὐτὰ LTTrWHR. [19] +τὴν δεξιὰν LTTrWHR.

καὶ τὴν θάλασσαν καὶ τὰ ἐν αὐτῇ[1], [a]"Ὅτι χρόνος οὐκ
7 ἔσται ἔτι[2,3] ἀλλὰ[4] ἐν ταῖς ἡμέραις τῆς φωνῆς [b]τοῦ
ἑβδόμου ἀγγέλου, ὅταν μέλλῃ σαλπίζειν,[5] καὶ [c]τε-
λεσθῇ[6] [d]τὸ μυστήριον τοῦ Θεοῦ, ὡς [e]εὐηγγέλισε τοῖς
ἑαυτοῦ δούλοις τοῖς προφήταις[7]."
8 Καὶ [f]ἡ φωνὴ ἣν ἤκουσα ἐκ τοῦ οὐρανοῦ, πάλιν
λαλοῦσα[8] μετ᾽ ἐμοῦ, καὶ λέγουσα[9], "[e]Ὕπαγε λάβε
[g]τὸ βιβλαρίδιον[10] τὸ ἠνεῳγμένον ἐν τῇ χειρὶ[11] ἀγγέλου
[h]τοῦ ἑστῶτος ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς."
9 Καὶ ἀπῆλθον[12] πρὸς τὸν ἄγγελον, λέγων αὐτῷ, "Δός[13]
μοι [g]τὸ βιβλαρίδιον." Καὶ λέγει μοι, "[i]Λάβε καὶ
[i]κατάφαγε αὐτό· καὶ [i]πικρανεῖ σου τὴν κοιλίαν, ἀλλ᾽
ΚΘ'. 10 [i]ἐν τῷ στόματί σου ἔσται γλυκὺ ὡς μέλι." Καὶ [i]ἔλα-
βον [g]τὸ βιβλαρίδιον ἐκ τῆς χειρὸς τοῦ ἀγγέλου, καὶ
[i]κατέφαγον αὐτό· καὶ [i]ἦν ἐν τῷ στόματί μου ὡς μέλι,
γλυκύ· καὶ ὅτε ἔφαγον αὐτό, [i]ἐπικράνθη ἡ κοιλία
11 μου. Καὶ λέγει[14] μοι, [k]"Δεῖ σε πάλιν προφητεῦσαι
ἐπὶ [l]λαοῖς καὶ[15] [l]ἔθνεσι καὶ [l]γλώσσαις καὶ βασιλεῦσι
πολλοῖς."

11 Καὶ ἐδόθη μοι [m]κάλαμος ὅμοιος ῥάβδῳ,[16] λέγων,
"[n]Ἔγειραι[17], καὶ μέτρησον [n]τὸν ναὸν τοῦ Θεοῦ, καὶ [o]τὸ
2 θυσιαστήριον, καὶ τοὺς προσκυνοῦντας ἐν αὐτῷ· καὶ
[p q]τὴν αὐλὴν [p]τὴν ἔσωθεν[18] [n]τοῦ ναοῦ ἔκβαλε ἔξω[19], καὶ
μὴ αὐτὴν μετρήσῃς, [r]ὅτι ἐδόθη τοῖς ἔθνεσι· καὶ [s]τὴν
πόλιν τὴν ἁγίαν πατήσουσι [t]μῆνας τεσσαράκοντα
Λ'. 3 δύο[20]. Καὶ δώσω [u]τοῖς δυσὶ μάρτυσί μου, καὶ προφη-
τεύσουσιν [t]ἡμέρας χιλίας διακοσίας ἑξήκοντα, [x]περι-
4 βεβλημένοι[21] σάκκους." Οὗτοί εἰσιν [y]αἱ δύο ἐλαῖαι
καὶ[22] [z]δύο λυχνίαι [a]αἱ[23] ἐνώπιον τοῦ[24] Θεοῦ[25] τῆς γῆς
5 ἑστῶσαι[26]. καὶ εἴ τις αὐτοὺς θέλῃ[27] [b]ἀδικῆσαι, [c]πῦρ ἐκ-

[1] [*καὶ τὴν θάλασσαν καὶ τὰ ἐν αὐτῇ*] LWH, *omittit hæc verba* R *marg.* [2] οὐκέτι ἔσται LTTrWHR. [3] ἔσται, WH *marg.* [4] ἀλλ᾽ LTTrWH. [5] σαλπιζειν· WH *marg.* [6] ἐτελέσθη LTTrWHR. [7] τοὺς ἑαυτοῦ δουλους τοὺς προφητας LTTrWHR. [8] λαλοῦσαν LTTrWHR. [9] λεγουσαν LTTrWHR. [10] βιβλίον LTrWHR. [11] +τοῦ LTTrWHR. [12] ἀπῆλθα LTWH. [13] (*om.* ,) δοῦναί LTTrWHR. [14] λεγουσίν LTTrWHR. [15] +ἐπὶ T, *nec vult.* [16] +καὶ ὁ ἄγγελος εἱστηκει BE. [17] Ἔγειρε LTTrWH. [18] ἔξωθεν BELTTrWHR. [19] ἔξωθεν LTTrWHR. [20] τεσσαρακονταδύο B, τεσσεράκοντα καὶ (—καὶ TTr, [καὶ] WH) δύο LTTrWH. [21] περιβεβλημένους Tr (*non marg.*) WH (*dub.*). [22] +αἱ LTTrWHR. [23] [αἱ] WH. [24] —τοῦ L. [25] κυρίου LTTrWHR. [26] ἑστῶτες LTTrWHR. [27] θέλει LTTrWHR.

[a] Cf. Dan. 12. 7. cap. 12. 12; 16. 17; 21. 6. [b] cap. 11. 15. [c] cap. 17. 17. [d] Vid. cap. 1. 20. [e] cap. 14. 6. [f] ver. 4. [g] ver. 2, 9, 10. [h] ver. 2. [i] Ezek. 2. 8; 3. 1—3. ver. 10. Cf. Jer. 15. 16. [k] Ezek. 37. 4, 9. [l] Cf. cap. 5. 9. [m] Ezek. 40. 3. Zech. 2. 1. cap. 21. 15, 16. Cf. Jer. 31. 39. [n] cap. 3. 12. [o] Ezek. 41. 22. Vid. cap. 8. 3. [p] Ezek. 40. 17, 20. [q] Vid. Matt. 26. 3. [r] Luc. 21. 24. Cf. Ps. 79. 1. [s] Cf. cap. 21. 2, 10; 22. 19. [t] ver. 3. cap. 12. 6; 13. 5. Vid. Matt. 4. 5. [u] Cf. ver. 10. cap. 19. 10; 20. 4. [x] Gen. 27. 34. 2 Sam. 3. 31. 1 Reg. 20. 31; 21. 27. 2 Reg. 6. 20; 19. 1, 2. 1 Chr. 21. 16. Neh. 9. 1. Esth. 4. 1. Ps. 35. 13; 69. 11. Esa. 22. 12; 37. 1, 2. Joel 1. 13. Jonah 3. 5, 6, 8. Matt. 11. 21. Luc. 10. 13. [y] Zech. 4. 3, 11. Cf. Ps. 52. 8. Jer. 11. 16. [z] Zech. 4. 2. [a] Zech. 4. 14. [b] cap. 9. 19. [c] cap. 9. 17, 18. Cf. 2 Reg. 1. 10, 12. Jer. 5. 14.

πορεύεται ἐκ τοῦ στόματος αὐτῶν, καὶ κατεσθίει τοὺς
ἐχθροὺς αὐτῶν· καὶ εἴ τις **αὐτοὺς θέλῃ**[1] [a]ἀδικῆσαι,
[b]οὕτω δεῖ αὐτὸν ἀποκτανθῆναι. Οὗτοι ἔχουσιν[2] ἐξου- 6
σίαν [c]κλεῖσαι τὸν οὐρανόν, ἵνα μὴ **βρέχῃ ὑετὸς ἐν**
ἡμέραις αὐτῶν τῆς προφητείας[3]· καὶ ἐξουσίαν ἔχουσιν
[d]ἐπὶ τῶν ὑδάτων, [d]στρέφειν αὐτὰ εἰς αἷμα, καὶ [e]πατά-
ξαι τὴν γῆν[4] πάσῃ πληγῇ, ὁσάκις ἐὰν θελήσωσι.
Καὶ ὅταν τελέσωσι τὴν μαρτυρίαν αὐτῶν, [f]τὸ θηρίον 7
τὸ ἀναβαῖνον ἐκ [g]τῆς ἀβύσσου [h]ποιήσει **πόλεμον μετ'**
αὐτῶν[5], καὶ νικήσει αὐτούς, καὶ ἀποκτενεῖ αὐτούς. καὶ 8
τὰ πτώματα[6] αὐτῶν ἐπὶ τῆς πλατείας[7] [i]πόλεως τῆς
μεγάλης, ἥτις καλεῖται πνευματικῶς [k]Σόδομα καὶ
[l]Αἴγυπτος, [m]ὅπου καὶ ὁ Κύριος **ἡμῶν**[8] ἐσταυρώθη.
καὶ **βλέψουσιν**[9] ἐκ τῶν [n]λαῶν καὶ [n]φυλῶν καὶ [n]γλωσ- 9
σῶν καὶ [n]ἐθνῶν **τὰ πτώματα**[6] αὐτῶν [t]ἡμέρας τρεῖς
καὶ ἥμισυ, καὶ [o]τὰ πτώματα αὐτῶν οὐκ **ἀφήσουσι**[10]
τεθῆναι εἰς **μνήματα**[11]. καὶ [p]οἱ κατοικοῦντες ἐπὶ τῆς 10
γῆς **χαροῦσιν**[12] ἐπ' αὐτοῖς, καὶ **εὐφρανθήσονται**[13]· καὶ
[q]δῶρα **πέμψουσιν**[14] ἀλλήλοις, ὅτι [r]οὗτοι οἱ δύο προφῆ-
ται [s]ἐβασάνισαν [p]τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς. Καὶ 11 ΛΑ'.
μετὰ [t]**τὰς**[15] τρεῖς ἡμέρας καὶ ἥμισυ, [u]πνεῦμα ζωῆς ἐκ
τοῦ Θεοῦ εἰσῆλθεν **ἐπ' αὐτούς**[16], καὶ [x]ἔστησαν ἐπὶ
τοὺς πόδας αὐτῶν, καὶ φόβος μέγας **ἔπεσεν**[17] ἐπὶ τοὺς
θεωροῦντας αὐτούς. καὶ ἤκουσαν **φωνὴν μεγάλην**[18] 12
ἐκ τοῦ οὐρανοῦ, **λέγουσαν**[19] αὐτοῖς, [y]"**Ἀνάβητε**[20] ὧδε."
Καὶ [z]ἀνέβησαν εἰς τὸν οὐρανὸν [a]ἐν τῇ νεφέλῃ, καὶ
ἐθεώρησαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν. Καὶ ἐν ἐκείνῃ 13
τῇ ὥρᾳ [b]ἐγένετο σεισμὸς μέγας, καὶ τὸ δέκατον τῆς
πόλεως ἔπεσε, καὶ ἀπεκτάνθησαν ἐν τῷ σεισμῷ [c]ὀνό-
ματα ἀνθρώπων χιλιάδες ἑπτά· καὶ οἱ λοιποὶ ἔμφο-

[a] Vid. cap. 9. 19.
[b] Cf. Num. 16. 29, 35.
[c] Luc. 4. 25. Cf. 1 Reg. 17. 1. Jac. 5. 17.
[d] Cf. cap. 8. 8.
[e] Ex. cap. 7—10.
[f] cap. 17. 8. Cf. cap. 13. 1.
[g] cap. 9. 1. Vid. Luc. 8. 31.
[h] Dan. 7. 21. Cf. cap. 12. 7, 17; 13. 7; 19. 19.
[i] cap. 16. 19; 17. 18; 18. 10, 18, 19, 21.
[k] Cf. Esa. 1. 10; 3. 9.
[l] Cf. Ezek. 23. 3, 8, 19, 27.
[m] Cf. cap. 14. 20.
[n] Vid. cap. 5. 9.
[o] Ps. 79. 2, 3.
[p] Vid. cap. 3. 10.
[q] Neh. 8. 10, 12. Esther 9. 19, 22.
[r] Cf. ver. 3.
[s] Cf. 1 Reg. 18. 17.
[t] ver. 9.
[u] Gen. 2. 7. Ezek. 37. 5, 9, 14.
[x] Ezek. 37. 10.
[y] cap. 4. 1.
[z] Cf. cap. 12. 5. 2 Reg. 2. 11.
[a] 1 Thess. 4. 17.
[b] ver. 19. Vid. cap. 6. 12.
[c] cap. 3. 4. Vid. Act. 1. 15.

[1] θελει αὐτοὺς L, θελήσῃ αὐτοὺς T WH *text*. R (θέλει *vel* θελήσει αὐτ. WH *marg.*), αὐτοὺς θελήσῃ Tr. [2] +τὴν LTrWHR. [3] ὑετὸς βρεχῃ τὰς ἡμέρας τῆς προφητείας αὐτῶν LTTrWHR. [4] +ἐν LTTrWHR. [5] μετ' αὐτῶν πόλεμον LTTrWHR. [6] τὸ πτῶμα LTTrWHR. [7] +τῆς LTTrWHR. [8] αὐτῶν LTTrWHR. [9] βλέπουσιν LTTrWHR. [10] ἀφίουσιν LTTrWHR. [11] μνῆμα LTTrWHR. [12] χαιρουσιν LTTrWHR. [13] εὐφραίνονται LTTrWHR. [14] πέμπουσιν T. [15] —τὰς *vult* T, [τὰς] WH. [16] ἐν αὐτοῖς LTR, [ἐν] αὐτοῖς WH, αὐτοῖς Tr. [17] ἐπέπεσεν LTTrWHR. [18] φωνῆς μεγάλης T (*ita vult*) TrWH (*non marg.*) R. [19] λεγούσης T (*ita vult*) TrWH (*non marg.*) R. [20] Ἀνάβατε LTTrWHR.

βοι ἐγένοντο, καὶ [a] ἔδωκαν δόξαν [b] τῷ Θεῷ τοῦ οὐρανοῦ.
14 [c] Ἡ οὐαὶ ἡ δευτέρα ἀπῆλθεν· [1] ἰδοὺ ἡ οὐαὶ ἡ τρίτη
ἔρχεται ταχύ.
ΛΒ'. 15 ΚΑΙ [d] ὁ ἕβδομος ἄγγελος ἐσάλπισε, καὶ [e] ἐγένοντο
φωναὶ μεγάλαι ἐν τῷ οὐρανῷ, **λέγουσαι**, [f] "**Ἐγένοντο
αἱ βασιλεῖαι**[2] τοῦ κόσμου, τοῦ Κυρίου ἡμῶν, καὶ [g] τοῦ
Χριστοῦ αὐτοῦ, καὶ [h] βασιλεύσει εἰς τοὺς αἰῶνας τῶν
16 αἰώνων." Καὶ [i] **οἱ**[3] εἴκοσι **καὶ**[4] τέσσαρες πρεσβύτε-
ροι **οἱ**[5] ἐνώπιον τοῦ Θεοῦ [i] **καθήμενοι**[6] ἐπὶ τοὺς θρό-
νους αὐτῶν, [k] ἔπεσαν ἐπὶ τὰ πρόσωπα αὐτῶν, καὶ
17 προσεκύνησαν τῷ Θεῷ, λέγοντες, "Εὐχαριστοῦμέν
σοι, [l] Κύριε ὁ Θεὸς [m] ὁ παντοκράτωρ, [n] ὁ ὢν καὶ ὁ ἦν
καὶ ὁ ἐρχόμενος[7], [8] ὅτι **εἴληφας**[9] τὴν δύναμίν σου τὴν
18 μεγάλην, καὶ [h] ἐβασίλευσας. καὶ τὰ ἔθνη ὠργίσθησαν,
καὶ [o] ἦλθεν ἡ ὀργή σου, καὶ [p] ὁ καιρὸς τῶν νεκρῶν
[p q] κριθῆναι, καὶ δοῦναι τὸν μισθὸν τοῖς δούλοις σου
[r] τοῖς προφήταις καὶ [r] τοῖς ἁγίοις καὶ [s] τοῖς φοβουμέ-
νοις τὸ ὄνομά σου, [s t] **τοῖς μικροῖς καὶ τοῖς μεγάλοις**[10],
καὶ [u] διαφθεῖραι τοὺς **διαφθείροντας**[11] τὴν γῆν."
ΛΓ'. 19 ΚΑΙ [x] ἠνοίγη [y] ὁ ναὸς τοῦ Θεοῦ[12] ἐν τῷ οὐρανῷ, καὶ
ὤφθη [z] ἡ κιβωτὸς τῆς διαθήκης αὐτοῦ ἐν τῷ ναῷ αὐ-
τοῦ· καὶ ἐγένοντο [a] ἀστραπαὶ καὶ φωναὶ καὶ βρονταὶ
12 καὶ [b] σεισμὸς καὶ [c] χάλαζα μεγάλη. Καὶ [d] σημεῖον μέγα
ὤφθη ἐν τῷ οὐρανῷ, γυνὴ [e] περιβεβλημένη τὸν ἥλιον,
καὶ [f] ἡ σελήνη ὑποκάτω τῶν ποδῶν αὐτῆς, καὶ ἐπὶ
2 τῆς κεφαλῆς αὐτῆς στέφανος ἀστέρων δώδεκα· καὶ
ἐν γαστρὶ ἔχουσα, [g] **κράζει**[13] ὠδίνουσα, καὶ βασανιζο-
3 μένη τεκεῖν. Καὶ ὤφθη [d] ἄλλο σημεῖον ἐν τῷ οὐρα-
νῷ, καὶ ἰδοὺ [h] δράκων **μέγας** [i] **πυρρός**[14], [k] ἔχων κεφαλὰς
ἑπτὰ καὶ [l] κέρατα δέκα· καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ
4 [m] **διαδήματα ἑπτά**[15]· καὶ ἡ οὐρὰ αὐτοῦ σύρει [n] τὸ τρίτον
τῶν ἀστέρων τοῦ οὐρανοῦ, καὶ [o] ἔβαλεν αὐτοὺς εἰς τὴν

[1] +καὶ B (1598). [2] λέγοντες (λέγουσαι Tr) Ἐγένετο ἡ βασιλεία LTTrWHR. [3] —οἱ L. [4] —καὶ LTTrWHR. [5] —οἱ L, [οἱ] WH *text.*: οἳ WH *marg.* R. [6] οἳ κάθηνται TTr, κάθηνται WH *marg.* R. [7] —καὶ ὁ ἐρχόμενος LTTrWHR. [8] +καὶ T WH *marg.* [9] εἴληφες WH. [10] τοὺς μικροὺς καὶ τοὺς μεγάλους LTrWHR. [11] διαφθείραντας L. [12] +ὁ LTTrWHR. [13] · καὶ ἔκραζεν L, · καὶ κράζει TWHR, *at* ἔχουσα κράζει, WH *marg.* [14] πυρρὸς μέγας LTTrWH *marg.* R. [15] ἑπτὰ διαδήματα LTTr WHR.

[a] cap. 14. 7; 16. 9; 19. 7. Cf. cap. 15. 4. Vid. Luc. 17. 18. [b] cap. 16. 11. 2 Chr. 36. 23. Ezra 1. 2; 5. 11, 12; 6. 9; 7. 12, 13. Neh. 1. 4, 5; 2. 4. Dan. 2. 18, 19, 44. Joan. 1. 9. [c] cap. 8. 13; 9. 12. [d] cap. 8. 2; 10. 7. [e] cap. 16. 17; 19. 1, 6. Cf. Esa. 27. 13. [f] Cf. cap. 12. 10. [g] Ps. 2. 2 (Septuagint.). [h] ver. 17. Dan. 2. 44; 7. 14, 18, 27. Luc. 1. 33. cap. 19. 6. [i] Vid. cap. 4. 4. [k] Vid. cap. 4. 10. [l] Vid. cap. 4. 8. [m] Vid. 2 Cor. 6. 18. [n] cap. 1. 4. [o] Ps. 2. 5; 110. 5. [p] cap. 14. 7; 18. 8; 20. 12. [q] cap. 6. 10; 19. 2. Cf. Dan. 7. 10. [r] cap. 16. 6. [s] cap. 19. 5. [t] cap. 13. 16; 19. 18; 20. 12. Vid. Act. 8. 10. [u] Cf. cap. 13. 10. [x] cap. 15. 5; 19. 11. [y] cap. 3. 12. [z] Vid. Heb. 9. 4. [a] (var. lect.) Vid. cap. 4. 5. [b] ver. 13. [c] cap. 8. 7; 16. 21. [d] ver. 3. cap. 15. 1. [e] Cf. Ps. 104. 2. [f] Cf. Cant. 6. 10. [g] Esa. 66. 7—10. Mic. 4. 10. [h] ver. 4, 7, 9, 13, 16, 17. cap. 13. 2, 4, 11; 16. 13; 20. 2. Cf. Ps. 91. 13. Esa. 27. 1. [i] cap. 6. 4. [k] cap. 13. 1; 17. 3, 7, 9, 12. [l] Dan. 7. 7. [m] cap. 13. 1; 19. 12. [n] Vid. cap. 8. 7. [o] Dan. 8. 10.

γῆν. Καὶ [a]ὁ δράκων ἕστηκεν[1] ἐνώπιον τῆς γυναικὸς
[b]τῆς μελλούσης τεκεῖν, [c]ἵνα ὅταν τέκῃ, τὸ τέκνον αὐ-
τῆς καταφάγῃ. καὶ [d]ἔτεκεν υἱὸν ἄρρενα,[2] ὃς μέλλει 5
[e]ποιμαίνειν πάντα τὰ ἔθνη ἐν ῥάβδῳ σιδηρᾷ· καὶ
[f]ἡρπάσθη τὸ τέκνον αὐτῆς [g]πρὸς τὸν Θεὸν καὶ[3] τὸν
θρόνον αὐτοῦ. καὶ ἡ γυνὴ ἔφυγεν [h]εἰς τὴν ἔρημον, 6
ὅπου ἔχει[4] τόπον ἡτοιμασμένον ἀπὸ τοῦ Θεοῦ, ἵνα
ἐκεῖ τρέφωσιν[5] αὐτὴν ἡμέρας [i]χιλίας διακοσίας ἑξή-
κοντα.

Καὶ ἐγένετο πόλεμος ἐν τῷ οὐρανῷ· ὁ[6] [k]Μιχαὴλ 7 ΛΔ'.
καὶ οἱ ἄγγελοι αὐτοῦ ἐπολέμησαν κατὰ[7] [a]τοῦ δράκον-
τος, καὶ ὁ δράκων ἐπολέμησε, καὶ [l]οἱ ἄγγελοι αὐτοῦ,
καὶ οὐκ ἴσχυσαν[8], [m]οὔτε[9] [n]τόπος εὑρέθη αὐτῶν ἔτι ἐν 8
τῷ οὐρανῷ. καὶ ἐβλήθη [a]ὁ δράκων ὁ μέγας, [o]ὁ ὄφις 9
ὁ ἀρχαῖος, [o]ὁ καλούμενος [p]Διάβολος, καὶ ὁ [q]Σατανᾶς,
[r]ὁ πλανῶν [s]τὴν οἰκουμένην ὅλην, [m]ἐβλήθη εἰς τὴν γῆν,
καὶ [m]οἱ ἄγγελοι αὐταῦ μετ' αὐτοῦ ἐβλήθησαν. Καὶ 10
ἤκουσα φωνὴν μεγάλην λέγουσαν ἐν τῷ οὐρανῷ[10],
"Ἄρτι ἐγένετο [t]ἡ σωτηρία καὶ [u]ἡ δύναμις καὶ [x]ἡ βα-
σιλεία τοῦ Θεοῦ ἡμῶν, καὶ [x]ἡ ἐξουσία τοῦ Χριστοῦ
αὐτοῦ· [m]ὅτι κατεβλήθη[11] [y]ὁ κατήγορος[12] τῶν ἀδελφῶν
ἡμῶν, [y]ὁ κατηγορῶν αὐτῶν[13] ἐνώπιον τοῦ Θεοῦ ἡμῶν
[z]ἡμέρας καὶ νυκτός. καὶ αὐτοὶ [a]ἐνίκησαν αὐτὸν διὰ τὸ 11
αἷμα τοῦ ἀρνίου, καὶ [b]διὰ τὸν λόγον τῆς μαρτυρίας
αὐτῶν, καὶ [c]οὐκ[14] ἠγάπησαν τὴν ψυχὴν αὐτῶν [d]ἄχρι
θανάτου. διὰ τοῦτο [e]εὐφραίνεσθε οἱ[15] οὐρανοὶ καὶ [f]οἱ 12
ἐν αὐτοῖς σκηνοῦντες. [g]οὐαὶ [h]τοῖς κατοικοῦσι[16] τὴν γῆν
καὶ τὴν θάλασσαν, ὅτι κατέβη [o]ὁ διάβολος πρὸς
ὑμᾶς ἔχων θυμὸν μέγαν, [i]εἰδὼς ὅτι ὀλίγον καιρὸν
ἔχει." Καὶ ὅτε εἶδεν [a]ὁ δράκων [m]ὅτι ἐβλήθη εἰς τὴν 13 ΛΕ'.
γῆν, ἐδίωξε τὴν γυναῖκα [d]ἥτις ἔτεκε τὸν ἄρρενα[17].
Καὶ ἐδόθησαν τῇ γυναικὶ[18] δύο [k]πτέρυγες τοῦ ἀετοῦ 14

[1] ἕστηκεν WHR', *Joan.* viii. 44 WH. [2] , ἄρσεν, LTTrWHR. [3] +πρὸς LTTrWHR. [4] +ἐκεῖ T[Tr *marg.*]WHR: *ita vult* Tr. [5] τρέφουσιν TTrWH *marg.* [6] ὅ τε L. [7] τοῦ (—τοῦ T) πολεμῆσαι μετὰ LTTrWHR. [8] ἴσχυσεν WH (*non marg.*). [9] οὐδὲ LTTrWHR. [10] ἐν τῷ οὐρανῷ λέγουσαν LTTrWHR. [11] ἐβλήθη LTTrWHR. [12] κατήγωρ LTWH. [13] αὐτοὺς LTWH. [14] οὐχ L. [15] —οἱ TTrWH (*non marg.*) R. [16] —τοῖς κατοικοῦσι LTTrWHR. [17] ἄρσεναν L, ἄρσενα TTrWH. [18] +αἱ LTTrWHR.

[a] Vid. ver. 3. [b] ver. 2. [c] Cf. Ex. 1. 16. Matt. 2. 16. [d] ver. 13. [e] Matt. 2. 6. Vid. cap. 2. 27. [f] Vid. 2 Cor. 12. 2. [g] Cf. cap. 11. 12. [h] ver. 14. cap. 17. 3. [i] cap. 11. 2, 3; 13. 5. [k] Vid. Jud. 9. [l] Cf. Matt. 25. 41. [m] ver. 9, 12, 13. Vid. Luc. 10. 18. [n] Dan. 2. 35. [o] Gen. 3. 1. cap. 20. 2. [p] ver. 12. Vid. 1 Pet. 5. 8. [q] Vid. 1 Cor. 5. 5. [r] cap. 13. 14; 20. 3, 10. [s] Vid. Matt. 24. 14. [t] Vid. cap. 7. 10. [u] Vid. cap. 4. 11. [x] Cf. cap. 11. 15. [y] Job 1. 9; 2. 5. Zech. 3. 1. Cf. Rom. 8. 33, 34. 1 Pet. 5. 8. [z] Vid. cap. 4. 8. [a] cap. 15. 2. Vid. Joan. 16. 33. Cf. Rom. 16. 20. [b] ver. 17. cap. 1. 2. [c] Vid. Luc. 14. 26. [d] cap. 2. 10. [e] Ps. 96. 11. Esa. 44. 23; 49. 13 (Septuagint.). cap. 18. 20. [f] cap. 13. 6. Vid. cap. 7. 15. [g] cap. 8. 13. [h] Vid. cap. 3. 10. [i] Cf. Matt. 8. 29. cap. 10. 6. [k] Ex. 19. 4. Deut. 32. 11. Esa. 40. 31. Dan. 12. 4.

τοῦ μεγάλου, ἵνα πέτηται [a]εἰς τὴν ἔρημον εἰς τὸν
τόπον αὐτῆς, ὅπου τρέφεται ἐκεῖ [b]καιρόν, καὶ καιρούς,
15 καὶ ἥμισυ καιροῦ, ἀπὸ προσώπου τοῦ ὄφεως. Καὶ
ἔβαλεν ὁ ὄφις **ὀπίσω τῆς γυναικὸς ἐκ τοῦ στόματος**
αὐτοῦ[1] ὕδωρ [c]ὡς ποταμόν, ἵνα **ταύτην**[2] ποταμοφόρη-
16 τον ποιήσῃ. καὶ ἐβοήθησεν ἡ γῆ τῇ γυναικί, καὶ
ἤνοιξεν ἡ γῆ τὸ στόμα αὐτῆς, καὶ κατέπιε τὸν ποτα-
μὸν ὃν ἔβαλεν [d]ὁ δράκων ἐκ τοῦ στόματος αὐτοῦ.
17 Καὶ ὠργίσθη [d]ὁ δράκων **ἐπὶ**[3] τῇ γυναικί, καὶ ἀπῆλθε
[e]ποιῆσαι πόλεμον μετὰ τῶν λοιπῶν [f]τοῦ σπέρματος
αὐτῆς, [g]τῶν τηρούντων τὰς ἐντολὰς τοῦ Θεοῦ, καὶ
Λϛ'.18 [h]ἐχόντων [i]τὴν μαρτυρίαν **τοῦ**[4] Ἰησοῦ **Χριστοῦ**[5]. Καὶ
ἐστάθην[6] ἐπὶ τὴν ἄμμον τῆς θαλάσσης.

13 ΚΑΙ εἶδον [k]ἐκ τῆς θαλάσσης [l]θηρίον ἀναβαῖνον,
ἔχον [m]**κεφαλὰς ἑπτὰ καὶ** [mn]**κέρατα δέκα**[7], καὶ ἐπὶ τῶν
κεράτων αὐτοῦ δέκα [m]διαδήματα, καὶ ἐπὶ τὰς κεφαλὰς
2 αὐτοῦ [o]**ὄνομα**[8] βλασφημίας. καὶ τὸ θηρίον ὃ εἶδον ἦν
ὅμοιον [p]παρδάλει, καὶ οἱ πόδες αὐτοῦ ὡς [q]**ἄρκτου**[9], καὶ
τὸ στόμα αὐτοῦ ὡς στόμα [r]**λέοντος**[10]. καὶ ἔδωκεν αὐτῷ
[s]ὁ δράκων τὴν δύναμιν αὐτοῦ, καὶ [t]τὸν θρόνον αὐτοῦ,
3 καὶ [u]ἐξουσίαν μεγάλην. καὶ **εἶδον**[11] μίαν[12] τῶν κεφαλῶν
αὐτοῦ ὡς ἐσφαγμένην εἰς θάνατον· καὶ [x]ἡ πληγὴ τοῦ
θανάτου αὐτοῦ ἐθεραπεύθη, καὶ [y]**ἐθαυμάσθη**[13] **ἐν**[14] **ὅλῃ**
4 **τῇ γῇ**[15] ὀπίσω τοῦ θηρίου. καὶ προσεκύνησαν [s]**τὸν δρά-**
κοντα[16] **ὃς**[17] ἔδωκεν[18] [u]ἐξουσίαν τῷ θηρίῳ, καὶ προσε-
κύνησαν **τὸ θηρίον**[19], λέγοντες, [z]"Τίς ὅμοιος τῷ θηρίῳ;
5 [20]τίς δύναται πολεμῆσαι μετ' αὐτοῦ;" καὶ ἐδόθη
αὐτῷ στόμα [a]λαλοῦν μεγάλα καὶ **βλασφημίας**[21]· καὶ
ἐδόθη αὐτῷ [u]ἐξουσία[22] [b]ποιῆσαι μῆνας [c]**τεσσαράκοντα**[23]

[1] ἐκ τοῦ στόματος αὐτοῦ ὀπίσω τῆς γυναικὸς LTTrWHR. [2] αὐτήν LTTrWHR. [3] −ἐπὶ L. [4] −τοῦ LTTrWHR. [5] −Χριστοῦ LTTrWHR. [6] ἐστάθη LTrWHR. [7] κερατα δέκα καὶ κεφαλὰς ἑπτά LTTrWHR. [8] ὀνόματα LTTrWH (*non marg.*) R. [9] ἄρκου LTTrWHR. [10] λεόντων TWH *marg.* [11] −εἶδον LTTrWHR. [12] +ἐκ LTTrWHR. [13] ἐθαύμασεν BETTr *marg.* R. [14] −ἐν BELTTr *marg.* WHR. [15] ὅλη ἡ γῆ BELTTr *marg.* WHR. [16] τῷ δράκοντι LTTrWHR. [17] ὅτι LTTrWHR. [18] +τὴν LTTrWHR. [19] τῷ θηρίῳ LTTrWH (*non marg.*) R. [20] +καὶ LTTrWHR. [21] βλάσφημα L. [22] +πόλεμον E. [23] τεσσεράκοντα LTTrWH, *at* τεσσαρακονταδύο BE.

[a] ver. 6. [b] Dan. 7. 25; 12. 7. [c] Cf. Esa. 59. 19. [d] ver. 3, 17. [e] Vid. cap. 11. 7. [f] Gen. 3. 15. [g] cap. 14. 12. Vid. 1 Joan. 2. 3. [h] cap. 19. 10. Vid. 1 Joan. 5. 10. [i] ver. 11. cap. 1. 2. [k] Dan. 7. 3. Cf. cap. 11. 7. [l] ver. 14, 15. cap. 15. 2; 16. 13. [m] cap. 12. 3; 19. 12. [n] cap. 17. 12. [o] (var. lect.) cap. 17. 3. [p] Dan. 7. 6. Cant. 4. 8. Esa. 11. 6. Jer. 5. 6; 13. 23. Ose. 13. 7. Hab. 1. 8. [q] Esa. 11. 7. Dan. 7. 5. [r] Dan. 7. 4. [s] ver. 4, 11. Vid. cap. 12. 3. [t] cap. 16. 10. [u] Luc. 4 6. ver. 4, 5, 7, 12. Cf. Gal. 1. 4. 1 Joan. 5. 19. [x] ver. 12. Cf. ver. 14. cap. 17. 8, 11. [y] Cf. cap. 17. 8. [z] Cf. cap. 18. 18. [a] Dan. 7. 8, 11, 20, 25. Cf. Dan. 11. 36. 2 Thess. 2. 3, 4.

[b] Vid. Matt. 20. 12. [c] Vid. cap. 11. 2.

[1]δύο· καὶ ἤνοιξε τὸ στόμα αὐτοῦ εἰς **βλασφημίαν**[2] 6
πρὸς τὸν Θεόν, βλασφημῆσαι τὸ ὄνομα αὐτοῦ, καὶ
τὴν σκηνὴν αὐτοῦ, **καὶ**[3] [a]τοὺς ἐν τῷ οὐρανῷ σκηνοῦν-
τας. [4]**Καὶ ἐδόθη αὐτῷ** [b]**πόλεμον ποιῆσαι**[5] **μετὰ τῶν** 7
ἁγίων, καὶ νικῆσαι αὐτούς· καὶ ἐδόθη αὐτῷ [c]ἐξουσία
ἐπὶ πᾶσαν [d]φυλὴν [6]καὶ [d]γλῶσσαν καὶ [d]ἔθνος.
Καὶ προσκυνήσουσιν **αὐτῷ**[7] πάντες [e]οἱ κατοικοῦν- 8
τες ἐπὶ τῆς γῆς [f]**ὧν**[8] οὐ γέγραπται **τὰ ὀνόματα**[9] ἐν [g]**τῇ**
βίβλῳ[10] τῆς ζωῆς [h]τοῦ ἀρνίου [11]ἐσφαγμένου [i]ἀπὸ[12]
καταβολῆς κόσμου. [k]Εἴ τις ἔχει οὖς, ἀκουσάτω. 9
Εἴ τις [13]**αἰχμαλωσίαν**[14] **συνάγει**[15], [l]εἰς αἰχμαλωσίαν 10
ὑπάγει· [m]εἴ τις ἐν **μαχαίρᾳ**[16] **ἀποκτενεῖ**[17], [m]δεῖ αὐτὸν
ἐν **μαχαίρᾳ**[16] ἀποκτανθῆναι· [n]ὧδέ ἐστιν ἡ ὑπομονὴ
καὶ ἡ πίστις τῶν ἁγίων.
Καὶ [o]εἶδον ἄλλο [o]θηρίον ἀναβαῖνον ἐκ τῆς γῆς, καὶ 11 ΛΖ′.
εἶχε κέρατα δύο ὅμοια [h]ἀρνίῳ, καὶ ἐλάλει ὡς [p]δράκων.
καὶ [c]τὴν ἐξουσίαν τοῦ πρώτου θηρίου πᾶσαν ποιεῖ 12
[q]ἐνώπιον αὐτοῦ· καὶ ποιεῖ τὴν γῆν καὶ [e]τοὺς **κατοι-**
κοῦντας ἐν αὐτῇ[18] ἵνα [r]**προσκυνήσωσι**[19] τὸ θηρίον τὸ
πρῶτον, οὗ ἐθεραπεύθη [s]ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ·
καὶ [t]ποιεῖ σημεῖα μεγάλα, ἵνα καὶ [u]πῦρ ποιῇ **κατα-** 13
βαίνειν ἐκ τοῦ οὐρανοῦ[20] εἰς τὴν γῆν ἐνώπιον τῶν
ἀνθρώπων. καὶ [x]πλανᾷ [e]τοὺς κατοικοῦντας ἐπὶ τῆς 14
γῆς, [y]διὰ τὰ σημεῖα [z]ἃ ἐδόθη αὐτῷ ποιῆσαι [q]ἐνώπιον
τοῦ θηρίου, λέγων [e]τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς,
ποιῆσαι [a]**εἰκόνα**[21] [o]τῷ θηρίῳ **ὃ**[22] ἔχει [s]τὴν πληγὴν τῆς
μαχαίρας[23] καὶ ἔζησε. Καὶ ἐδόθη **αὐτῷ**[24] δοῦναι πνεῦ- 15
μα[25] [a]τῇ εἰκόνι [o]τοῦ θηρίου, ἵνα καὶ λαλήσῃ [a]ἡ εἰκὼν τοῦ
θηρίου, καὶ **ποιήσῃ**[26],[27] ὅσοι **ἂν**[28] μὴ [r]**προσκυνήσωσι**[29]

[a] cap. 12. 12. Vid. cap. 7. 15.
[b] Vid. cap. 11. 7.
[c] ver. 2, 12.
[d] Cf. cap. 5. 9.
[e] ver. 12, 14. Vid. cap. 3. 10.
[f] cap. 17. 8.
[g] Vid. cap. 3. 5.
[h] ver. 11. cap. 5. 6, 12.
[i] Vid. Matt. 13. 35. Cf. 1 Pet. 1. 20.
[k] Vid. cap. 2. 7.
[l] Cf. cap. 17. 8, 11.
[m] Vid. Matt. 26. 52. Cf. Esa. 33. 1. cap. 11. 18.
[n] cap. 14. 12.
[o] ver. 1, 14, 15. Cf. cap. 16. 13.
[p] ver. 2, 4.
[q] ver. 14.
[r] ver. 15. cap. 14. 9, 11; 16. 2; 19. 20; 20. 4.
[s] ver. 3, 14.
[t] cap. 19. 20. Vid. Matt. 24. 24. Cf. cap. 16. 14.
[u] 1 Reg. 18. 38. 2 Reg. 1. 10, 12. Luc. 9. 54. cap. 20. 9.
[x] Cf. cap. 12. 9.
[y] Vid. 2 Thess. 2. 9.
[z] cap. 19. 20.
[a] cap. 14. 9, 11; 15. 2; 16. 2; 19. 20; 20. 4.
[b] Vid. cap. 5. 9.

[1] +[καὶ] LWH. [2] βλασφημίας LTTrWHR. [3] −καὶ LTTrWHR. [4] −Καὶ ἐδόθη *usque ad* νικῆσαι αὐτούς· L[Tr *marg.* WH]R *marg.* [5] ποιῆσαι πόλεμον TTrWHR. [6] [b] +καὶ λαὸν LTTrWHR. [7] αὐτὸν LTTrWHR. [8] οὗ LTTrWHR. [9] τὸ ὄνομα αὐτοῦ LTTrWHR. [10] τῷ βιβλίῳ LTTrWHR. [11] +τοῦ LTTrWHR. [12] ἐσφαγμένου, ἀπὸ R *marg.* [13] +εἰς LTWHR. [14] −αἰχμαλωσίαν Tr. [15] −συνάγει LTTrWHR (R *marg. lectionem in dubium vocat*). [16] μαχαίρῃ LTTrWH. [17] ἀποκταίνει L, ἀποκτείνει WH *marg.* (*Ap.* †). [18] ἐν αὐτῇ κατοικοῦντας TTrWHR. [19] προσκυνήσουσιν LTTrWHR. [20] ἐκ τοῦ οὐρανοῦ καταβαίνειν LTrWHR. [21] εἰκόναν L. [22] , ὃς LTTrWHR. [23] μαχαίρης LTTrWH. [24] αὐτῇ LWH(*dub.*)R. [25] πνεῦμα, R. [26] ποιήσει Tr *marg.* WH *marg.* R *marg.* [27] +ἵνα LTr[WH]R. [28] ἐὰν LTTrWHR. [29] προσκυνήσουσιν TTr *marg.*

16 **τὴν εἰκόνα**[1] τοῦ θηρίου, [a]**ἵνα**[2] ἀποκτανθῶσι. Καὶ
ποιεῖ πάντας, [b]τοὺς μικροὺς καὶ τοὺς μεγάλους, καὶ
[c]τοὺς πλουσίους καὶ τοὺς πτωχούς, καὶ [c]τοὺς ἐλευθέ-
ρους καὶ [c]τοὺς δούλους, ἵνα **δώσῃ**[3] αὐτοῖς [d]χάραγμα
ἐπὶ τῆς χειρὸς αὐτῶν τῆς δεξιᾶς, ἢ [e]ἐπὶ **τῶν μετώπων**[4]
17 αὐτῶν, **καὶ**[5] ἵνα μή τις **δύνηται**[6] ἀγοράσαι ἢ πωλῆ-
σαι, εἰ μὴ ὁ ἔχων [d f]τὸ χάραγμα **ἢ**[7] [f]**τὸ ὄνομα**[8] τοῦ
ΛΗ'. 18 θηρίου, ἢ [g]τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ. [h]Ὧδε ἡ
σοφία ἐστίν. ὁ ἔχων **τὸν**[9] νοῦν, ψηφισάτω τὸν
ἀριθμὸν τοῦ θηρίου· ἀριθμὸς γὰρ [i]ἀνθρώπου ἐστί,
καὶ ὁ ἀριθμὸς αὐτοῦ[10] **χξϛ'**[11].

ΛΘ'. 14 ΚΑΙ **εἶδον**[12], καὶ ἰδοὺ[13] [k]ἀρνίον **ἑστηκὸς**[14] ἐπὶ [l]τὸ ὄρος
Σιών, καὶ μετ' αὐτοῦ [m]ἑκατὸν **τεσσαράκοντα** τέσσαρες[15]
χιλιάδες, ἔχουσαι [n]τὸ ὄνομα[16] τοῦ πατρὸς αὐτοῦ γε-
2 γραμμένον [o]ἐπὶ τῶν μετώπων αὐτῶν. καὶ ἤκουσα
φωνὴν ἐκ τοῦ οὐρανοῦ [p]ὡς φωνὴν ὑδάτων πολλῶν,
καὶ ὡς [q]φωνὴν βροντῆς μεγάλης· καὶ **φωνὴν ἤκουσα**[17]
[18] κιθαρῳδῶν κιθαριζόντων ἐν [r]ταῖς κιθάραις αὐτῶν.
3 καὶ [s]ᾄδουσιν **ὡς**[19] ᾠδὴν καινὴν ἐνώπιον τοῦ θρόνου, καὶ
ἐνώπιον [t]τῶν τεσσάρων ζώων[20] καὶ [u]τῶν πρεσβυτέρων·
καὶ [x]οὐδεὶς **ἠδύνατο**[21] μαθεῖν τὴν ᾠδήν, εἰ μὴ [m]αἱ ἑκα-
τὸν **τεσσαράκοντα** τέσσαρες[15] χιλιάδες, [y]οἱ ἠγορασμέ-
4 νοι ἀπὸ τῆς γῆς. **Οὗτοί εἰσιν**[22] οἳ μετὰ γυναικῶν οὐκ
[z]ἐμολύνθησαν· [a]παρθένοι γάρ εἰσιν. οὗτοί **εἰσιν**[23] οἱ
ἀκολουθοῦντες τῷ ἀρνίῳ ὅπου ἂν **ὑπάγῃ**[24]. οὗτοι
[y]ἠγοράσθησαν ἀπὸ τῶν ἀνθρώπων, [b]ἀπαρχὴ τῷ Θεῷ
5 καὶ τῷ [k]ἀρνίῳ. καὶ [c]ἐν τῷ στόματι αὐτῶν οὐχ εὑρέθη
δόλος[25]· [d]ἄμωμοι **γάρ**[26] εἰσιν **ἐνώπιον τοῦ θρόνου τοῦ
Θεοῦ**[27].

[a] Cf. cap. 16. 6.
[b] Vid. Act. 8. 10 & cap. 11. 18.
[c] cap. 6. 15.
[d] ver. 17. cap. 15. 2. Cf. Gal. 6. 17.
[e] Ezek. 9. 4.
[f] cap. 14. 11.
[g] cap. 15. 2.
[h] Cf. cap. 17. 9.
[i] Cf. cap. 21. 17.
[k] ver. 4. Vid. cap. 5. 6.
[l] Ps. 2. 6. Cf. Heb. 12. 22.
[m] ver. 3. cap. 7. 4.
[n] Vid. cap. 3. 12.
[o] cap. 7. 3; 22. 4.
[p] Vid. cap. 1. 15.
[q] cap. 6. 1; 19. 6.
[r] cap. 5. 8; 15. 2.
[s] Vid. cap. 5. 9.
[t] Vid. cap. 4. 6.
[u] Vid. cap. 4. 4.
[x] Cf. cap. 2. 17.
[y] ver. 4. cap. 5. 9.
[z] Cf. cap. 3. 4.
[a] Cf. 2 Cor. 11. 2.
[b] Vid. Jac. 1. 18.
[c] Zeph. 3. 13. Cf. Ps. 32. 2; 34. 13. Joan. 1. 48.
[d] Vid. Jud. 24.

[1] τῇ εἰκόνι TTrWH (*non marg.*) R. [2] –ἵνα LTTrWHR. [3] δῶσιν LTTrWH (δώσει WH *marg. Ap.* †) R. [4] τὸ μέτωπον LTTrWHR. [5] –καὶ LT[WH]. [6] δύναται WH *marg.* [7] –ἢ LTTrWHR. [8] τοῦ ὀνόματος L. [9] –τὸν LTTrWHR. [10] +ἐστὶν TrWH *marg.* [11] ἑξακόσιοι (ἑξακόσιαι WH *marg.*) ἑξήκοντα ἕξ LWH, *at* ἑξακόσιοι δεκαέξ L *marg.* R *marg.* (*i. e.* χξϛ' TTrR *text.*, χιϛ' R *marg.*). [12] ἴδον T. [13] +τὸ LTTrWHR. [14] ἑστὸς LTTrWH. [15] *τεσσα[ε Tr]ρακοντατέσσαρες* BETr, *τεσσεράκοντα τέσσαρες* LT (*sic* Tr *ver.* 3) WH. [16] +αὐτοῦ καὶ τὸ ὄνομα LTTrWHR. [17] ἡ φωνὴ ἣν ἤκουσα LTTrWHR. [18] +ὡς LTTrWHR. [19] –ὡς TTr *marg.*, [ὡς] Tr. [20] ζῴων LWH. [21] ἐδύνατο LTTrWH. [22] –οὗτοί εἰσιν WH *marg.* (γῆς, οἵ). [23] –εἰσιν LTTrWHR. [24] ὑπάγει LTrWH. [25] ψεῦδος LTTrWHR. [26] –γάρ L[Tr *marg.*]WHR. [27] –ἐνώπιον τοῦ θρόνου τοῦ Θεοῦ LTTrWHR.

ΚΑΙ εἶδον **ἄλλον**[1] ἄγγελον [a]**πετώμενον**[2] ἐν μεσου- 6 Μ'.
ρανήματι, ἔχοντα εὐαγγέλιον αἰώνιον [b]εὐαγγελίσαι[3]
τοὺς **κατοικοῦντας**[4] ἐπὶ τῆς γῆς, καὶ[3] πᾶν [c]ἔθνος καὶ
[c]φυλὴν καὶ [c]γλῶσσαν καὶ [c]λαόν, **λέγοντα**[5] **ἐν**[6] φωνῇ 7
μεγάλῃ, [d]“Φοβήθητε τὸν Θεόν, καὶ [de]δότε αὐτῷ δόξαν,
ὅτι [f]ἦλθεν ἡ ὥρα τῆς κρίσεως αὐτοῦ· καὶ [g]προσκυνή-
σατε [h]τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ
[7]θάλασσαν καὶ πηγὰς ὑδάτων.” Καὶ ἄλλος[8] **ἄγγε- 8 ΜΑ'.
λος**[9] ἠκολούθησε, λέγων, [i]“Ἔπεσεν ἔπεσε Βαβυλὼν[10]
ἡ **πόλις**[11] [k]ἡ μεγάλη· **ὅτι**[12] [l]ἐκ τοῦ οἴνου τοῦ θυμοῦ
τῆς πορνείας αὐτῆς [m]πεπότικε πάντα[13] ἔθνη.” Καὶ 9 ΜΒ'.
[14]**τρίτος ἄγγελος**[15] ἠκολούθησεν αὐτοῖς, λέγων ἐν φωνῇ
μεγάλῃ, [n]“Εἴ τις **τὸ θηρίον προσκυνεῖ**[16] [n]καὶ τὴν εἰκόνα
αὐτοῦ, καὶ [o]λαμβάνει χάραγμα [o]ἐπὶ τοῦ μετώπου
αὐτοῦ ἢ ἐπὶ τὴν χεῖρα αὐτοῦ, καὶ αὐτὸς [l]πίεται ἐκ 10
τοῦ οἴνου [p]τοῦ θυμοῦ τοῦ Θεοῦ, [q]τοῦ κεκερασμένου
ἀκράτου [r]ἐν τῷ ποτηρίῳ τῆς ὀργῆς αὐτοῦ, καὶ βασα-
νισθήσεται ἐν [st]πυρὶ καὶ [su]θείῳ ἐνώπιον [x]**τῶν**[17] **ἁγίων
ἀγγέλων**[18], καὶ ἐνώπιον τοῦ ἀρνίου· καὶ [y]ὁ καπνὸς τοῦ 11
βασανισμοῦ αὐτῶν **ἀναβαίνει εἰς αἰῶνας αἰώνων**[19]· καὶ
[z]οὐκ ἔχουσιν ἀνάπαυσιν ἡμέρας καὶ νυκτὸς [n]οἱ προσ-
κυνοῦντες τὸ θηρίον καὶ τὴν εἰκόνα αὐτοῦ, καὶ εἴ τις
[o]λαμβάνει [a]τὸ χάραγμα τοῦ ὀνόματος αὐτοῦ.” [b]Ὧδε[20] 12
ὑπομονὴ τῶν ἁγίων ἐστίν· **ὧδε**[21] [c]οἱ τηροῦντες τὰς
ἐντολὰς τοῦ Θεοῦ καὶ τὴν πίστιν Ἰησοῦ.

Καὶ ἤκουσα φωνῆς ἐκ τοῦ οὐρανοῦ, λεγούσης **μοι**[22], 13
[d]“Γράψον, [e]Μακάριοι οἱ νεκροὶ [f]οἱ ἐν Κυρίῳ ἀποθνή-
σκοντες[23] ἀπάρτι.[24] Ναί,” λέγει τὸ Πνεῦμα, [g]“ἵνα
ἀναπαύσωνται[25] ἐκ τῶν κόπων αὐτῶν· τὰ **δὲ**[26] ἔργα
αὐτῶν ἀκολουθεῖ μετ' αὐτῶν.”

[a] cap. 8. 13. [b] cap. 10. 7. [c] Cf. cap. 5. 9. [d] cap. 15. 4. [e] Vid. cap. 11. 18. [f] ver. 15. cap. 11. 18. [g] Neh. 8. 6. [h] Ps. 146. 6. Act. 14. 15. Cf. cap. 4. 11. [i] Vid. cap. 18. 2. [k] cap. 16. 19; 17. 5. [l] ver. 10. cap. 17. 2; 18. 3. [m] Jer. 51. 7. Cf. Job 21. 20. Ps. 60. 3; 75. 8. Esa. 51. 17, 22; 63. 6. Jer. 25. 15. Obad. 16. [n] ver. 11. Vid. cap. 13. 14. [o] ver. 11. Vid. cap. 13. 16. [p] cap. 15. 1, 7; 16. 1. [q] Cf. cap. 18. 6. Esa. 1. 22. [r] cap. 16. 19. Cf. cap. 19. 15. [s] cap. 20. 10. [t] Vid. 2 Thess. 1. 8. [u] Vid. cap. 9. 17. [x] Vid. Marc. 8. 38. [y] cap. 18. 9, 18; 19. 3. [z] cap. 4. 8. [a] cap. 13. 17. [b] cap. 13. 10. [c] Vid. cap. 12. 17. [d] Vid. cap. 1. 11, 19. [e] cap. 20. 6. Cf. Eccles. 4. 1, 2. [f] 1 Cor. 15. 18. 1 Thess. 4. 16. [g] Vid. cap. 6. 11.

1 [ἄλλον] Tr *marg.* 2 πετόμενον LTTrWHR. 3 +ἐπὶ LTTrWHR. 4 καθημένους LTTrWHR. 5 λέγων LTTrWHR. 6 –ἐν L. 7 +τὴν T. 8 +, δεύτερος LTrWHR, *at* ἄγγελος δεύτερος T. 9 [ἄγγελος] WH. 10 Βαβουλὼν E. 11 –ἡ πόλις LTTrWHR. 12 ἣ LTTrWHR. 13 +τὰ LTTrWHR. 14 +ἄλλος LTTrWHR. 15 ἄγγελος τρίτος LTTrWHR. 16 προσκυνεῖ τὸ θηρίον LTTrWHR. 17 –τῶν LTTrWH (*non marg.*) R. 18 ἀγγέλων ἁγίων LTTrWH *text.* R (–ἁγίων WH *marg.*). 19 εἰς αἰῶνας αἰώνων ἀναβαίνει LTTrWHR. 20 +ἡ LTTrWHR. 21 –ὧδε LTTrWHR. 22 –μοι LTTrWHR. 23 ἀποθνήσκοντες. Ἀπ' ἄρτι ναί R *marg.*, *at* ἀπάρτι. TTr. 24 ἀπ' ἄρτι. LWH. 25 ἀναπαήσονται LTTrWHR. 26 γὰρ LTTrWHR.

ΜΓ'. 14 Καὶ **εἶδον**[1], καὶ ἰδοὺ νεφέλη λευκή, καὶ [a]ἐπὶ τὴν
νεφέλην **καθήμενος ὅμοιος**[2] [b]**υἱῷ**[3] ἀνθρώπου, ἔχων ἐπὶ
τῆς κεφαλῆς[4] αὐτοῦ [c]στέφανον χρυσοῦν, καὶ ἐν τῇ
15 χειρὶ αὐτοῦ δρέπανον ὀξύ. καὶ ἄλλος ἄγγελος [d]ἐξῆλ-
θεν ἐκ [e]τοῦ ναοῦ, κράζων ἐν **μεγάλῃ φωνῇ**[5] [a]τῷ καθη-
μένῳ ἐπὶ τῆς νεφέλης, [f]"Πέμψον τὸ δρέπανόν σου,
καὶ θέρισον, [g]ὅτι ἦλθέ **σοι**[6] ἡ ὥρα **τοῦ**[7] θερίσαι, ὅτι
16 [h]ἐξηράνθη ὁ θερισμὸς τῆς γῆς." Καὶ ἔβαλεν [a]ὁ καθή-
μενος ἐπὶ **τὴν νεφέλην**[8] τὸ δρέπανον αὐτοῦ ἐπὶ τὴν
γῆν, καὶ ἐθερίσθη ἡ γῆ.

ΜΔ'. 17 Καὶ ἄλλος ἄγγελος [d]ἐξῆλθεν ἐκ [e]τοῦ ναοῦ τοῦ ἐν
18 τῷ οὐρανῷ, ἔχων καὶ αὐτὸς δρέπανον ὀξύ. καὶ ἄλλος
ἄγγελος **ἐξῆλθεν**[9] ἐκ [i]τοῦ θυσιαστηρίου,[10] [k]ἔχων ἐξου-
σίαν ἐπὶ τοῦ πυρός, καὶ ἐφώνησε **κραυγῇ**[11] μεγάλῃ
[l]τῷ ἔχοντι τὸ δρέπανον τὸ ὀξύ, λέγων, "Πέμψον σου
τὸ δρέπανον τὸ ὀξύ, καὶ τρύγησον τοὺς βότρυας[12]
19 τῆς γῆς, ὅτι [m]ἤκμασαν αἱ σταφυλαὶ αὐτῆς." Καὶ
ἔβαλεν ὁ ἄγγελος τὸ δρέπανον αὐτοῦ εἰς τὴν γῆν,
καὶ ἐτρύγησε τὴν ἄμπελον τῆς γῆς, καὶ ἔβαλεν εἰς
20 [n]τὴν ληνὸν τοῦ θυμοῦ τοῦ Θεοῦ **τὴν μεγάλην**[13]. καὶ
[m]ἐπατήθη [n]ἡ ληνὸς [o]**ἔξω**[14] τῆς πόλεως, καὶ ἐξῆλθεν[15]
αἷμα ἐκ τῆς ληνοῦ ἄχρι τῶν χαλινῶν [p]τῶν ἵππων,
ἀπὸ σταδίων χιλίων ἑξακοσίων.

ΜΕ'. 15 Καὶ **εἶδον**[1] [q]ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ μέγα καὶ
θαυμαστόν, [r]ἀγγέλους ἑπτὰ ἔχοντας πληγὰς ἑπτὰ
τὰς ἐσχάτας, ὅτι ἐν αὐταῖς ἐτελέσθη [s]ὁ θυμὸς τοῦ
2 Θεοῦ. Καὶ **εἶδον**[1] ὡς [t]θάλασσαν ὑαλίνην μεμιγμένην
πυρί, καὶ [u]τοὺς νικῶντας ἐκ [x]τοῦ θηρίου καὶ ἐκ [y]τῆς
εἰκόνος αὐτοῦ **καὶ ἐκ** [z]**τοῦ χαράγματος αὐτοῦ**[16], ἐκ [a]τοῦ
ἀριθμοῦ τοῦ ὀνόματος αὐτοῦ, ἑστῶτας ἐπὶ [t]τὴν θά-
λασσαν τὴν ὑαλίνην, ἔχοντας [b]κιθάρας τοῦ Θεοῦ.

[1] ἴδον T. [2] καθήμενον ὅμοιον LTTrWHR. [3] υἱὸν TWHR. [4] τὴν κεφαλὴν LT (*nec vult*). [5] φωνῇ μεγάλῃ LTTrWH. [6] —σοι LTTrWHR (ἦλθεν). [7] —τοῦ LTTrWHR. [8] τῆς νεφέλης LTTrWH (*non marg.*) R. [9] —ἐξῆλθεν L[WH]. [10] +ὁ L[Tr *marg.* WH]R. [11] φωνῇ LTTrWHR. [12] +τῆς ἀμπέλου BELTTrWHR. [13] τὸν μέγαν LTTr (*non marg.*) WH. [14] ἔξωθεν LTTrWHR. [15] ἐξῆλθε E. [16] —ἐκ τοῦ χαράγματος αὐτοῦ LTTrWHR.

[a] ver. 15, 16 (var. lect.). Vid. Luc. 21. 27.
[b] cap. 1. 13. Vid. Joan. 1. 52.
[c] cap. 6. 2.
[d] ver. 17. Cf. cap. 15. 6; 16. 17.
[e] Vid. cap. 3. 12.
[f] Joel 3. 13. Marc. 4. 29. Cf. Matt. 13. 39.
[g] ver. 7.
[h] Cf. Jer. 51. 33.
[i] cap. 6. 9; 16. 7.
[k] Cf. cap. 16. 8.
[l] ver. 17.
[m] Joel 3. 13. Cf. ver. 20.
[n] cap. 19. 15. Cf. Esa. 63. 3. Lam. 1. 15.
[o] Heb. 13. 12. Cf. cap. 11. 8.
[p] Cf. cap. 19. 14.
[q] cap. 12. 1, 3.
[r] ver. 6, 7, 8. cap. 16. 1; 17. 1; 21. 9.
[s] ver. 7. Vid. cap. 14. 10.
[t] ver. 2. cap. 4. 6; 21. 18, 21.
[u] cap. 12. 11.
[x] cap. 13. 1.
[y] Vid. cap. 13. 14.
[z] Vid. cap. 13. 16.
[a] cap. 13. 17.
[b] cap. 5. 8; 14. 2.

καὶ [a] ᾄδουσι τὴν ᾠδὴν Μωσέως[1] [b][2] δούλου τοῦ Θεοῦ, καὶ 3
τὴν ᾠδὴν τοῦ ἀρνίου, λέγοντες, [c] "Μεγάλα καὶ θαυ-
μαστὰ τὰ ἔργα σου, [d] Κύριε ὁ Θεὸς [e] ὁ παντοκράτωρ·
[c] δίκαιαι καὶ ἀληθιναὶ [f] αἱ ὁδοί σου, [g] ὁ βασιλεὺς τῶν
ἁγίων[3]. [h] τίς οὐ μὴ φοβηθῇ σε[4], Κύριε, καὶ [i] δοξάσῃ[5] 4
τὸ ὄνομά σου; ὅτι μόνος [k] ὅσιος·[6] ὅτι [l] πάντα τὰ ἔθνη
ἥξουσι, καὶ προσκυνήσουσιν ἐνώπιόν σου· ὅτι [m] τὰ
δικαιώματά σου ἐφανερώθησαν."
Καὶ μετὰ ταῦτα εἶδον[7], καὶ ἰδοὺ[8] [n] ἠνοίγη ὁ ναὸς 5
[o] τῆς σκηνῆς τοῦ μαρτυρίου ἐν τῷ οὐρανῷ· καὶ [p] ἐξῆλ- 6
θον[9] [q] οἱ ἑπτὰ ἄγγελοι[10] ἔχοντες τὰς ἑπτὰ πληγάς,
ἐκ τοῦ ναοῦ, ἐνδεδυμένοι λίνον[11] [r] καθαρὸν καὶ[12] λαμ-
πρόν, καὶ [s] περιεζωσμένοι περὶ τὰ στήθη ζώνας χρυ-
σᾶς. καὶ ἓν ἐκ [t] τῶν τεσσάρων ζώων[13] ἔδωκε [q] τοῖς 7
ἑπτὰ ἀγγέλοις [u] ἑπτὰ [x] φιάλας χρυσᾶς, γεμούσας [y] τοῦ
θυμοῦ τοῦ Θεοῦ [z] τοῦ ζῶντος εἰς τοὺς αἰῶνας τῶν
αἰώνων. καὶ [a] ἐγεμίσθη ὁ ναὸς [b] καπνοῦ [c] ἐκ τῆς δόξης 8
τοῦ Θεοῦ, καὶ [c] ἐκ τῆς δυνάμεως αὐτοῦ· καὶ [d] οὐδεὶς
ἠδύνατο[14] εἰσελθεῖν εἰς τὸν ναόν, ἄχρι τελεσθῶσιν
αἱ ἑπτὰ πληγαὶ [q] τῶν ἑπτὰ ἀγγέλων.
ΚΑΙ ἤκουσα φωνῆς μεγάλης[15] ἐκ τοῦ ναοῦ, λεγού- 16 Μς'.
σης [q] τοῖς ἑπτὰ ἀγγέλοις, "Ὑπάγετε, καὶ [e] ἐκχέατε[16]
[x] τὰς[17] φιάλας [y] τοῦ θυμοῦ τοῦ Θεοῦ εἰς τὴν γῆν." Καὶ 2
ἀπῆλθεν ὁ πρῶτος, καὶ [e] ἐξέχεε [x] τὴν φιάλην αὐτοῦ [f] ἐπὶ[18]
τὴν γῆν· καὶ ἐγένετο [g][h] ἕλκος κακὸν καὶ [g] πονηρὸν εἰς[19]
τοὺς ἀνθρώπους τοὺς ἔχοντας τὸ χάραγμα τοῦ θη-
ρίου, καὶ [i] τοὺς τῇ εἰκόνι αὐτοῦ προσκυνοῦντας[20]. Καὶ 3 ΜΖ'.
ὁ δεύτερος ἄγγελος[21] [e] ἐξέχεε [x] τὴν φιάλην αὐτοῦ εἰς τὴν
θάλασσαν· καὶ [k] ἐγένετο αἷμα ὡς νεκροῦ, καὶ πᾶσα
[l] ψυχὴ ζῶσα[22] ἀπέθανεν[23] ἐν τῇ θαλάσσῃ. Καὶ ὁ τρί- 4 ΜΗ'.

[1] Μωυσέως LT(-ϋ-)TrWHR. [2] +τοῦ LTTrWHR. [3] ἐθνῶν LTTrWH marg. R marg., [m] αἰώνων WH text. R text. [4] −σε LTTrWHR. [5] δοξάσει LTTrWHR. [6] σου, ὅτι μόνος ὅσιος; WH. [7] ἴδον T. [8] −ἰδοὺ LTTrWHR. [9] ἐξῆλθαν WH. [10] +οἱ LTTr[WH]R. [11] [n] λίθον LTrWH.R (non marg.), at καθαροὺς λίνους λαμπροὺς Tr marg. [12] −καὶ LTTrWHR. [13] ζῴων LWH. [14] ἐδύνατο LTTrWH. [15] μεγάλης φωνῆς LTTr marg. WH. [16] ἐκχέετε LTTr (corr.) WH. [17] +ἑπτὰ LTTrWHR. [18] εἰς LTTrWHR. [19] [o] ἐπι LTTrWHR. [20] προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ LTTrWHR. [21] −ἄγγελος LTTrWHR. [22] ζωῆς LTTr (non marg.) WHR. [23] +, τὰ LTTrWHR.

[a] Ex. 15. 1. Deut. 31. 30. Cf. cap. 5. 9. [b] Cf. Heb. 3. 5. [c] Deut. 32. 4. Ps. 111. 7. cap. 16. 7. Cf. Job 37. 5. Ps. 66. 3; 92. 5; 111. 2; 139. 14; 145. 17. Ose. 14. 9. [d] Vid. cap. 4. 8. [e] Vid. 2 Cor. 6. 18. [f] 2 Pet. 2. 2. [g] 1 Tim. 1. 17. [h] Jer. 10. 7. cap. 14. 7. [i] Mal. 2. 2. cap. 11. 13. [k] cap. 16. 5. Heb. 7. 26. [l] Ps. 86. 9. Esa. 66. 23. [m] cap. 19. 8. [n] cap. 11. 19. [o] Ex. 38. 21. Num. 1. 50; 3. 7, 8 (Septuagint.). [p] Cf. cap. 14. 15. [q] ver. 1, 7, 8; 16. 1. [r] cap. 19. 8. Cf. Jac. 2. 2. [s] cap. 1. 13. [t] Vid. cap. 4. 6. [u] cap. 5. 8. [x] Neh. 7. 70 (Septuagint.). cap. 16. 1—4, 8, 10, 12, 17; 17. 1; 21. 9. [y] ver. 1. cap. 14. 10; 16. 1. [z] Vid. cap. 1. 18. [a] Esa. 6. 4. Cf. Ex. 29. 43; 40. 34. Lev. 16. 2. Num. 9. 15. 1 Reg. 8. 10, 11. 2 Chr. 5. 13, 14; 7. 2. [b] cap. 9. 18. [c] Cf. 2 Thess. 1. 9. [d] Ex. 40. 35. 1 Reg. 8. 11. [e] ver. 2—4, 8, 10, 12. Ps. 79. 6. Jer. 10. 25. Zeph. 3. 8. [f] (var. lect.) cap. 8. 5, 7. [g] Deut. 28. 35 (Septuagint.). [h] ver. 11. Ex. 9. 9—11. Deut. 28. 27 (Septuagint.). [i] Vid. cap. 13. 14. [k] ver. 4. cap. 8. 8. [l] cap. 8. 9. [m] 1 Tim. 1. 17. [n] Ezek. 28. 13. [o] cap. 8. 5.

τος ἄγγελος[1] [a]ἐξέχεε [b]τὴν φιάλην αὐτοῦ εἰς τοὺς ποτα-
μοὺς καὶ [c]εἰς[2] τὰς πηγὰς τῶν ὑδάτων· καὶ [d]ἐγένετο[3]
5 αἷμα. Καὶ ἤκουσα τοῦ ἀγγέλου τῶν ὑδάτων, λέ-
γοντος, [e]"Δίκαιος, Κύριε[4], εἶ, [f]ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ[5]
6 [g]ὅσιος, ὅτι ταῦτα ἔκρινας·[6] [h]ὅτι αἷμα[7] [i]ἁγίων καὶ
[i]προφητῶν ἐξέχεαν, καὶ [k]αἷμα αὐτοῖς ἔδωκας[8] πιεῖν[9]·
7 ἄξιοι γάρ[10] εἰσι." Καὶ ἤκουσα ἄλλου ἐκ[11] [l]τοῦ θυσια-
στηρίου, λέγοντος, "Ναί, [m]Κύριε ὁ Θεὸς [n]ὁ παντοκρά-
ΜΘ'. 8 τωρ, [o]ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις σου." Καὶ [p]ὁ
τέταρτος ἄγγελος[1] [a]ἐξέχεε [b]τὴν φιάλην αὐτοῦ [q]ἐπὶ τὸν
ἥλιον· καὶ ἐδόθη αὐτῷ καυματίσαι τοὺς ἀνθρώπους
9 [r]ἐν πυρί· καὶ ἐκαυματίσθησαν οἱ ἄνθρωποι καῦμα
μέγα, καὶ [s]ἐβλασφήμησαν τὸ ὄνομα τοῦ Θεοῦ τοῦ
ἔχοντος[12] ἐξουσίαν ἐπὶ τὰς πληγὰς ταύτας, καὶ [t]οὐ
μετενόησαν [u]δοῦναι αὐτῷ δόξαν.
Ν'. 10 Καὶ [p]ὁ πέμπτος ἄγγελος[1] [a]ἐξέχεε [b]τὴν φιάλην αὐτοῦ
ἐπὶ [x]τὸν θρόνον τοῦ θηρίου· καὶ ἐγένετο ἡ βασιλεία
αὐτοῦ [y]ἐσκοτωμένη· καὶ ἐμασσῶντο[13] τὰς γλώσσας
11 αὐτῶν ἐκ τοῦ πόνου, καὶ [s]ἐβλασφήμησαν [z]τὸν Θεὸν
τοῦ οὐρανοῦ ἐκ τῶν πόνων αὐτῶν καὶ ἐκ τῶν [a]ἑλκῶν
ΝΑ'. 12 αὐτῶν, καὶ [t]οὐ μετενόησαν ἐκ τῶν ἔργων αὐτῶν. Καὶ
[p]ὁ ἕκτος ἄγγελος[1] [a]ἐξέχεε [b]τὴν φιάλην αὐτοῦ ἐπὶ [bb]τὸν
ποταμὸν τὸν μέγαν τὸν[14] Εὐφράτην· καὶ [c]ἐξηράνθη
τὸ ὕδωρ αὐτοῦ, [d]ἵνα ἑτοιμασθῇ ἡ ὁδὸς τῶν βασιλέων
13 τῶν [e]ἀπὸ ἀνατολῶν[15] ἡλίου. Καὶ εἶδον[16] ἐκ τοῦ στό-
ματος [f]τοῦ δράκοντος, καὶ ἐκ τοῦ στόματος [g]τοῦ
θηρίου, καὶ ἐκ τοῦ στόματος [h]τοῦ ψευδοπροφήτου,
14 [i]πνεύματα τρία ἀκάθαρτα, ὅμοια [k]βατράχοις[17]· εἰσὶ
γὰρ [l]πνεύματα δαιμόνων[18] [m]ποιοῦντα σημεῖα ἐκπορεύε-
σθαι[19] ἐπὶ τοὺς βασιλεῖς τῆς γῆς καὶ[20] [n]τῆς οἰκουμένης
ὅλης, [o]συναγαγεῖν αὐτοὺς εἰς[21] πόλεμον [p]τῆς ἡμέρας

[a] ver. 8, 10, 12. Vid. ver. 1. [b] ver. 8, 10, 12, 17. Vid. cap. 15. 7. [c] cap. 8. 10. [d] ver. 3. Cf. Ex. 7. 17—20. [e] Joan. 17. 25. [f] cap. 1. 4. [g] Vid. cap. 15. 4. [h] cap. 18. 24. Cf. cap. 13. 15; 17. 6. [i] cap. 11. 18. [k] Cf. Esa. 49. 26. [l] cap. 6. 9; 14. 18. [m] Vid. cap. 4. 8. [n] ver. 14. Vid. 2 Cor. 6. 18. [o] cap. 15. 3; 19. 2. [p] ver. 2, 3, 4, 10, 12, 17. Vid. ver. 1. [q] Cf. cap. 6. 12. [r] Cf. cap. 9. 17; 14. 18. [s] ver. 11, 21. [t] ver. 11. Cf. cap. 2. 21. Cf. Dan. 5. 22, 23. [u] Vid. cap. 11. 13. [x] cap. 13. 2. [y] cap. 9. 2. Cf. Ex. 10. 21. [z] Vid. cap. 11. 13. [a] ver. 2. [bb] cap. 9. 14. [c] Cf. Esa. 27. 12; 44. 27. Jer. 50. 38; 51. 32, 36. [d] Cf. Esa. 41. 2, 25; 46. 11. [e] cap. 7. 2 (var. lect.).

[1] —ἄγγελος LTTrWHR. [2] —εἰς LTTrWHR. [3] ἐγένοντο LWH *marg.* R *marg.* [4] —Κύριε LTTrWHR. [5] —καὶ ὁ LTr, [ὁ] Tr *marg.* WH, *at* —καὶ *tantum* TR. [6] ἔκρινας, WH: ἔκρινας. R *marg.* [7] αἵματα T. [8] δέδωκας LTr (*non marg.*) WH (*non marg.*) R. [9] πῖν L, πεῖν TWH. [10] —γάρ LTTrWHR. [11] —ἄλλου ἐκ LTTrWHR. [12] +τὴν LTTrWHR. [13] ἐμασῶντο LTTrWH. [14] —τὸν T[TrWH]. [15] ἀνατολῆς TTr (*non marg.*) WH (*non marg.*). [16] ἴδον T. [17] ὡς βάτραχοι LTTrWHR. [18] δαιμονίων LTTrWHR. [19] ἃ ἐκπορεύεται BEL (σημεῖα·—ἃ L) TTrWHR. [20] —τῆς γῆς καὶ LTTrWHR. [21] +τὸν LTTrWHR.

[f] Vid. cap. 12. 3. [g] Vid. cap. 13. 1. Cf. cap. 13. 11. [h] cap. 19. 20; 20. 10. Vid. Matt. 7. 15. [i] cap. 18. 2. [k] Cf. Ex. 8. 6. [l] Cf. 1 Tim. 4. 1. [m] Cf. cap. 13. 13. Vid. Matt. 24. 24. [n] Vid. Matt. 24. 14. [o] cap. 19. 19; 20. 8. Cf. ver. 16. [p] cap. 17. 14.

ἐκείνης τῆς μεγάλης[1] τοῦ Θεοῦ [a]τοῦ παντοκράτορος.
[b]"Ἰδοὺ ἔρχομαι ὡς κλέπτης. [c]μακάριος ὁ γρηγορῶν, 15
καὶ τηρῶν τὰ ἱμάτια αὐτοῦ, [d]ἵνα μὴ γυμνὸς περιπατῇ,
[d]καὶ βλέπωσι τὴν ἀσχημοσύνην αὐτοῦ." Καὶ [e]συνή- 16
γαγεν αὐτοὺς εἰς τὸν τόπον τὸν καλούμενον [f]Ἑβραϊ-
στὶ[2] **Ἀρμαγεδδών**[3]. Καὶ [g]ὁ ἕβδομος **ἄγγελος**[4] [h]ἐξέχεε 17 NB′.
[h]τὴν φιάλην αὐτοῦ **εἰς**[5] [i]τὸν ἀέρα· καὶ [k]ἐξῆλθε φωνὴ
μεγάλη[6] **ἀπὸ**[7] τοῦ ναοῦ **τοῦ οὐρανοῦ**[8], ἀπὸ [l]τοῦ θρό-
νου, λέγουσα, [m]"Γέγονε." Καὶ ἐγένοντο [n]**φωναὶ καὶ** 18
[n]**βρονταὶ καὶ** [n]**ἀστραπαί**[9], καὶ [o]σεισμὸς ἐγένετο μέγας,
[p]οἷος οὐκ ἐγένετο ἀφ' οὗ **οἱ ἄνθρωποι ἐγένοντο**[10] ἐπὶ τῆς
γῆς, τηλικοῦτος [o]σεισμὸς οὕτω μέγας. καὶ ἐγένετο 19
[q]ἡ πόλις ἡ μεγάλη [r]εἰς τρία μέρη, καὶ αἱ πόλεις τῶν
ἐθνῶν **ἔπεσον**[11]· καὶ [s]Βαβυλὼν ἡ μεγάλη [t]ἐμνήσθη
ἐνώπιον τοῦ Θεοῦ, δοῦναι αὐτῇ [u]τὸ ποτήριον τοῦ
οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς αὐτοῦ. καὶ [x]πᾶσα νῆσος 20
ἔφυγε, καὶ [x]ὄρη οὐχ εὑρέθησαν. καὶ [y]χάλαζα μεγάλη 21
ὡς ταλαντιαία καταβαίνει ἐκ τοῦ οὐρανοῦ ἐπὶ τοὺς
ἀνθρώπους· καὶ [z]ἐβλασφήμησαν οἱ ἄνθρωποι τὸν
Θεόν, ἐκ [a]τῆς πληγῆς [y]τῆς χαλάζης· ὅτι μεγάλη ἐστὶν
ἡ πληγὴ αὐτῆς σφόδρα.

ΚΑΙ ἦλθεν [b]εἷς ἐκ [c]τῶν ἑπτὰ ἀγγέλων τῶν ἐχόντων 17 NΓ′.
[d]τὰς ἑπτὰ φιάλας, καὶ ἐλάλησε μετ' ἐμοῦ, λέγων **μοι**[12],
[b]"Δεῦρο, δείξω σοι τὸ κρίμα[13] [e]τῆς πόρνης τῆς μεγά-
λης, [f]τῆς καθημένης ἐπὶ **τῶν**[14] ὑδάτων **τῶν**[14] πολλῶν·
[g]μεθ' ἧς ἐπόρνευσαν οἱ βασιλεῖς τῆς γῆς, καὶ [h]ἐμεθύ- 2
σθησαν [i]**ἐκ τοῦ οἴνου τῆς πορνείας αὐτῆς** [k]**οἱ κατοικοῦντες**
τὴν γῆν[15]." Καὶ [l]ἀπήνεγκέ με [m]εἰς ἔρημον [l]ἐν πνεύματι· 3
καὶ **εἶδον**[16] γυναῖκα καθημένην ἐπὶ θηρίον κόκκινον,
γέμον [n]**ὀνομάτων**[17] βλασφημίας[18], **ἔχον**[19] [no]κεφαλὰς

[1] μεγάλης ἡμέρας LWH *marg.*, ἡμέρας τῆς μεγάλης (—ἐκείνης) TTrWH *text.* R. [2] Ἑβραϊστί WH. [3] Ἁρμαγεδών LTTrR, Ἁρ *p* Μαγεδών WH. [4] —ἄγγελος LTTrWHR. [5] ἐπὶ LTTrWHR. [6] —μεγάλη L. [7] ἐκ LTTrWHR. [8] —τοῦ οὐρανοῦ LTTrWHR. [9] ἀστραπαὶ καὶ φωναὶ καὶ βρονταί LTTrWHR. [10] ἄνθρωπος ἐγένετο LTTrWH *marg.* R *marg.*, ἄνθρωποι ἐγένοντο Tr *marg.* WH *text.* R *text.* [11] ἔπεσαν LTTrWH. [12] —μοι LTTrWHR. [13] κρῖμα BEL. [14] —τῶν LT (*ita vult*) TrWHR. [15] οἱ κατοικοῦντες τὴν γῆν ἐκ τοῦ οἴνου τῆς πορνείας αὐτῆς LTTrWHR. [16] εἶδα L (TTr *ver.* 6 *tantum*). [17] γέμοντα ὀνόματα LTWHR, γέμον τὰ ὀνόματα Tr. [18] (γέμοντα ὀνόματα βλασφημίας) R *marg.* [19] ἔχοντα TWH *marg.*, ἔχων WH *text.*

[a] Vid. ver. 7. [b] cap. 3. 3. Vid. Matt. 24. 43. [c] Matt. 24. 46. [d] cap. 3. 18. [e] ver. 14. [f] Vid. cap. 9. 11. [g] ver. 8. [h] ver. 4. [i] Cf. Eph. 2. 2. [k] Vid. cap. 11. 15. [l] Vid. cap. 4. 2. [m] cap. 21. 6. Cf. cap. 10. 6. [n] Vid. cap. 4. 5. [o] Vid. cap. 6. 12. [p] Dan. 12. 1. Matt. 24. 21. [q] Vid. cap. 11. 8. [r] Cf. cap. 11. 13. [s] cap. 14. 8; 17. 5. [t] cap. 18. 5. Cf. Ps. 74. 18; 89. 50. [u] cap. 14. 10. [x] cap. 6. 14. [y] cap. 8. 7; 11. 19. Cf. Job 38. 22, 23. [z] ver. 9, 11. [a] Ex. 9. 23—25. [b] cap. 21. 9. [c] Vid. cap. 15. 1. [d] Vid. cap. 15. 7. [e] ver. 5, 15, 16. cap. 19. 2. Cf. Esa. 1. 21. Jer. 2. 20. Nah. 3. 4. [f] ver. 15. Cf. Jer. 51. 13. [g] cap. 18. 3, 9. [h] ver. 6. Vid. Joan. 2. 10. [i] Vid. cap. 14. 8. [k] ver. 8. Vid. cap. 3. 10. [l] cap. 21. 10. Cf. cap. 1. 10. [m] cap. 12. 6, 14. [n] cap. 13. 1. [o] ver. 7, 9, 12. cap. 12. 3. [p] Judic. 5. 19. 2 Reg. 23. 29, 30. 2 Chr. 35. 22. Zech. 12. 11.

4 ἑπτὰ καὶ κέρατα δέκα. καὶ ἡ γυνὴ ἡ[1] [a]περιβεβλη-
μένη [a]**πορφύρᾳ**[2] καὶ [a]**κοκκίνῳ**[3], καὶ κεχρυσωμένη
[b]**χρυσῷ**[4] καὶ [b]λίθῳ τιμίῳ καὶ [c]μαργαρίταις, ἔχουσα
[d]**χρυσοῦν ποτήριον**[5] ἐν τῇ χειρὶ αὐτῆς, **γέμον**[6] [e]βδελυγ-
5 μάτων[7] καὶ **ἀκαθάρτητος**[8] πορνείας αὐτῆς, καὶ ἐπὶ τὸ
μέτωπον αὐτῆς ὄνομα γεγραμμένον, [f]"Μυστήριον[9],
[g]Βαβυλὼν ἡ μεγάλη, ἡ μήτηρ [h]τῶν πορνῶν καὶ [e]τῶν
6 βδελυγμάτων τῆς γῆς." Καὶ **εἶδον**[10] τὴν γυναῖκα
[i]μεθύουσαν **ἐκ** [k]**τοῦ αἵματος**[11] τῶν ἁγίων, καὶ ἐκ τοῦ
αἵματος [l]τῶν μαρτύρων Ἰησοῦ· καὶ ἐθαύμασα, ἰδὼν
